Digitized by the Internet Archive
in 2009 with funding from
University of Toronto

http://www.archive.org/details/carmina05home

LGr
H766Bo

HOMERI
CARMINA.

RECOGNOVIT ET EXPLICUIT

FRIDERICUS HENRICUS BOTHE.

[Vol. 5]

ODYSSEAE

VOLUMEN TERTIUM,

LIB. XVII—XXIV.

BATRACHOMYOMACHIA.

HYMNI.

EPIGRAMMATA ET FRAGMENTA CARMINUM EPICORUM.

LIPSIAE

SUMTIBUS LIBRARIAE HAHNIANAE

MDCCCXXXV.

113904
2/6/11

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΙΔΙΑ Ρ.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ Ρ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Εἰς τὴν πόλιν ἐλθὼν ὁ Τηλέμαχος διηγεῖται τῇ μητρὶ Πηνελόπῃ τῆς ἀποδημίας τὰ κεφάλαια. ὕστερον δὲ Ὀδυσσεὺς ἀχθεὶς ὑπὸ τοῦ Εὐμαίου εἰς Ἰθάκην (urbem) *ἀπὸ τῶν ἀγρῶν εἰς τὸ συμπόσιον τῶν μνηστήρων εἰσέρχεται. ὁ δὲ ποιητὴς ἀπαγγέλλει, πῶς ὁ κύων ἀναγνωρίζει τὸν δεσπότην. καὶ Εὔμαιος εἰς τοὺς ἀγροὺς ὑποστρέφει, Ὀδυσσεὺς δὲ ἐν αὐτοῖς* (fort. *ἐν ἄστοῖς*, vel, quod Buttmanno placuit, *ἐν ἄστει.*) *μένει.*

ΟΔΥΣΣΕΙΑΣ Ρ.

ΤΗΛΕΜΑΧΟΥ ΕΠΑΝΟΔΟΣ ΕΙΣ ΙΘΑΚΗΝ.

Telemachus, in urbem rediturus, etiam Ulyssem eo deduci jubet.

Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
δὴ τότ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
εἵλετο δ' ἄλκιμον ἔγχος, ὅ οἱ παλάμηφιν ἀρήρει,
* ἄστυδε ἱέμενος, καὶ ἑὸν προσέειπε συβώτην·
„Ἄττ', ἤτοι μὲν ἐγὼν εἶμ' ἐς πόλιν, ὄφρα με μήτηρ
ὄψεται· οὐ γάρ μιν πρόσθεν παύσεσθαι ὀΐω
κλαυθμοῦ τε στυγεροῖο, γόοιό τε δακρυόεντος,
πρίν γ' αὐτόν μ' ἐσίδηται. ἀτὰρ σοίγ' ὧδ' ἐπιτέλλω·

Annotationes Vers. 4. Il. γ', 338. Am. Q.: εἵλετο — ἔγχος. μόνον τοῦτο ὠνόμασε, τὸ δὲ ξίφος σεσιώπηκεν, ἐπειδὴ τὸ ξιφηφορεῖν ἀεί τε ἦν κ. σύνηθες (v. ann. ad Il. β', 45., Thuc. 1, 6.), ὡς τὸ πρὸ τῆς τροφῆς μὲν ἀεὶ τὰς χεῖρας ἀπονίπτεσθαι δηλοῖ, τὸ δὲ μετὰ τὴν τροφὴν, ὡς ἀκόλουθον, ἡμῖν σιωπῇ κατέλιπεν ὑπονοεῖν. — ὅ οἱ π. ἀρήρει. non enim quaevis arma cuique conveniebant. similiter Paris thoracem fratris Lycaonis induit, ipsi aptum, Il. γ', 33.

5. cur, quaeso, ἑὸν, *suum*, qui esset patris superstitis, ut adhuc sperabant? nec usquam hoc modo loquitur poëta, sed vocat Eumaeum κατ' ἐξοχὴν συβώτην sive ὑφορβὸν, ὄρχαμον ἀνδρῶν, et a praestantia morum atque indolis δῖον, θεῖον, quodque inprimis facit ad h. l., ἐσθλὸν ο', 556. pariter enim scribendum arbitror καὶ ἐῢν προσέειπε συβώτην, verba ἑὸς, ἐὸς, ἐῢς, etiam hic permixta esse ratus, ut alias. v. Buttmann. *Lexil.* 23. sic ἐῢς sive ἠῢς θεράπων legitur Il. ν', 246, π', 464, 653, υἱὸς ἐῢς Πριάμοιο Il. θ', 302, et frequens est modus dicendi ἠῢς τε, μέγας τε. vel sumamus cum Heyneo ann. ad Il. ω', 296. adjectivum Ionicum ἐὸς, *bonus*, *strenuus*. ibi Sch.: εἰ δέ τοι οὐ δώσει ἑὸν ἄγγελον. ἀγαθόν. h. e. ἐόν. cf. Schn. v. ἐός.

6—9. ἄττα. π', 31 etc. — ὄψεται, ὄψηται. — αὐτόν μ' ἐσίδηται. sic Ald. 3. veteresque et mediae aetatis edd., item E. Alterus ex suis, ut videtur (nam nihil annotavit), eumque secuti W et B: αὐτόν με ἴδηται.

τὸν ξεῖνον δύστηνον ἄγ' ἐς πόλιν, ὄφρ' ἂν ἐκεῖθι
δαῖτα πτωχεύῃ· δώσει δέ οἱ, ὅς κ' ἐθέλῃσι,
πύρνον, καὶ κοτύλην· ἐμὲ δ' οὔπως ἔστιν ἅπαντας
ἀνθρώπους ἀνέχεσθαι, ἔχοντά περ ἄλγεα θυμῷ.
ὁ ξεῖνος δ' εἴπερ μάλα μηνίει, ἄλγιον αὐτῷ
ἔσσεται· ἦ γὰρ ἐμοὶ φίλ' ἀληθέα μυθήσασθαι.“
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ὦ φίλος, οὐδέ τοι αὐτὸς ἐρύκεσθαι μενεαίνω.
πτωχῷ βέλτερόν ἐστι κατὰ πτόλιν ἠὲ κατ' ἀγροὺς
δαῖτα πτωχεύειν· δώσει δέ μοι, ὅς κ' ἐθέλῃσιν.
οὐ γὰρ ἐπὶ σταθμοῖσι μένειν ἔτι τηλίκος εἰμὶ,
ὥστ' ἐπιτειλαμένῳ σημάντορι πάντα πιθέσθαι.
ἀλλ' ἔρχευ· ἐμὲ δ' ἄξει ἀνὴρ ὅδε, τὸν σὺ κελεύεις,
αὐτίκ', ἐπεί κε πυρὸς θερέω, ἀλέη τε γένηται
(αἰνῶς γὰρ τάδε εἵματ' ἔχω κακά), μή με δαμάσσῃ
στίβη ὑπηοίη· ἕκαθεν δέ τε ἄστυ φάτ' εἶναι.“
Ὣς φάτο· Τηλέμαχος δὲ διὰ σταθμοῖο βεβήκει,
κραιπνὰ ποσὶ προβιβάς, κακὰ δὲ μνηστῆρσι φύτευεν.
αὐτὰρ ἐπεί ῥ' ἵκανε δόμους εὐναιετάοντας,
ἔγχος μὲν στῆσε πρὸς κίονα μακρὸν ἐρείσας,
αὐτὸς δ' εἴσω ἴεν, καὶ ὑπέρβη λάϊνον οὐδόν.

10—15. Am. Q. *τὸν ξεῖνον δύστηνον.* (excidit signum criticum, quo articulum eo loco positum notaverat Schol.) πρὸς τὴν τοῦ ἄρθρου μετάθεσιν. ὅμοιόν ἐστι τῷ (Il. φ', 317.) *οὔτε τὰ τεύχεα καλά.* dicendum fuisse ait Attico vel τὸν δύστηνον ξ., τὰ καλὰ τ., vel τὸν ξ. τὸν δύστ., τὰ τ. τὰ καλά. cf. E. res nota. de usu articuli apud Homerum generatim v. ann. ad Il. α', 11. — *ἐκεῖθι*, *ibi*. semel dixit. Aeschylo Theb. 760. est *eo*, sive *illuc*. — *πύρνον, κ. κοτύλην.* 362, ο', 311. — *οὔπως*, *nequaquam*. β', 130 etc. — *ἀνέχεσθαι*, *sustinere*, alere. Ap.: ἀνέχεσθαι. ἡ μὲν λέξις (eo quidem sensu, quem dicet grammaticus: nam π', 277. et alias ἀν. est *pati*.) ἐν τῇ ρ' τῆς Ὀδυσσείας, *ἀνθρώπους — θυμῷ*· δηλοῖ δὲ τὸ ἀναδέχεσθαι κ. διαβόσκειν. minus bene E: ἔχει δὲ τὸ *ἀνέχεσθαι* ἢ ἀντὶ τοῦ τιμᾶν, ἢ ἀντὶ τοῦ ἀνέχειν ἤτοι ἀναβαστάζειν, ὡς ἐκ μεταφορᾶς τινος ὑπερείσματος. — *ἔχοντά περ ἄ. θυμῷ*, *dolentem animo*, a consequente miseriarum et inopiae. — *μηνίει.* Il. α', 488 etc. — *ἄλγιον.* δ', 292. — *φίλα*, φίλον ἐστὶ, *placet*, moris est. de plurali v. ν', 154.

17—25. *ὦ φίλος*, ὦ φίλε. α', 301. — *ἐρύκεσθαι*, *retineri*. α', 14 etc. — *μενεαίνων*, *cupiens*. ε', 341 etc. — Sch.: *τηλίκος* (α', 297, Il. ω', 487, etc.). τῆς δεούσης ἡλικίας. E: ἤγουν οὐκ εἰμὶ τοιαύτης ἡλικίας, ὥστε εἰς πᾶν ἔργον πείθεσθαι τῷ κελεύοντί μοι κατ' ἀγροὺς, ὡς οἷα δηλαδὴ γέρων ὢν κ. μὴ ἐξισχύων πονεῖν. *σημάντορα* δὲ (v. ann. ad Il. δ', 431) συνήθως λέγει τὸν ἐπιτάσσοντα. — *πυρός.* genit. causae. E: ἤγουν διὰ πυρὸς θερμανθῶ. *ἀλέη τε γέν.* ἡ ἐκ τοῦ ἡλίου δηλονότι. Am. Q.: *ἀλέη*· θερμασία, κυρίως ἡ τοῦ ἡλίου. „lex. Sophisticum Bekkeri p. 375: ἀλέα, θέρμη.“ B. *ἀλέην* *effugium* dixit Il. χ', 301., quem locum cum interpretarer, hujus non memineram. — *αἰνῶς κακὰ*, *valde mala*, usu detrita atque lacera. — Sch.: *στίβη* (ε', 467) *ὑπηοίη.* ὁ παγετὸς ὁ ὀρθρινός.

26—35. Harl.: *διὰ στ.* γρ. *διὲκ μεγάροιο.* — *βεβήκει*, *abiit*. v. γ', 162. *κραιπνὰ π. προβιβάς.* Il. ν', 18. — *κακὰ — φύτ.* ξ', 110. — *αὐτὰρ — εὐν.* β', 400, Il. ζ', 370, inferius 85 etc. — *ἔγχος — ἐρείσας.* v. α', 127, θ', 66, 473. — *ὑπέρβη λ. οὐδόν.* θ', 80 etc. postquam transiit ἀνδρῶνα et hastam ibi apposuit Telemachus, intrat partem interiorem domus, quam partem habitabant feminae, cuique contiguum erat ὑπερώϊον. v. 96—102, α', 328. — *κώεα.* γ', 38 etc. —

gaudia domus regiae de salvo reditu Telemachi, ejusque colloquium breve cum matre.

Τὸν δὲ πολὺ πρώτη εἶδε τροφὸς Εὐρύκλεια,
κώεα καστορνῦσα θρόνοις ἔνι δαιδαλέοισι·
δακρύσασα δ' ἔπειτ' ἰθὺς κίεν· ἀμφὶ δ' ἄρ' ἄλλαι
δμωαὶ Ὀδυσσῆος ταλασίφρονος ἠγερέθοντο,
καὶ κύνεον ἀγαπαζόμεναι κεφαλήν τε καὶ ὤμους.
Ἡ δ' ἴεν ἐκ θαλάμοιο, περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη, ἠὲ χρυσέῃ Ἀφροδίτῃ,
ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε δακρύσασα,
κύσσε δέ μιν κεφαλήν τε, καὶ ἄμφω φάεα καλὰ,
καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
„Ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος; οὔ σ' ἔτ' ἔγωγε
ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηῒ Πύλονδε
λάθρῃ, ἐμεῦ ἀέκητι, φίλου μετὰ πατρὸς ἀκουήν.
ἀλλ' ἄγε μοι κατάλεξον, ὅπως ἤντησας ὀπωπῆς."
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„μῆτερ ἐμὴ, μή μοι γόον ὄρνυθι, μηδέ μοι ἦτορ
ἐν στήθεσσιν ὄρινε, φυγόντι περ αἰπὺν ὄλεθρον·
ἀλλ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα,
(εἰς ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν,)
εὔχεο πᾶσι θεοῖσι τεληέσσας ἑκατόμβας
ῥέξειν, αἴ κέ ποθι Ζεὺς ἄντιτα ἔργα τελέσσῃ.
αὐτὰρ ἐγὼν ἀγορὴν ἐσελεύσομαι, ὄφρα καλέσσω
ξεῖνον, ὅτις μοι κεῖθεν ἅμ' ἕσπετο δεῦρο κιόντι.
τὸν μὲν ἐγὼ προὔπεμψα σὺν ἀντιθέοις ἑτάροισι·
Πείραιον δέ μιν ἠνώγεα προτὶ οἶκον ἄγοντα
ἐνδυκέως φιλέειν, καὶ τιέμεν, εἰσόκεν ἔλθω."

καστόρνῦσα, καταστορνῦσα. — θρόνοις ἐ. δαιδ. Il. σ', 390. simili sensu θρόνους εὐποιήτους dixit υ', 150. — ἰθὺς κίεν, *recta* illi *obviam ivit.* — ταλασίφρονος, *audentis.* v. ann. ad α', 87. — ἠγερέθοντο. β', 392, Il. β', 304 etc. — κύνεον — ὤμους. v. π', 16. Am. Q.: ὡς ἂν δοῦλαι τοὺς ὤμους· ἡ δὲ Πηνελόπη κεφαλήν τε, κ. ἄμφω φάεα καλά. (similiter E. recte Buttmannus: δοῦλαι pro δούλους. sed praeterea scribendum puto: — δοῦλαι τὴν κεφαλὴν κ. τοὺς ὤμους· ἡ δὲ Πην. καὶ ἄμφω φ. καλά.) τὸ γὰρ στόμα οὔτε δοῦλοι, οὔτε ἐλεύθεροι ἐφίλουν. scil. amicitiae causa et prae gaudio. nam amantium quidem, ne quis dubitet, jam olim hoc jus fuit, ut labra labris consererent.

36, 37. τ', 53, 54. cf. δ', 122, ζ', 150—152.

38. ἀμφὶ — δακρύσασα. cf. ψ', 240, Il. ε', 314.

41, 42. π', 23, 24.

43—47. ἀέκητι. γ', 213, Il. λ', 667 etc. — φίλου — ἀκουήν. β', 308 etc. — ὅπως — ὀπωπῆς. γ', 97, δ', 327. — ὄρνυθι, *excita.* ξ', 363 etc. — μηδέ μοι — ὄρινε. 150, Il. β', 142 etc. — φυγόντι — ὄλεθρον. α', 11, Il. ζ', 57 etc.

48, 9. δ', 750 et 51., ex quo loco transscriptus videtur 449., quo versu carent MS. Thomae Bentleji, A. 2. et 3., primusque A. collocatum habet post 51., quo et ipso signo agnoscas interpolationem. quare Knight. omisit eum versum, W uncinis inclusit.

50—55. τεληέσσας ἑκ. δ', 352 etc. — ἄντιτα ἔργα, ἀνάτιτα, ἐπιτιμητικὰ, ἀντίτισιν. v. Il. ω', 213. Am. Q. emend.: ἄντιτα. ἀντίτιτα. ἔστι δὲ συγκοπή. at hoc si ita esset, poterat Hom. dicere ἀντίτιτ' ἔργα τ. — καλέσσω (κ', 231 etc.), *vocem*, *invitem hospitio.* — σὺν ἀντιθέοις ἑτ. ξ', 385 etc. — Harl.: ἠνώγεα. γρ. ἤνωγον. v. ι', 44.

56. ο', 542.

Ὣς ἄρ' ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
ἡ δ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα,
εὔχετο πᾶσι θεοῖσι τεληέσσας ἑκατόμβας
ῥέξειν, αἴ κέ ποθι Ζεὺς ἄντιτα ἔργα τελέσσῃ.

prodit Telemachus in forum ad abducendum hospitem Theoclymenum, et Piraeo dicit, quid donis Menelai faciat.

Τηλέμαχος δ' ἄρ' ἔπειτα διὲκ μεγάροιο βεβήκει,
ἔγχος ἔχων· ἅμα τῷγε κύνες πόδας ἀργοὶ ἕποντο.
θεσπεσίην δ' ἄρα τῷγε χάριν κατέχευεν Ἀθήνη·
τὸν δ' ἄρα πάντες λαοὶ ἐπερχόμενον θηεῦντο.
ἀμφὶ δέ μιν μνηστῆρες ἀγήνορες ἠγερέθοντο,
ἔσθλ' ἀγορεύοντες, κακὰ δὲ φρεσὶ βυσσοδόμευον.
αὐτὰρ ὁ τῶν μὲν ἔπειτα ἀλεύατο πουλὺν ὅμιλον,
ἀλλ', ἵνα Μέντωρ ἧστο, καὶ Ἄντιφος, ἠδ' Ἁλιθέρσης,
οἵτε οἱ ἐξ ἀρχῆς πατρώϊοι ἦσαν ἑταῖροι,
ἔνθα καθέζετ' ἰών· τοὶ δ' ἐξερέεινον ἕκαστα.
τοῖσι δὲ Πείραιος δουρικλυτὸς ἐγγύθεν ἦλθε,
ξεῖνον ἄγων ἀγορήνδε διὰ πτόλιν· οὐδ' ἄρ' ἔτι δὴν

57. *τ'*, 29, *φ'*, 386, *χ'*, 398. Sch.: *ἄπτερος μῦθος. ἤτοι ἰσόπτερος* (?), *ταχύς.* Am. Q.: *ταχὺς πρὸς τὸ πεισθῆναι, κ. ἰσόπτερος. ἢ οὐκ ἀπέπτη ὁ λόγος, ἀλλ' ἐπέμεινε, μὴ ἔχων πτερόν. λέγει δὲ, ὅτι ταχέως προσήκατο τὸν λόγον, ταχέως ἤκουσεν.* Harl.: *ἔνιοι, ἔμμονος.* quae haud dubie est interpretatio *τοῦ ἄπτερος.* E: *κεῖται τὸ ἄπτερος ἔ. μῦθος εἰς ἴσον τῷ ταχέως προσήκατο, φασὶ, τὸν λόγον. ἄπτερος δὲ ὁ παράμονος κ. μὴ πτερόεις* (*α'*, 122 etc.), *κατὰ τὸ κοινὸν τοῦ λόγου ἐπίθετον. ἤγουν ὁ μὴ ἀποπτὰς, ἀλλ' ἐπιμείνας τῇ γυναικί.* Ap.: *ἄπτερος, ὁ προσηνής, ἢ ταχύς.* vide, quam velut in omnes partes Grammatici versarint vocem ambiguam. nec tamen verum viderunt, sed, opinor, Coraïus ap. Montbelium, cujus adscribenda est ann. ad h. l. sic igitur vir praematura morte ereptus litteris et amicis: „*Cette parole n'est point fugitive pour Pénélope.* Cette fin de vers est susceptible d'être expliquée de 3 manières différentes: 1° *Ce discours fut sans ailes pour Pénélope*, c'est-à-dire qu'elle le garda précieusement, qu'elle le recueillit avec joie; c'est le sens que j'indique. 2° Au lieu de traduire *ἄπτερος* par l'*α* privatif, quelques-uns le rendent par *ἰσόπτερος*, *qui a des ailes d'une égale vitesse, qui est rapide.* (Sch. et Etym. magn. voc. *ἄπτερος.*) Dans ce cas, il faut entendre que le discours de Télémaque fut *prompt* à persuader sa mère. 3° Enfin M. Coraï (*Σχόλια εἰς τὴν Ἰλιάδα, α'*, 201.) veut que par là on entende que Pén. ne répondit pas, qu'elle garda le silence: *οὐδένα λόγον ἀφῆκεν ἐκπτῆναι τοῦ στόματος, elle ne laissa envoler aucun discours de sa bouche*; car Hom. donne souvent aux discours l'épithète de *πτερόεντα, ailés.* Je penche toujours pour le premier sens, tout en convenant que l'opinion de M. Coraï est fort ingénieuse." Voss. quoque: *also sprach der jüngling*, und nicht entflog ihr die rede. h. e. sermo Telemachi. malim: *Also sprach er, und ihr entflog kein Wort von den Lippen.* obmutuit Penelope, prudentem filii orationem admirata, ut *α'*, 360. in simili causa: *ἡ μὲν θαμβήσασα πάλιν οἶκόνδε βεβήκει· Παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ.* Berglerus: *illi* quasi *impennatum* haud evolavit *verbum.*

61—68. *διὲκ μεγ.* v. ann. ad *κ'*, 388. — *ἅμα — θηεῦντο.* *β'*, 11—13. — A. 2. menda mira, quam propagare non est veritus Alterus: *ἀγήνοροι.* en gradus corruptionis: *ἀγήνορει, ἀγήνορα, ἀγήνοροι.* — *βυσσοδόμευον.* *δ'*, 676. — de *Mentore* et *Alitherse* v. *β'*, 157 et 225. *Antiphus* hic alias haud memoratur. v. ib. 19.

69. *β'*, 254.

70—73. E: *τοὶ — ἕκαστα. ὅτι καὶ ἐν τῷ τόπῳ τούτῳ δυνάμενος ὁ ποιητὴς πολυλογῆσαι παραιτεῖται αὐτὸ*

Τηλέμαχος ξείνοιο ἑκὰς τράπετ', ἀλλὰ παρέστη.
τὸν καὶ Πείραιος πρότερος πρὸς μῦθον ἔειπε·
„Τηλέμαχ', αἶψ' ὄτρυνον ἐμὸν ποτὶ δῶμα γυναῖκας,
ὥς τοι δῶρ' ἀποπέμψω, ἅ τοι Μενέλαος ἔδωκε.“
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„Πείραι', οὐ γάρ τ' ἴδμεν, ὅπως ἔσται τάδε ἔργα,
εἴ κεν ἐμὲ μνηστῆρες ἀγήνορες ἐν μεγάροισι
λάθρῃ κτείναντες πατρώϊα πάντα δάσωνται,
αὐτὸν ἔχοντά σε βούλομ' ἐπαυρέμεν ἤ τινα τῶνδε·
εἰ δέ κ' ἐγὼ τούτοισι φόνον καὶ κῆρα φυτεύσω,
δὴ τότε μοι χαίροντι φέρειν πρὸς δώματα χαίρων.“

hospitio Telemachus excipit Theoclymenum.

Ὣς εἰπὼν ξεῖνον ταλαπείριον ἦγεν ἐς οἶκον.
αὐτὰρ ἐπεί ῥ' ἵκοντο δόμους εὐναιετάοντας,
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε, θρόνους τε,
ἐς δ' ἀσαμίνθους βάντες ἐΰξέστας λούσαντο.
τοὺς δ' ἐπεὶ οὖν δμωαὶ λοῦσαν, καὶ χρῖσαν ἐλαίῳ,
ἀμφὶ δ' ἄρα χλαίνας οὔλας βάλον, ἠδὲ χιτῶνας.
ἔκ ῥ' ἀσαμίνθου βάντες ἐπὶ κλισμοῖσι κάθιζον·
χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
μήτηρ δ' ἀντίον ἷζε παρὰ σταθμὸν μεγάροιο,
κλισμῷ κεκλιμένη, λέπτ' ἠλάκατα στρωφῶσα.
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·

tum breviter matri narrat iter suum.

„Τηλέμαχ', ἤτοι ἐγὼν ὑπερώϊον εἰσαναβᾶσα
λέξομαι εἰς εὐνὴν, ἥ μοι στονόεσσα τέτυκται,

διὰ τὸ μὴ καίριον. ὡς μὲν γὰρ οἱ φίλοι ἐξερέεινον ἕκαστα, λέγει· τί δὲ πρὸς αὐτοὺς ὁ Τηλ. ἔφη, οὐ λέγει. — ἀλλὰ παρέστη. fortius affirmat, negato contrario.

74. π', 460. cf. inferius 123, 495.

75—84. ὄτρυνον, *jube*. χ', 484, Il. π', 495 etc. — οὐ — ἔργα. v. de loco hujus sententiae α', 337. — πατρώϊα πάντα. π', 388, υ', 336, χ', 61. — ἐπαυρέμεν, *frui*. Il. σ', 302. — ἤ τινα τῶνδε. h. e. μᾶλλον ἤ τ. τ. v. Il. ψ', 445. et Bernhardy *wissenschaftliche Syntax der gr. Sp.* pag. 437, ann. 86. speciosissimam, sed ipsam quoque falsam, hanc ellipsin vocat Herm. ann. ad Viger. p. 884, cujus non capio argutias. — φόνον — φυτεύσω. β', 165. — χαίροντι — χαίρων, ut ἑκὼν ἑκοῦσι ap. Eurip. Cycl. 244. v. ann. ad ε', 155. — ταλαπείριον. ξ', 193.

85, 6. 178, 9. cf. ann. ad α', 132.

87—89. δ', 48—50.

91—99. cf. α', 136—140, 148, 150 etc. ἀντίον ἷζε. v. 257, 334, ε', 198, ξ', 81. — παρὰ σταθμὸν μεγ. v. α', 333. μεγάροιο, ἀνδρῶνος. β', 248 etc. — λεπτά. κ', 544 etc. — ἠλ. στρωφῶσα. ζ', 53, η', 105. — E: οἱ δέ. οἱ περὶ τὸν παῖδα.

101—104. τ', 594—597. de ὑπερωΐῳ v. Il. β', 514. λέξομαι. δ',

αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ 'Οδυσσεὺς
ᾤχεθ' ἅμ' 'Ατρείδῃσιν ἐς Ἴλιον· οὐδέ μοι ἔτλης,
πρὶν ἐλθεῖν μνηστῆρας ἀγήνορας ἐς τόδε δῶμα,
νόστον σοῦ πατρὸς σάφα εἰπέμεν, εἴ που ἄκουσας."
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„τοιγὰρ ἐγώ τοι, μῆτερ, ἀληθείην καταλέξω.
ᾠχόμεθ' ἔς τε Πύλον, καὶ Νέστορα, ποιμένα λαῶν·
δεξάμενος δέ με κεῖνος ἐν ὑψηλοῖσι δόμοισιν
ἐνδυκέως ἐφίλει, ὡσεί τε πατὴρ ἑὸν υἷα,
ἐλθόντα χρόνιον νέον ἄλλοθεν· ὣς ἐμὲ κεῖνος
ἐνδυκέως ἐκόμιζε σὺν υἱάσι κυδαλίμοισιν.
αὐτὰρ 'Οδυσσῆος ταλασίφρονος οὔποτ' ἔφασκε,
ζωοῦ, οὐδὲ θανόντος, ἐπιχθονίων τευ ἀκοῦσαι,
ἀλλά μ' ἐς 'Ατρείδην, δουρικλειτὸν Μενέλαον,
ἵπποισι προὔπεμψε καὶ ἅρμασι κολλητοῖσιν.
ἔνθ' ἴδον 'Αργείην 'Ελένην, ἧς εἵνεκα πολλὰ
'Αργεῖοι, Τρῶές τε, θεῶν ἰότητι μόγησαν.
εἴρετο δ' αὐτίκ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος,
ὅττευ χρηΐζων ἱκόμην Λακεδαίμονα δῖαν·
αὐτὰρ ἐγὼ τῷ πᾶσαν ἀληθείην κατέλεξα,
καὶ τότε δή μ' ἐπέεσσιν ἀμειβόμενος προσέειπεν·
„„Ὢ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῇ
ἤθελον εὐνηθῆναι, ἀνάλκιδες αὐτοὶ ἐόντες!
[ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος
νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνοὺς
κνημοὺς ἐξερέῃσι καὶ ἄγκεα ποιήεντα,
βοσκομένη, ὁ δ' ἔπειτα ἑὴν εἰσήλυθεν εὐνήν,
ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν·
ὣς 'Οδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσει.
αἲ γάρ, Ζεῦ τε πάτερ, καὶ 'Αθηναίη, καὶ Ἄπολλον,

413 etc. — ἔτλης, *sustinuisti*, ausus es, voluisti. δ', 716, λ', 142 etc.

105. πρὶν — δῶμα, *priusquam proci huc rediissent* ex foro, cum soli essemus.

108. π', 226, χ', 420.

109—113. ποιμένα λαῶν. v. ann. ad Il. β', 243. Evang. Joann. 10, 14.: ἐγὼ εἰμὶ ὁ ποιμὴν ὁ καλός. — ὑψ. δόμοισιν. v. ann. ad 266, α', 126, Il. ζ', 503 etc. — ἐνδ. ἐφίλει. 56 etc. — Ap.: χρόνιον. μετὰ πολὺν χρόνον. *serum*, h. e. sero. v. β', 357 etc. — νέον, νεωστί. α', 175 etc. — ἐκόμιζε, *fovit*, hospitio excepit. κ', 73 etc. — κυδαλ. γ', 219 etc.

115—117. ζωοῦ, οὐ ζωοῦ. v. Hermann. ad Soph. Ajac. 239., nos ad Philoct. 760, Aristoph. Vesp. 1380. — ἐπιχθονίων. α', 167 etc. — δουρικλειτόν. Il. ε', 55, λ', 333 etc. sic etiam ἀγακλειτὰς ἑκατόμβας et τηλεκλειτοὺς ἐπικούρους dixit pro ἀγακλυταῖς, τηλεκλυτοῖς, η', 202, Il. ε', 491 etc. — ἵπποισι καὶ ἅρμασιν. hendiadys. Il. δ', 366, ω', 390.

119. μ', 190. A. 1. in marg. et Harl. δάμησαν pro μόγησαν.

121, 2. χρηΐζων. λ', 339, Il. λ', 835. — πᾶσαν ἀληθ. B: „Illustrat locutionem πᾶσαν τὴν ἀλήθειαν λέγειν Fischerus ad Platonem Apol. §. 1. Adde Raphelium ad Marcum cap. 5, 33. ita Hom. Il. ω', 407."

124—141. δ', 333—350, unde immigrasse arbitror versus 126—137, alienos illos ab hoc loco, in quo summatim Telemachus percurrit iter suum, festinatque ad eventum, quod ipsum Homerum semper facere ait Flaccus A. P. 148. qua re inductus ego haec cancellavi. Harl. 130.: ἐφήει. (h. e. ἐφίει. ω', 180, Il. ο', 444.) γρ. ἐφῆκεν.

τοῖος ἐὼν, οἷός ποτ' ἐϋκτιμένῃ ἐνὶ Λέσβῳ
ἐξ ἔριδος Φιλομηλείδῃ ἐπάλαισεν ἀναστὰς,
κὰδ δ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοὶ,
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς!
πάντες κ' ὠκύμοροί τε γενοίατο, πικρόγαμοί τε.]
ταῦτα δ', ἅ μ' εἰρωτᾷς καὶ λίσσεαι, οὐκ ἂν ἔγωγε
ἄλλα παρὲξ εἴποιμι παρακλιδὸν, οὐδ' ἀπατήσω,
ἀλλὰ τὰ μέν μοι ἔειπε γέρων ἅλιος νημερτὴς,
τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος, οὐδ' ἐπικεύσω.
φῆ μιν ὅγ' ἐν νήσῳ ἰδέειν κρατέρ' ἄλγε' ἔχοντα,
Νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκῃ
ἴσχει· ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι.
οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.““
„*Ὣς ἔφατ' Ἀτρείδης, δουρικλειτὸς Μενέλαος.*
ταῦτα τελευτήσας νεόμην· ἔδοσαν δέ μοι οὖρον
ἀθάνατοι, τοί μ' ὦκα φίλην ἐς πατρίδ' ἔπεμψαν.“
Ὣς φάτο· τῇ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε.
τοῖσι δὲ καὶ μετέειπε Θεοκλύμενος θεοειδής·

Theoclymeni faustum vaticinium.

„*Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,*
ἦτοι ὅγ' οὐ σάφα οἶδεν, ἐμεῖο δὲ σύνθεο μῦθον·
ἀτρεκέως γάρ σοι μαντεύσομαι, οὐδ' ἐπικεύσω.
ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα,
ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
ὡς ἦτοι Ὀδυσεὺς ἤδη ἐν πατρίδι γαίῃ
ἥμενος, ἢ ἕρπων, τάδε πευθόμενος κακὰ ἔργα,
ἐστὶν, ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει.“
[οἷον ἐγὼν οἰωνὸν ἐϋσσέλμου ἐπὶ νηὸς
ἥμενος ἐφρασάμην, καὶ Τηλεμάχῳ ἐγεγώνευν.]
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
„*αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη!*

142—146. v. δ', 556—560.

147. Harl.: *ἀθετοῦνται ιϛ' στίχοι.* Am. Q. ad 150.: *ἀθετοῦνται ιβ' στίχοι.* verum esse numerum 150., sed versuum *ἀθετουμένων* illum, qui habetur in Harlejano libro, intellexit Buttmannus. nimirum fuere, qui damnarent versus 150—165 propterea quod ante conscensam navem augurium fecisset Theoclymenus; quae ratio manifesto falsa est, cum id post descensionem evenerit (ο', 524—533). vereor igitur, ne simili versuum initio ab *ὥς* librarii falsi alii ab 146., alii ab 149., ad 166. aberrantes forte omiserint intermedia, quae dein recentiores haud invenientes in nonnullis libris *ἀθετούμενα* esse crediderint a Criticis. acute tamen Buttm. perspexit, quod legitur apud Am. Q. ad 160. *ἐν τοῖς χαριεστέροις οὗτοι μόνοι οἱ ιβ' ἀθετοῦνται*, scribendum esse *οἱ β'*, scilicet versus 160. et 161. certe nihil ejusmodi neque tum inter navigandum observavit, neque Telemacho dixit, vates Argivus. quare et his uncinos impegi.

150. Il. β', 142 etc.

152, 3. *αἰδοίη.* σ', 313. α', 139, Il. β', 514 etc. — *σύνθεο.* ο', 27 etc.

155. ξ', 158.

158. *ἕρπων*, *ingrediens.* σ', 130, Il. ρ', 447. cf. α', 193.

163—165. ο', 535—537.

τῷ κε τάχα γνοίης φιλότητά τε, πολλά τε δῶρα,
ἐξ ἐμεῦ, ὥς ἄν τίς σε συναντόμενος μακαρίζοι."

ludi consueti et epulae procorum.

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
μνηστῆρες δὲ πάροιθεν Ὀδυσσῆος μεγάροιο
δίσκοισιν τέρποντο καὶ αἰγανέῃσιν ἱέντες
ἐν τυκτῷ δαπέδῳ, ὅθι περ πάρος ὕβριν ἔχεσκον.
ἀλλ' ὅτε δὴ δείπνηστος ἔην, καὶ ἐπήλυθε μῆλα
πάντοθεν ἐξ ἀγρῶν (οἱ δ' ἤγαγον, οἳ τὸ πάρος περ),
καὶ τότε δή σφιν ἔειπε Μέδων· ὃς γάρ ῥα μάλιστα
ἥνδανε κηρύκων, καί σφιν παρεγίγνετο δαιτί·
„Κοῦροι, ἐπειδὴ πάντες ἐτέρφθητε φρέν' ἀέθλοις,
ἔρχεσθε πρὸς δώμαθ', ἵν' ἐντυνώμεθα δαῖτα·
οὐ μὲν γάρ τι χέρειον ἐν ὥρῃ δεῖπνον ἑλέσθαι."
Ὣς ἔφαθ'· οἱ δ' ἀνστάντες ἔβαν, πείθοντό τε μύθῳ.
αὐτὰρ ἐπεί ῥ' ἵκοντο δόμους εὐναιετάοντας,
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε, θρόνους τε·
οἱ δ' ἱέρευον ὄϊς μεγάλους, καὶ πίονας αἶγας,
ἵρευον δὲ σύας σιάλους, καὶ βοῦν ἀγελαίην,
δαῖτ' ἐντυνόμενοι.

167—169. δ', 625—627.

170—176. E: *ἔστι δειπνηστὸς ἢ δείπνηστος ὁ τοῦ δείπνου καιρός· ἄλλως δὲ σαφέστερον εἰπεῖν, δειπνηστὸς ὀξυτόνως αὐτὸ, φασὶ, τὸ δεῖπνον, βαρυτόνως δὲ ἡ ὥρα τοῦ δείπνου· ὃ δὴ καὶ ἐπὶ τοῦ ἀμητὸς καὶ ἄμητος παρατετήρηται.* — de *Medonte*, praecone haud improbo, propterea que servato ab Ulysse in caede procorum, v. ann. ad δ', 677. — *ὃς γὰρ, οὗτος γάρ.* Ap.: *ὃς ἀντὶ τοῦ οὗτος, ἀναφορικόν· ὃς γὰρ δεύτατος ἦλθεν Ἀχαιῶν* (α', 286) etc. cf. Matth. §§. 286. et 484, c. — *παρεγίγνετο δαιτὶ*, *interesse solebat convivio.* Am. Q.: *εὐνούστατος μὲν ὁ Μέδων τῇ Ὀδυσσέως οἰκίᾳ· δι' ἐπιείκειαν δὲ ἤθους καὶ οἱ μνηστῆρες αὐτὸν ἐτίμων, καὶ ὁμοτράπεζον εἶχον.* — Am. B.: *οὐ — χέρειον. ἤτοι οὐ καλόν* (imo *κακόν*) *ἐστιν, ὡς τὸ οὐχ ἥκιστα ἀντὶ τοῦ μᾶλλον.* similiter, notante Cl., Hesiodus O. et D. 750.: *μηδ' ἐπ' ἀκινήτοισι καθίζειν, οὐ γὰρ ἄμεινον.* de hoc usu comparativi v. ε', 284. *οὐ χέρειον* pro *καλὸν*, ut *illaudatus Busiris* pro *detestabilis* etc. B.: „Hinc frequens ap. prosaicos scriptores *οὐ χεῖρον* cum infinitivo; de quo vide not. ad Philostr. Her. p. 577, collatis Schaefero ad Julianum p. XIII, et Casaubono ad Dionysii Hal. Ant. 1, 39. sunt et exempla ap. Scholiastem Nub. 97, 145. adde infra ψ', 262."

177—184. *ἀνστάντες.* π', 407 etc. — *αὐτὰρ — θρόνους τε.* 85. — *οἱ δὲ*, *illi vero*, Medon et famuli procorum. de praeconibus Feith. 2, 5, 5.: „Omnino apud Homerum in epulis heroïcis operam praestant. Il. σ', 558.: *κήρυκες δ' ἀπάνευθεν ὑπὸ δρυῒ δαῖτα πένοντο, Βοῦν δ' ἱερεύσαντες μέγαν ἄμφεπον.* similiter Telemacho accumbenti praeco praebet carnis portionem inferius 334." cf. υ', 276, Il. γ', 245—249, et quae alia hac de re Homeri loca protulit doctissimus Köpke *Uiber das Kriegswesen der Griechen* p. 254—257. — *ἵρευον* contracte, ut *ἱρεύουσ'* ξ, 94. mire Am. B.: *ἵρευον. ὡς συγκοπτόμενον ψιλοῦται.* lex. *περὶ Πνευμάτων* (Ammon. Valck. p. 229.): *τὸ ι* pro *τοῦ ρ ψιλοῦται, Ἶρος ὁ πτωχὸς, Ἶρις τὸ τόξον. πλὴν τῶν ἀπὸ Ἱερὸς γινομένων κατὰ κρᾶσιν τοῦ ι καὶ ε εἰς ι μακρὸν, οἷον Ἱρὸς ὁ ἱερὸς, Ἱρεῖον τὸ θῦμα, ἵρηξ ὁ ἱέραξ. τινὲς δὲ παραλόγως ψιλοῦσι τὰ τοιαῦτα, λέγοντες ὅτι τὰ συγκοπέντα κατὰ Αἰολεῖς ψιλοῦνται, οἷον ὥρμησεν ὦρσεν, ἁρμόσας ἅρσας. πρὸς οὓς ἔστιν εἰπεῖν, ὅτι οὔτε τὸ ὥρμησεν ἐγένετο κατὰ συγκοπὴν ὦρσεν, οὔτε τὸ ἁρμόσας ἅρσας, ἄλλα ἀπὸ τοῦ Ὄρω τὸ διεγείρω ὁ μέλλων ὀρῶ, κ. Αἰο-*

Eumaeus quoque in urbem proficiscitur cum domino personato.

Τοὶ δ' ἐξ ἀγροῖο πόλινδε
ὠτρύνοντ' Ὀδυσεύς τ' ἰέναι καὶ δῖος ὑφορβός.
τοῖσι δὲ μύθων ἦρχε συβώτης, ὄρχαμος ἀνδρῶν·
„Ξεῖν', ἐπεὶ ἂρ δὴ ἔπειτα πόλινδ' ἰέναι μενεαίνεις
σήμερον, ὡς ἐπέτελλεν ἄναξ ἐμός (ἦ σ' ἂν ἔγωγε
αὐτοῦ βουλοίμην σταθμῶν ῥυτῆρα λιπέσθαι,
ἀλλὰ τὸν αἰδέομαι καὶ δείδια, μή μοι ὀπίσσω
νεικείῃ· χαλεπαὶ δέ τ' ἀνάκτων εἰσὶν ὁμοκλαί),
ἀλλ' ἄγε νῦν ἴομεν· δὴ γὰρ μέμβλωκε μάλιστα
ἦμαρ, ἀτὰρ τάχα τοι ποτὶ ἕσπερα ῥίγιον ἔσται."
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„γιγνώσκω, φρονέω, τάγε δὴ νοέοντι κελεύεις.
ἀλλ' ἴομεν· σὺ δ' ἔπειτα διαμπερὲς ἡγεμόνευε,
δὸς δέ μοι, εἴ ποθί τοι ῥόπαλον τετμημένον ἐστὶ,
* σκηρίπτεσθ', ἐπειή φατ' ἀρισφαλέ' ἔμμεναι οὐδόν."

λικῶς ὄρσω, κ. Ἄρω τὸ ἁρμόζω ἀρῶ, κ. Αἰολικῶς ἄρσω. τὰ τοιαῦτα ψιλοῦνται γινόμενα (h. e. οἴκοθεν, in ipso eorum ortu, primaque formatione), οὔτε μὴν τὸ Ἶρος, κ. Ἱρεῖον, κ. Ἵρηξ, συνεκόπησαν Αἰολικῶς, ἀλλὰ κρᾶσιν ἔπαθον τοῦ ι κ. ε εἰς ι, ὡς ἐν τῷ ὄφιες ὄφις (et in ὄϊες ὄις) ἔστιν εὑρεῖν. Harl. ad hunc versum: ἀθετεῖ καὶ (scrib. δέ.) Ἀριστοφάνης. videtur supervacaneum putasse. — σύας σιάλους. ξ', 41 etc. — βοῦν ἀγελ. κ', 410. — ὠτρύνοντο. medium. properabant. — τοῖσι — ἀνδρῶν. intell., ut passim, λέγων.

185—191. Harl.: πόλινδ' ἰέναι. γρ. ἴμεναι. — ῥυτῆρα, custodem (223), a ῥύεσθαι, quod etiam ἐρύεσθαι dicitur, velut Il. α', 239. perperam Aristoxenus ap. Ammon. p. 123. ed. Valck.: τὸ μὲν ῥύεσθαι ἐκ θανάτου ἕλκειν, τὸ δὲ ἐρύεσθαι φυλάττειν. v. ann. ad Il. φ', 230. — δείδια sensu praesentis dixit, ut δ', 820 et alias. v. Matth. §. 505, III, 1. — ὁμοκλαὶ, minae. Il. ζ, 137 etc. — ἴομεν, ἴωμεν. — Sch. et Palat.: μέμβλωκε μάλιστα. τὸ πλεῖστον τῆς ἡμέρας παρελήλυθεν. E: τὸ δὲ μέμβλωκεν ἀντὶ τοῦ μεμόληκε, παρῆλθεν, — ὡς ἐκ τοῦ μολῶ μολήσω μεμόληκα. cf. Matth. §. 183, 6, Buttmann. Lexil. 1. p. 136, Schn. v. μέμβλωκα. Cl.: „Virg. Aen. 9, 156.: nunc adeo, melior quoniam pars acta diei est." — ἕσπερα, ἑσπέρια, quemadmodum ἔγχωρος et ἐγχώριος aliaque hujuscemodi promiscue dicuntur. perperam E: τὸ ἕσπερα συγκέκοπται ἐκ τοῦ ἑσπέρια, ceterum recte interpretatus ἐλλειπτικῶς ἕσπερα μέρη, ἢ καταστήματα, ἢ τοιοῦτόν τι. Sch.: ποτὶ ἕσπερον (scr. ἕ—ρα) ῥίγιον. πρὸς ἑσπέραν μᾶλλον χειμών ἐστιν. E: χειμέριος δηλοῦται ἢ ἐγγὺς χειμῶνος καιρός.

193. 281, π', 136.

194—196. διαμπερὲς, πάντως. δ', 209 etc. — E: τὸ δὲ ῥόπαλον (236, ι, 319 etc.) μετ' ὀλίγα καὶ σκῆπτρον ἐρεῖ θυμῆρες τῷ Ὀδυσσεῖ. — ἀπὸ τοῦ ῥέπω δὲ γίνεται τὸ ῥόπαλον, ὡς οἷα ῥέπον εἰς μέρος κ. μὴ ὀρθὸν, (melius Am. B.: παρὰ τὸ εἰς ἕτερον μέρος ῥέπειν. sed potius intelligendum est ῥέπειν activo sensu inclinare, ut ῥόπαλον significet id, quo aequilibrium alicujus rei efficitur. v. etiam Schn. v. ῥέμβω.) κατὰ τὸν τῆς Ἑκάβης παρ' Εὐριπίδῃ (Hecub. 64.) σκολιὸν σκίπωνα. (?) ὅμοιον δέ τι καὶ ἡ καλαῦροψ (Il. ψ', 845, ubi v. ann.), κάλον ἐκείνη, τουτέστι ξύλον, αὖ ῥέπον (reclinans, quemadmodum dicitur αὐερύειν), κατὰ ὁμοίαν ἐτυμολογίαν. — σκηρίπτεσθαι, ad innitendum. v. λ', 594. et de αι eliso ε', 410. — E: ἀρισφαλὴς δὲ ὁδὸς ἡ τραχεῖα (204) κ. πάνυ σφάλλουσα, ὡς κινδυνεύειν πίπτειν τὸν ὁδεύοντα. — E: ὅρα τὸ οὐδὸν ἀντὶ τοῦ ὁδὸν, ἐπενθέσει Αἰολικῇ τοῦ υ. ἅπαξ δὲ, φασὶν, ἐνταῦθα εἶπε τὴν λέξιν, κ. δέδωκεν ἀφορμὴν ἐτυμολογίας τῷ οὐδῷ (α', 104 etc.). καὶ ἐκεῖνος γὰρ ὁδός εἰς οἶκόν ἐστιν. Ἡρακλείδης δ' ἐν οἷς περὶ δυσκλίτων ῥημάτων γράφει, ἀρισφαλὲς ἔμμεναι οὖδας φησι γράφεσθαι οὐκ ἄλλως ὑπό τινων. periit ista scriptura e codicibus; quae vereor ne haec fuerit initio ἀρισφαλὲς

Ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἀεικέα βάλλετο πήρην,
πυκνὰ ῥωγαλέην, ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
Εὔμαιος δ' ἄρα οἱ σκῆπτρον θυμήρες ἔδωκεν.
τὼ βήτην· σταθμὸν δὲ κύνες καὶ βώτορες ἄνδρες
ῥύατ', ὄπισθε μένοντες. ὁ δ' ἐς πόλιν ἦγεν ἄνακτα,
πτωχῷ λευγαλέῳ ἐναλίγκιον, ἠδὲ γέροντι,
σκηπτόμενον, τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο.

quibus urbi appropinquantibus convicium facit Melantheus caprarius, et calce ferit Ulyssem.

Ἀλλ' ὅτε δὴ στείχοντες ὁδὸν κάτα παιπαλόεσσαν
ἄστεος ἐγγὺς ἔσαν, καὶ ἐπὶ κρήνην ἀφίκοντο
τυκτὴν, καλλίροον, ὅθεν ὑδρεύοντο πολῖται,
τὴν ποίησ' Ἴθακος, καὶ Νήριτος, ἠδὲ Πολύκτωρ
(ἀμφὶ δ' ἄρ' αἰγείρων ὑδατοτρεφέων ἦν ἄλσος,
πάντοσε κυκλοτερὲς, κατὰ δὲ ψυχρὸν ῥέεν ὕδωρ
ὑψόθεν ἐκ πέτρης· βωμὸς δ' ἐφύπερθε τέτυκτο

ἔμμεναι οὖδος. v. Schn. v. οὖδος. id vel casu mutatum fuerit a librariis propter ν et ς litterarum similitudinem; vel ex industria correctores posuerint οὐδὸν, cum οὖδος obsoletum esse videretur. ceterum Ap. quoque: οὐδός. ἐπὶ μὲν τοῦ βαθμοῦ τῆς θύρας, — ἀπὸ τοῦ δι' αὐτὸν ὁδεύειν etc. verum vix est ut affinitatem habeant vocabula ὁδὸς et οὐδὸς, *limen*, quod ὁδὸν dicunt Attici, velut Soph. Oed. Col. 57. εὐμεθόδως δὲ ἡ τοῦ ῥοπάλου χρῆσις διά τε τὸ ἀναγκαίως πτωχικώτερον τῆς σκευῆς, καὶ ἵνα πιθανῶς μετ' ὀλίγα (235) βουλεύσηται Ὀδ. ῥοπάλῳ τούτῳ ἀνελεῖν τὸν κακὸν Μελάνθιον.

197, 8. cf. ν', 437, 8.

199, 200. θυμῆρες, *gratum*. κ', 362. — βώτορες ἄνδρες. ξ', 102.

202, 3. 337, 8, π', 273, ω', 157, Il. ξ', 457.

204—216. παιπαλόεσσαν. κ', 97 etc. — Am. B.: τυκτήν (δ', 627). οὐκ αὐτοφυῆ. οὐ λέγει δὲ τὴν Ἀρέθουσαν (ν', 408). E: ὅτι κρήνη τις ἦν ἐν Ἰθάκῃ τυκτὴ, τουτέστι χειροποίητος, καλλ., ὅθεν ὑδρ πολῖται (η', 131, κ', 108.). ἀξία δὲ λόγου αὕτη, τρεῖς ἔχουσα ἐπισκευαστάς. φησὶ γὰρ, τὴν ποίησεν Ἴθακος — Πολύκτωρ· ὧν ἐξ Ἰθάκου μὲν ἡ Ἰθάκη (urbs), ἀπὸ δὲ Νηρίτου Νήριτον ὄρος (ι', 22) ἐκεῖ, ἀπὸ δὲ Πολύκτορος (non ficti illius, quem dicit Il. ω', 397., sed patris Pisandri σ', 298, χ', 243.) τόπος αὐτόθι Πολυκτόριον. Πτερελάου δὲ παῖδες οὗτοι. alius cognominis Taphiorum rex ap. Apollodorum 2, 4, 5. et 7. matrem Amphimeden nominant 2 Am. Sch.: Πτερελάου παῖδες Ἴθακος, κ. Νήριτος, (adde καὶ Πολύκτωρ), ἀπὸ Διὸς ἔχοντες τὸ γένος (imo γέρας) τὴν Κεφαλληνίαν. ἀρέσαν (scr. ἀπαρέσαν) δὲ αὐτοῖς τοῦτο, καταλιπόντες τὰ σφέτερα ἤθη παραγίνονται εἰς τὴν Ἰθάκην, καὶ τόπον ἰδόντες εὖ πεποιημένον εἰς συνοικισμὸν διὰ τὸ τῶν παρατεθειμένων ὑψηλότερον εἶναι, κατοικήσαντες δεῦρο τὴν Ἰθάκην (urbem scil.) ἔκτισαν. καὶ ἐκ μὲν τοῦ Ἰθάκου ἡ νῆσος ἐκωνομάσθη Ἰθάκη, τὸ δὲ παρακείμενον ὄρος ἐκ τοῦ Νηρίτου Νήριτον. ἡ δὲ ἱστορία παρὰ Ἀκουσιλάῳ (Sturz. fragm. 22.). — αἰγείρων. ζ', 292 etc. E: τὸ δὲ ὑδατοτρεφεῖς τὰς αἰγείρους εἶναι, ἱστορία ἐστὶ φυτική. (Plin. H. N. 16, 18.: *nonnisi in aquosis proveniunt salices, alni, populi, siler* etc.) τὸ δὲ πάντοσε κυκλοτερὲς πρὸς διαστολὴν ἡμικυκλίου εἴρηται. σημείωσαι δ' ἐνταῦθα εἰς τὸ παντ. κυκλ., ὅπως τίμιον ἐδόκει χρῆμα τοῖς παλαιοῖς ὁ κύκλος διὰ τὸ κατὰ κόσμον σφαιροειδές. οὗ φαντασίαν ἐναργῆ, φασὶ, λαβόντες ἐκ τοῦ τῆς σελήνης κ. τοῦ ἡλίου σχήματος θέατρά τε κυκλοτερέσιν ἐσέμνυνον σχήμασι, κ. τὸν τῆς ἀγορᾶς δὲ τόπον κύκλῳ περιέγραφον κατὰ τὸ κυκλόεντ' ἀγορᾶς θρόνον, κ. βωμοὺς δὲ ἱεροὺς πάντοσε κυκλοτερεῖς ἀνίστων κ. κατὰ περιστροφὴν δὲ, φασὶ, καθὰ καὶ ἄλλα τινὰ τῶν κάτω τοῖς ἄνω ἤθελον ἀφομοιοῦν. διὸ καὶ ἡ τράπεζα κυκλοειδὴς ἦν αὐτοῖς, κυκλοτερεῖς δὲ καὶ οἱ καθαγιζόμενοι τρίποδες, ἔχοντες αὐτοὶ καὶ ἀστέρας, οὓς, φασὶ, καὶ ἐκάλουν σελή-

Νυμφάων, ὅθι πάντες ἐπιῤῥέζεσκον ὁδῖται),
ἔνθα σφέας ἐκίχαν' υἱὸς Δολίοιο Μελανθεὺς,
αἶγας ἄγων, αἳ πᾶσι μετέπρεπον αἰπολίοισι,
δεῖπνον μνηστήρεσσι· δύω δ' ἅμ' ἕποντο νομῆες.
τοὺς δὲ ἰδὼν νείκεσσεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν,
ἔκπαγλον, καὶ ἀεικὲς, ὄρινε δὲ κῆρ Ὀδυσῆος·
„Νῦν μὲν δὴ μάλα πάγχυ κακὸς κακὸν ἡγηλάζει,
ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς εἰς τὸν ὁμοῖον.
πῇ δὴ τόνδε μολοβρὸν ἄγεις, ἀμέγαρτε συβῶτα,

νας. προσθετέον δὲ τούτοις, φασὶ, καὶ τὴν ἅλω, διαγεγραμμένην εἰς κύκλον, κ. τὸν ἄρτον δὲ, φασὶν, οὕτως ἐκάλεσαν διὰ τὸ κατ' αὐτὸν στρογγύλον, ἐπειδὴ τῶν σχημάτων ὁ κύκλος ἀπήρτισται καί ἐστι τέλειος etc. — ἐπιῤῥέζεσκον, *sacrificabant in ara illa.* ῥέζεσκον dixit eodem sensu Il. θ', 249., faciendi autem Odyss. χ', 46. et 209. — de *Melantheo* sive *Melanthio*, servo impudentissimo, et sorore ejus *Melanthone*, quae rem habuit cum Eurymacho, cf. σ', 320—324, υ', 173, ubi 213. et 214. iterum leguntur, φ', 265, χ', 457—477 etc. — μετέπρεπον, *antecellebant.* ζ', 109, Il. β', 579 etc. — ἔκπαγλον, ἐκπάγλως. ε', 340, θ', 77, Il. ν', 413 etc. — ἀεικὲς, ἀεικῶς, *indigne.* γ', 265 etc.

217. Harl.: ἡγηλάζει. οὕτως Ἀρίσταρχος καὶ Ἀριστοφάνης, χωρὶς τοῦ σ. Alii igitur quidam legebant ἡγηλάζεις. quae sane lectio, principum criticorum pace dixerim, mihi longe melior videtur. alloquitur enim subulcum Melantheus, et singularem propositionem generali sententia comprobat. *Porson.* Non assentior. singularitas enim sententiae satis exprimitur illo νῦν, irridenti autem longe melius convenit usus 3. personae. *Buttmann.* temere hoc dixit Buttmannus; verum de potestate τοῦ νῦν nobis cum illo convenit. praeterea falsus est Porsonus in eo, quod solum subulcum hisce compellari dicit a Melanthio. utrumque, Ulyssem et Eumaeum, simul increpat iste nebulo, τοὺς δὲ ἰδὼν νείκεσσε, et omnino de utroque agitur h. l., ne quis τὸν ponendum esse censeat. specialis autem et haec sententia est, sociari solere nequam homines, quod est genus eorum, qui sunt consimiles moribus. quare nihil mutandum est. — ordo: μάλα πάγχυ ἡγ., *sane ducit*, non μ. π. κακός. v. β', 49, δ', 755 etc. E: τὸ δὲ μάλα πάγχυ Ἀττικόν ἐστιν, ὡς καὶ τὸ λίαν πάνυ, κ. τὸ τυχὸν ἴσως, κ. παρ' Ἡσιόδῳ (O. et D. 91) νόσφιν ἄτερ (τε) κακῶν.

218. dedi εἰς pro ὡς ex A. 2., nisi quod is liber habet ἐς, et Aristotele Ethic. Eudem. 7, 1. usus τοῦ ὡς pro εἰς sive πρὸς non est Homeri, sed Atticorum, ut Cl. notavit. „ὡς — ὁμοῖον, proverbium illustrant interpretes Aristaeneti 1, 10.“ B. ita Latini: *Simile simili gaudet*, nostrates: *Gleich und Gleich gesellt sich gern.* Cl. haec adscripsit: Aristot. Ethic. Magn. 2, 2.: πότερον γὰρ ἔστιν ἡ φιλία ἐν τοῖς ὁμοίοις, ὥσπερ δοκεῖ κ. λέγεται; καὶ γὰρ κολοιὸς, φασὶ, παρὰ κολοιὸν ἱζάνει, καὶ αἰεί τοι (sic ille, uti et Plato Lyside, memoriter, opinor.) τὸν ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον. idem Rhet. 1, 8.: καὶ ἐπεὶ τὸ κατὰ φύσιν ἡδὺ, τὰ συγγενῆ δὲ κατὰ φύσιν ἀλλήλοις ἐστὶν, ἅπαντα τὰ συγγενῆ κ. ὅμοια ἡδέα, ὡς ἐπιτοπολύ· — ὅθεν καὶ αἱ παροιμίαι εἴρηνται, ὡς ἧλιξ ἥλικα τέρπει, καὶ αἰεὶ τὸν ὅμοιον. v. et eundem Eth. Nicom. 8, 2. et Eth. Eudem. 7, 1.

219—231. Ap.: μολοβρόν. (σ', 26.) τὸν μολίσκοντα ἐπὶ τὴν βορὰν, οἱονεὶ γαστρίμαργον etc. E.: μολοβρὸς ὁ ἀγύρτης κ. μολὼν αὐτὸς (malim αὔτως) εἰς βορὰν etc. similiter alii; nec tamen βορὰν huc pertinere putem, sed μολοβρὸν intelligam μολομβρὸν, μολομερὸν, a μόλομαι, h. e. *ventitantem*, ultro citroque cursantem, ut solent mendici; cujusmodi vox, sed ignominia carens, est ἱκέτης, ab ἵκω. (cf. 352.) ita μεσημβρίαν pro μεσημερίαν et similia dixerunt (v. Buttm. *Lexil.* 34, 9. et 108.), μολοβρὸς autem quam μολομβρὸς maluerint μ eliso, ut in ἄβροτος, βριμος. — Am. Q.: ἀμέγαρτε. οὐδενὸς λόγου ἄξιε. Ap. h. v.: ᾧ οὐκ ἄν τις μεγήρειεν, ὅ ἐστι φθονήσειε, ζηλώσειεν etc. (v. ann. ad Il. β', 420., ubi tamen male Buttmannus negat, ἀμέγαρτον dici etiam πολὺν, siquidem copiae affluentiaeque

πτωχὸν ἀνιηρὸν, δαιτῶν ἀπολυμαντῆρα,
ὃς πολλῇς φλιῇσι παραστὰς φλίψεται ὤμους,
αἰτίζων ἀκόλους, οὐκ ἄορας, οὐδὲ λέβητας;
τόν κ' εἴ μοι δοίης σταθμῶν ῥυτῆρα λιπέσθαι,
σηκοκόρον τ' ἔμεναι, θαλλόν τ' ἐρίφοισι φορῆναι,
καί κεν ὀρὸν πίνων μεγάλην ἐπιγουνίδα θεῖτο.

notio subest ei, cui nemo invidit, quodque sine impedimento provenit, crevitque. cf. hymn. in Merc. 125.,locum conclamatum.) E: ἀμέγαρτος συβώτης ὁ εὐτελὴς κ. ἄζηλος, ᾧ οὐκ ἄν τις, φασὶ, φθονήσοι τοῦ συβωτεῖν. — ἢ καὶ ἄλλως ὁ ἀχρεῖος κ. διὰ τὴν ἀτεχνίαν ἀφθόνητος. Gnomicus latinus: *miserrima est fortuna, quae inimico caret.* Pindarus: κρέσσων οἰκτιρμῶν φθόνος. contemnit Eumaeum Melanthius delicatior et procorum commercio assuetus. E: ἰστέον, ὅτι ἀγλαΐα τις ἦν τῷ Μελανθίῳ καὶ τὸ μὴ αὐτὸν ἄγειν τὰς αἶγας, ἀλλὰ δύο ἕπεσθαι νομῆας αὐτῷ. ὅτι δὲ ἔχαιρεν ἀγλαΐαις ὁ Μελ., ἐν τοῖς ἐφεξῆς (244) φανεῖται. — ἀνιηρὸν, *molestum*. 377, β', 190. — E: δαιτῶν ἀπολυμαντὴρ (377) ὁ τὰς δαῖτας διὰ λαιμαργίαν λυμαινόμενος. ἢ τὰ τῶν δαιτῶν λύματα, ὅ ἐστι καθάρματα, οἷον ψιχία κ. εἴ τι τοιοῦτον, ἀποφερόμενος, ὁποῖος καὶ ὁ ἀκόλους αἰτίζων (222.) etc. vera est prior harum interpretationum; alteram peperisse videtur ἀπολυμαίνεσθαι, *lustrare*, Il. 314. et 15. Horat. Epist. 1, 15, 31.: *pernicies et tempestas barathrumque macelli, Quidquid quaesierat, ventri donabat avaro.* — Sch. emend.: φλιῇσι. ταῖς παραστάσι τῆς θύρας. E: τὸ δὲ φλιῇσι παραστὰς φλίψεται ὤμους, ἢ θλίψεται, διχῶς γὰρ ἡ γραφή, (sane Harl.: φλίψεται, sed manus emendatrix: θλίψεται, et Schol.: διὰ τοῦ θ, ὡς καὶ Ζηνόδοτος. Ap. quoque: φλίψεται. ἀποθλιβήσεται, nec aliter Hesych. h. v. et Etym. M. p. 200. igitur id recepi. de litteris θ et φ confusis v. κ', 10, ξ', 354.) περίφρασίς ἐστι τοῦ θλιβήσεται, ἐπείπερ οἱ πτωχοὶ προστριβόμενοι φλιαῖς κ. προσκλινόμενοι, ἢ καὶ ἐπ' αὐτῶν βιαίως ἑλκόμενοι, θλίβονται τοὺς ὤμους· ὁποῖόν τι δηλοῖ καὶ τὸ θύρας ἐκτρίβειν. ἴσως δὲ καὶ παρετυμολογεῖ τὴν φλιὰν, εἰπὼν φλιαῖς φλίψεται. ἡ δὲ λέξις Αἰολική, ὡς τὸ φηρσὶ, κ. τὸ φλᾶν· αὐτὸ μέντοι καὶ Ἀττικόν ἐστιν. ἄκολοι δὲ οἱ σμικρότατοι κ. ψιχιώδεις ψωμοὶ, εἴτουν πύρνα· ταυτὸν γὰρ πύρνον εἰπεῖν κ. ψωμὸν κατὰ τὸν παραφράσαντα, οὓς οὐκ ἄν τις ἔχοι κολούειν ἤτοι κολοβοῦν, σμικροτάτους ὄντας. παλαιὸς δέ τις καὶ οὕτω φράζει· ἄκολος, μικρὸς ψωμὸς, μηκέτι κολούεσθαι δυνάμενος κ. εἰς μικρὰ τέμνεσθαι. — ἄορας δὲ τὰς γυναῖκας λέγει, παρὰ τὸ ἀείρω τὸ συζευγνύω, ὡς καὶ ἡ Ἰλιὰς (ε', 486) δηλοῖ ἐν τῷ ἀμυνέμεν ὤρεσι, τουτέστι ταῖς γυναιξίν. — ἕτεροι δὲ ἄορα γράφουσι χωρὶς τοῦ σίγμα, ἤγουν ξίφη, ὡς ἂν λέγῃ κατὰ μὲν τὴν πρώτην γραφὴν, ὅτι αἰτῶν οὐ μεγάλα τινὰ, οἷον γυναῖκας δμωὰς, ἢ λέβητας, ὁποῖα τοῖς μεγάλων (male liber: μεγάλοις) ἀξίοις δίδονται, ἀλλὰ ἀκόλους τοὺς ῥηθέντας, κατὰ δὲ τὴν δευτέραν γραφὴν αἰτῶν οὐ ξίφη καὶ τάδε τινὰ τιμῆς ἄξια, ψωμοὺς δὲ βραχεῖς τινας. καὶ ἔστι κἀνταῦθα προσφυὲς Ἐρετριέως Ἀχαιοῦ τὸ πεινῶντι δ' ἀνδρὶ μάζα τιμιωτέρα Χρυσοῦ τε, κἀλέφαντος. σηκοκόρος δὲ, ὡς νεωκόρος. σηκὸς δὲ ἡ μάνδρα τὸ παλαιόν. (v. ann. ad ι', 219.) — οἱ δὲ ὕστερον καὶ ἐπὶ ναοῦ ἔθεντο τὴν λέξιν etc. Sch.: θαλλόν. πᾶν τὸ ἐκ γῆς φυέν. ἢ τὴν φυλλάδα. πᾶς γὰρ κλάδος δένδρου θαλλὸς προσαγορεύεται, ὑπὸ δὲ Ἀττικῶν δὲ μόνος ὁ τῆς ἐλαίας. hoc si ita esset, θαλλὸν ἐλαίας non dixisset Euripides Iphig. Taur. 1024.; verum saepe θαλλὸν ramum oleae vocant Attici κατ' ἐξοχὴν propter frequentiam ejus arboris in Attica et celebritatem Minervae, cui sacra fuit. v. Aeschyl. Cho. 967, Aristoph. Eccles. 743, Ruhnken. ad Tim. v. θαλλὸς etc. — φορῆναι, a φόρημι. Il. β', 107, ο', 310, Matth. §. 253. — E: ὀρὸς καὶ νῦν τὸ ὑπολειπόμενον ὑδατῶδες ἐν τῇ πήξει τοῦ γάλατος, (sic. scribendum γάλακτος) καὶ ἄλλως δὲ εἰπεῖν κατὰ τοὺς παλαιοὺς (velut Sch.) ὑδατώδης κ. ἐφθαρμένη ὑποστάθμη γάλατος. (Ap.: — ἡ ὑδατώδης ὑπόστασις τοῦ γάλακτος ὀρὸς λέγεται. — Virg. Georg. 3, 405.: *veloces Spartae catulos acremque Molossum Pasce sero pingui.* Voss.: *könnt' er, mit molke getränkt, noch fleisch auf die lenden gewinnen.*) δι' ἑνὸς δὲ ρ καὶ

ἀλλ᾽ ἐπεὶ οὖν δὴ ἔργα κάκ᾽ ἔμμαθεν, οὐκ ἐθελήσει
ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσων κατὰ δῆμον
βούλεται αἰτίζων βόσκειν ἣν γαστέρ᾽ ἄναλτον.
ἀλλ᾽ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται,
αἴ κ᾽ ἔλθῃ πρὸς δώματ᾽ Ὀδυσσῆος θείοιο,
πολλά οἱ ἀμφὶ κάρη σφέλα ἀνδρῶν ἐκ παλαμάων
* πλευραὶ ἀποτρίψουσι δόμον κάτα βαλλομένοιο.“
Ὣς φάτο, καὶ παριὼν λὰξ ἔνθορεν ἀφραδίῃσιν
ἰσχίῳ· οὐδέ μιν ἐκτὸς ἀταρπιτοῦ ἐστυφέλιξεν,
ἀλλ᾽ ἔμεν᾽ ἀσφαλέως. ὁ δὲ μερμήριξεν, Ὀδυσσεὺς,
ἠὲ μεταΐξας ῥοπάλῳ ἐκ θυμὸν ἕλοιτο,
* ἢ πρὸς γῆν ἐλάσειε κάρη, ἀμφουδὶς ἀείρας·

νῦν γράφεται. (legitur tamen ὀῤῥὸς cum alias, tum apud Sch. item Aristoteles H. A. 3, 16, 2.: πᾶν δὲ γάλα ἔχει ἰχῶρα ὑδατώδη, ὃς καλεῖται ὀῤῥὸς, κ. σωματῶδες, ὃ καλεῖται τυρός.) ὀροῦ δὲ ἀξιοῖ τὸν Ὀδυσσέα ὁ Μελάνθιος, ὡς μὴ δικαιῶν αὐτὸν πίνειν γάλατος. καὶ ἄλλως δὲ ἀγροτικὸν τὸ πόμα, ὡς καὶ ὁ Κύκλωψ (ι', 222.) ἐδήλωσεν. ἐπιγουνὶς δὲ ὁ ἀνωτέρω τοῦ γόνατος τόπος, ὃν καὶ μύλην φασί τινες. χρῆσις δὲ ταύτης καὶ ἐν τῷ (σ', 74.) οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει, τουτέστιν εὐσαρκίαν, εὐεξίαν, ὡς ἐκ μέρους τὸ πᾶν δηλοῦσθαι. τὸ δὲ ἔργα κάκ᾽ ἔμαθε διπλάζει τὸ μῦ ἐν τῷ ἔμαθε κατὰ τοὺς παλαιούς. „eadem scil. ratione atque ἔλλαβε, ἐλλιτάνευε“ etc. *Cl.* cf. locum similem σ', 361—363. — ἔργον ἐποίχεσθαι, ἐργάζεσθαι. — πτώσσων idem τῷ πτωχεύειν esse ait E. Ap. emend.: πτωχὸς, ὁ ἐπαίτης, παρὰ τὸ πτώσσειν, ὅ ἐστι ταπεινοῦσθαι. σημαίνει δὲ τὸ ἐπαιτεῖν· ἀλλὰ πτώσσων κατὰ δῆμον. — cf. Il. δ', 371, ε', 634, υ', 427, Odyss. χ', 304, e quibus locis similibusque intelligas, πτώσσειν proprie esse *trepidare* et ultro citroque cursare, ut solent mendici invisi plerisque omnibus et male habiti. hinc τῷ πτώσσων subjectum est αἰτίζων. — E: τὸ δὲ βόσκειν (559 etc.) ὡς ἐπὶ ἀλόγου ζώου ἔφη, σκώπτων καὶ οὕτως. γαστὴρ δὲ ἄναλτος ἡ ἀπλήρωτος etc. ab ἄλω, ἄλδω. v. Schn. v. ἄναλτος, et B ann. ad Gnomicos p. 286. — σφέλα, *scabella*, a σφέλας, quod dixit σ', 393. producit vox posteriorem syllabam, utpote contractam e σφέλαα, ut δέπα e δέπαα τ', 62. et υ', 153.

232. quo pacto fieri potest, ut latera Ulyssis deterantur scabellis jactatis circum caput ejus, ἀμφὶ κάρη? senserunt, opinor, hanc ἀσυστασίαν illi, qui scribebant ἀμφικαρῆ σφέλα, h. e. interprete E. ὑποπόδια ἀμφικέφαλα, ὡς οἷον κεφαλὰς ἀμφοτέρωθεν ἔχοντα τὰς ἐν αὐτοῖς ἐξοχὰς κ. λαβάς. sed nusquam scabella ejusmodi ansata dicuntur in his carminibus; quae scabella, si usitata fuissent, profecto poëta, quaevis diligenter describere solitus, commemorasset. dein dure ille, cujus minime dura est oratio, dixisset πλευραί οἱ ἀποτρίψουσι σφέλα pro σφέλα οἱ ἀπ. πλευράς. Mediolanenses quidem Scholiastae: ὑπερβολικῶς εἶπεν, ὡς εἰ φαίη τις, ὅτι πολλὰς μάστιγας κατέτριψεν ὁ νῶτος τοῦδε. sed hoc quivis sentiat longe lenius dictum esse, faciliusque atteri usu lora quam scabella. quid multa? affectum est vocabulum πλευραὶ, ponendumque πλευρά τ᾽. apte Hom.: κάρη πλευρά τε, ut μετάφρενον ἠδὲ καὶ ὤμω πλῆξεν Il. β', 265. forte librarii scripserint πλευραὶ pro πλευράτ᾽, ut καὶ pro κατ᾽ Il. σ', 357. quam correctionem firmat Aldinae 3. et quorundam apud E scriptura πλευρὰς, cum notum sit, etiam σ et τ litteras permisceri solere in codicibus. dixit autem Hom. πλευρὰ Il. δ', 468. ἀμφὶ jam pro adverbio accipiendum est.

233—236. λάξ. ο', 45 etc. — ἔνθορεν, *insultavit.* Il. ε', 161, φ', 18 etc. — ἀφραδίῃσιν. ι', 361. — ἰσχίῳ. ε', 305 etc. — ἀταρπιτοῦ, ἀταρποῦ. Il. σ', 565. — ἐστυφέλιξεν. π', 108 etc. — μεταΐξας, μεταδιώκων, *cito insecutus illum.* υ', 11, Il. π', 398 etc. — ῥοπάλῳ. 195.

237. ἀμφουδὶς ἀείρας. plerique codd.: ἀμφ᾽ οὖδας ἀείρας, nonnulli, in quibus Thom. Bentleji: ἀμφ᾽ οὖδας ἐρείσας. E: τὸ ἀμφουδὶς οὐδὲν διαφέρει τοῦ ἀμφ᾽ οὖδας, πλὴν ὡς αὐτὸ ἐπίῤῥημά ἐστιν ἐκεῖθεν παραχθέν. λέγει δὲ ἀμφουδὶς ἐρεί-

ἀλλ' ἐπετόλμησε, φρεσὶ δ' ἔσχετο. τὸν δὲ συβώτης
νείκεσεν ἄντα ἰδών· μέγα δ' εὔξατο, χεῖρας ἀνασχών·

graviter eum castigat Eumaeus.

„Νύμφαι κρηναῖαι, κοῦραι Διὸς, εἴποτ' Ὀδυσσεὺς
ὔμμ' ἐπὶ μηρί' ἔκηε, καλύψας πίονι δημῷ,
ἀρνῶν, ἠδ' ἐρίφων, τόδε μοι κρηήνατ' ἐέλδωρ,
ὡς ἔλθοι μὲν κεῖνος ἀνὴρ, ἀγάγοι δέ ἑ δαίμων!
τῷ κέ τοι ἀγλαΐας γε διασκεδάσειεν ἁπάσας,
τὰς νῦν ὑβρίζων φορέεις, ἀλαλήμενος αἰεὶ
ἄστυ κάτ'· αὐτὰρ μῆλα κακοὶ φθείρουσι νομῆες.“

cui impudenter ille et impie respondet.

Τὸν δ' αὖτε προσέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
„ὢ πόποι, οἷον ἔειπε κύων, ὀλοφώϊα εἰδώς!
τόν ποτ' ἐγὼν ἐπὶ νηὸς ἐϋσσέλμοιο μελαίνης
ἄξω τῆλ' Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφοι.

σαι τὸ πρὸς τῇ γῇ ῥῖψαι, καὶ ἔστι ταὐτὸν τῷ πρὸς γῆν ἐλάσαι. εἰ δὲ γράφεται ἀείρας, εἴη ἂν ὁ νοῦς τοιοῦτος, ὡς ἐβουλεύσατο Ὀδ., ἢ ἀνέλοι τὸν κακὸν, ἢ ἀείρας ἀμφουδὶς, τουτέστιν ἐκ γῆς, πρὸς γῆν αὖθις ἐλάσειε τὴν ἐκείνου κεφαλήν· ἢ καὶ ἄλλως, ἀείρας βάλῃ τὴν κεφαλὴν πρὸς γῆν ἀμφουδὶς, κατὰ μίαν ἀμφοῖν τῶν λέξεων ἐκ παραλλήλου ἔννοιαν. utraque harum explicationum ταυτολογίᾳ laborat. nec tamen alii melius; Sch.: ἀμφ' οὔδης (sic). περὶ τὸ ἔδαφος, et similiter Ap.: ἀμφοῦδας· περὶ τὸ οὖδας, τὸ ἔδαφος. Harl.: ἀμφ' οὐδίς. τὸ δὲ ἀμφουδὶς ὀξύνεται, ὡς λικριφίς. hoc Catone haud contentus depravatam puto vocem οὖδας, ponendumque οὐασ', h. e. οὔασι. Δ illud in ΟΥΔΑΣ ortum fuerit ex Α simili, quod sequitur; quae litterae saepe sibi offecere. ipsum illud αμφουδις nihil aliud fuisse videtur initio quam αμφουασ, τῷ α posteriore scripto ita, more multorum librariorum, ut pro αι haberi posset, quod deinde in δι mutatum arbitror. apostrophus neglectus est, ut ι', 355 etc. igitur hoc demus: ἀμφ' οὔασ' ἀείρας, auribus extollens; quod post athletae facere solebant in ἀνακλινοπάλῃ sive lucta volutatoria. dubitabat Ulysses, occideretne scelus istud hominis, an prostrati caput auribus arreptum solo infligeret.

238—242. ἐπετόλμησεν, ἔτλη, sustinuit, pertulit. α', 353. — ἔσχετο, κατέσχετο, continuit se. — νείκεσεν ἄντα ἰδών. sic plurimi codd. cum scripti, tum impressi. Ald. 3.: νείκεσσεν ἄ. ἰ. sed A. 2.: νείκεσ', ἐς ἄντα. unde W et B: νείκεσ' ἐσάντα, quod non caret κακοφωνίᾳ. E: νείκεσσεν ἐσάντα ἰ. — „μέγα — ἀνασχών. Virg. Aen. 10, 667.: et duplices cum voce manus ad sidera tendit.“ Cl. — Am. Q. et Sch.: Νύμφαι κρηναῖαι. ταύταις προσεύχεται ἤτοι καθὸ ἀγροῖκός ἐστιν, ἢ ὅτι τότε τὴν κρήνην προῄει (προσῄει). eaedem sunt Νύμφαι νηϊάδες ν', 356. cf. Il. ζ', 420, Odyss. ζ', 105. — εἴποτ' — ἐέλδωρ. cf. Il. α', 40, 503 etc. Cl.: „Virg. 9, 406.: si qua tuis unquam pro me pater Hyrtacus aris Dona tulit. et 12, 778.: — colui vestros si semper honores.“

243. φ', 201.

244—262. Sch.: ἀγλαΐας. τοὺς καλλωπισμούς. fastus, delicias. v. Schn. v. ἀγλαΐα, E ann. ad 251, et inferius 310. φορέεις, fers, prae te fers, ostentas. — E: μῆλα. τὰ ὑπὸ σὲ θρέμματα, τὰς αἶγας δηλαδή. — κακοὶ νομῆες, mali pastores, praesertim mercenarii. Virg. Eclog. 3, 3. ipse Neaeram Dum fovet, — Hic alienus oves custos bis mulget in hora. — κύον, canis, Hund. convicium usitatum. v. Il. θ', 422, φ', 481, Terent. Eun. 4, 7, 33 etc. Plautus Most. 1, 1., quae consimilis scena est, 40.: canes capro commixta. — ὀλοφ. εἰδώς. δ', 410, 460. — E: τόν ποτ' — ἄλφοι. — ὁ Μελάνθιος οὐκέτι ὡς μόνον ἀγλαὸς, ἀλλ' ὡς καὶ δεσπότης, προσενεχθεὶς τῷ Εὐμαίῳ κ. σκώψας πρῶτον, εἶτα καὶ ἀπειλησάμενος, εὔχεται καὶ αὐτὸς, ὡς αὐτῷ ἐδόκει. — τὸ βίοτον π. ἄλφοι ταυτόν

αἲ γὰρ Τηλέμαχον βάλοι ἀργυρότοξος Ἀπόλλων
σήμερον ἐν μεγάροις, ἢ ὑπὸ μνηστῆρσι δαμείη,
ὡς Ὀδυσῆΐ γε τηλοῦ ἀπώλετο νόστιμον ἦμαρ!“
Ὣς εἰπὼν τοὺς μὲν λίπεν αὐτοῦ ἦκα κιόντας·
αὐτὰρ ὁ βῆ, μάλα δ' ὦκα δόμους ἵκανεν ἄνακτος.
αὐτίκα δ' εἴσω ἴεν, μετὰ δὲ μνηστῆρσι κάθιζεν
ἀντίον Εὐρυμάχου· τὸν γὰρ φιλέεσκε μάλιστα.
τῷ πάρα μὲν κρειῶν μοῖραν θέσαν, οἳ πονέοντο·
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα
ἔδμεναι. ἀγχίμολον δ' Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
στήτην ἐρχομένω. περὶ δέ σφεας ἤλυθ' ἰωὴ
φόρμιγγος γλαφυρῆς· ἀνὰ γάρ σφισι βάλλετ' ἀείδειν
Φήμιος. αὐτὰρ ὁ χειρὸς ἑλὼν προσέειπε συβώτην·

Ulyssis, domum suam ficte admirantis, oratio.

„Εὔμαι', ἦ μάλα δὴ τάδε δώματα κάλ' Ὀδυσῆος,
ῥεῖα δ' ἀρίγνωτ' ἐστὶ καὶ ἐν πολλοῖσιν ἰδέσθαι.
ἐξ ἑτέρων ἕτερ' ἐστίν· ἐπήσκηται δέ οἱ αὐλὴ
τοίχῳ καὶ θριγκοῖσι, θύραι δ' εὐεργέες εἰσὶ

ἔστι τῷ ὦ ν ο ν μ υ ρ ί ο ν ἄ λ φ ο ι, ὃ πρὸ ὀλίγων (ο', 451) ἐῤῥέθη διὰ τὸν μικρὸν Εὔμαιον. ἡ δὲ τοῦ Ἀ π ό λ λ ω ν ο ς β ο λ ὴ κατὰ τοῦ Τηλεμάχου αἰφνίδιον δηλοῖ θάνατον, ὡς δῆλον καὶ ἐκ τοῦ σ η μ ε ρ ο ν. (v. η', 64.) ἰστέον δὲ, ὅτι τὴν τοῦ Μελανθίου ἀ γ λ α ΐ α ν αὐτίκα δηλώσει εὐθὺς καὶ τὸ μ ε τ ὰ μ ν η σ τ ῆ ρ σ ι κ α θ ί ζ ε ι ν αὐτὸν ἀ ν τ ί ο ν Ε ὐ ρ υ μ ά χ ο υ, τ ὸ ν γ ὰ ρ φ ι λ. μ ά λ. (96), καὶ μ ο ῖ ρ α ν δὲ αὐτῷ ἐξαίρετον τίθεσθαι. ὡς δὲ καὶ ὁρμητίας ἦν, δῆλον ἐκ τοῦ τὸν μὲν Εὔμαιον κ. τὸν ξένον ἡσυχῆ προϊέναι, τὸν δὲ μ ά λ α ὦ κ α βαίνοντα δ ό μ ο υ ς ἱ κ ά ν ε ι ν ἄ ν α κ τ ο ς. — Am. Q.: τ ὸ ν — μ ά λ ι σ τ α. ἐπεὶ τῇ ἀδελφῇ αὐτοῦ ἐμίγνυτο Μελανθοῖ. — ο ἳ π ο ν έ ο ν τ ο, *qui administrabant*, quibus id negotium erat. — ἔ δ μ ε ν α ι, ὥστε ἔδμεναι. — ἀ γ χ ί μ ο λ ο ν. θ', 300 etc. — ἰ ω ή, *sonus*. Il. δ', 276. — φ ό ρ μ ι γ γ ο ς γ λ α φ. χ', 340 etc. cf. ann. ad α', 155. — ἀ ν ὰ — β ά λ λ ε τ' ἀ ε ί δ ε ι ν. α', 155.

265, 6. ῥ ε ῖ α δ' ἀ ρ. ἐ σ τ ί ν. ζ', 300. cf. inferius 375. — E: ἐξ ἑτ. ἕ τ ε ρ ά ἐ σ τ ι ν, ὅ ἐστιν, οὐ μονόστεγα, ἀλλ' ὑπερῷα (α', 328, 362 etc.), ὁποῖοι καὶ οἱ πρὸ βραχέων (110) ὑ ψ η λ ο ὶ δ ό μ ο ι τοῦ Νέστορος. Am. 2.: κατ' ἀκρίβειαν τὸ ἕ τ ε ρ α διὰ τὸ δίστεγα εἶναι, ὡς μοναστέγων ὄντων τῶν ἰδιωτικῶν οἰκημάτων. temere Palat.: δηλονότι τρίστεγοί (τρίστεγά) εἰσι: neque enim novit Hom. δόμους τριστέγους. Montbel.: „*elle a plusieurs étages.* C'est là le sens que tous les interprètes donnent à ces paroles du texte: ἐξ ἑτ. ἕτ. ἐστίν. (v. Sch. et schol. ed. a Buttm., E p. 1819, l. 30.) Voilà ce qui explique cette expression de ὑπερῷα, *les appartements supérieurs*, où se retire Pénélope et dont il est parlé ailleurs. Ces appartements étaient au premier étage, et principalement destinés aux femmes. M. le Chevalier, dans son voyage de la Troade (T. I., p. 68, 2. ed.), suppose qu'il existe encore aujourd'hui des ruines qui, d'après la tradition reçue parmi les habitants d'Ithaque, seraient les débris du palais d'Ulysse. Cette opinion ne peut être appuyée sur aucun fondement historique de quelque vraisemblance; mais elle flatte trop les idées des Ithaciens pour ne s'être pas accréditée parmi eux.“ — Am. Q. et Sch.: ἐ π ή σ κ η τ α ι. μετ' ἐπιμελείας διακεκόσμηται. cf. γ', 438.

267. ε ὐ ε ρ γ έ ε ς. scriptura vulgata, quam facile praetuli recens a viris doctissimis admisso εὐερκέες, cum apte αὐλὴ appelletur εὐερκὴς (φ', 389 etc.), non item θύρη, quam potius εὐεργέα vocasse existimandus est Hom., quemadmodum passim εὐεργέα νῆα dixit, ipsasque fores πυκινῶς ἀραρυίας φ', 236 et alias. Sch.: ε ὐ ε ρ κ έ ε ς. ἀσφαλεῖς. (notio τροπικὴ et precaria hujus verbi.) εἰ δὲ ε ὐ ε ρ γ έ ε ς, καλῶς εἰργασμέναι. contra E: θ ύ ρ α ι δ' ε ὐ ε ρ γ έ ε ς ἢ ε ὐ ε ρ κ έ ε ς ε ἰ σ ί, quasi is, qui in libro

δικλίδες· οὐκ ἄν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο.
γιγνώσκω δ', ὅτι πολλοὶ ἐν αὐτῷ δαῖτα τίθενται
ἄνδρες, ἐπεὶ κνίσση μὲν ἀνήνοθεν, ἐν δέ τε φόρμιγξ
ἠπύει, ἣν ἄρα δαιτὶ θεοὶ ποίησαν ἑταίρην."

deliberat cum illo Eumaeus, utrum ipse an Ulysses prior introeat.

Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„ῥεῖ' ἔγνως, ἐπεὶ οὐδὲ τά τ' ἄλλα πέρ ἐσσ' ἀνοήμων.
ἀλλ' ἄγε δὴ φραζώμεθ', ὅπως ἔσται τάδε ἔργα.
ἢ σὺ πρῶτος ἔσελθε δόμους εὐναιετάοντας,
δύσεο δὲ μνηστῆρας, ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ·
εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐγὼ δ' εἶμι προπάροιθε.
μηδὲ σὺ δηθύνειν, μήτις σ' ἔκτοσθε νοήσας
ἢ βάλῃ, ἢ ἐλάσῃ. τάδε σε φράζεσθαι ἄνωγα."

Eumaeum praeire jubet Ulysses.

Τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
„γιγνώσκω, φρονέω, τάγε δὴ νοέοντι κελεύεις.
ἀλλ' ἔρχευ προπάροιθεν, ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ.
οὐ γάρ τι πληγέων ἀδαήμων, οὐδὲ βολάων·
τολμήεις μοι θυμὸς, ἐπεὶ κακὰ πολλὰ πέπονθα

suo legerit *εὐεργέες*. alterum habetur in MS. Th. Benthleji, A. 3., Ald. 3. et apud Dionem Chrysost. orat. 2., l. c. a Clarkeo.

268—271. *δικλίδες*. *β'*, 345. — *μὶν*, *τὴν αὐλήν*. — Sch.: *ὑπεροπλίσσαιτο*. *ἤτοι ὑπερηφανήσει, ἢ εὐχερῶς ἐπιβουλεύσει.* Aristarchus apud Ap. h. v.: *νικήσειεν*. cf. Il. *α'*, 205, *ο'*, 185. interpres: *haud quisquam eam vir insultaverit.* — *τίθενται*, *instruunt, parant.* A. 2. et 3. aliique ap. Cl.: *πένονται*, quae est dittographia. — E: *ἀνήνοθεν* (Il. *λ'*, 266), *ἢ ἐνήνοθεν* (sic A. 2.), *τουτέστιν ἀναβαίνει, ἀνέρχεται.* Harl.: *ἀνήνοθεν. ἀνέρχεται. Ἀρίσταρχος, ἐνήνοθεν. αἱ δὲ κοιναὶ, ἀνήνοθεν.* annotavit Cl., *τῷ ἐν*. minus apte ex adverso positum esse *ἐν δέ τε*. cf. *θ'*, 365, Il. *β'*, 219. — *ἠπύει*, *sonat.* *ι'*, 399, Il. *ξ'*, 399 etc. — E: *ἣν — ἑταίρην. τοῦτο μὲν ἐνταῦθα· ἐν δὲ ἑτέροις* (*θ'*, 99) *συνήορον λέγει αὐτὴν τῇ δαιτὶ, ὅ ἐστι συνεζευγμένην, ἀλλαχοῦ δὲ* (*φ'*, 430) *τὴν μολπὴν καὶ τὴν φόρμιγγα δαιτὸς ἀναθήματά φησιν.* B.: „Horatius (Od. 3, 11.): *testudo ... divitum* mensis *et* amica *templis.*" Athenaeus 14, 6., notante Cl.: *ἔοικε καὶ Ὅμηρος διατηρῶν τὴν ἀρχαίαν τῶν Ἑλλήνων κατάστασιν λέγειν φόρμιγγός θ', ἣν δαιτὶ θεοὶ ποίησαν ἑταίρην*, (memoriter haec Athen., cum *θ'*, 99. animo ejus obversaretur.) *ὡς καὶ τοῖς εὐωχουμένοις χρησίμης οὔσης τῆς τέχνης. ἦν δ', ὡς ἔοικε, τοῦτο νενομισμένον· πρῶτον μὲν, ὅπως ἕκαστος τῶν εἰς μέθην κ. πλήρωσιν ὁρμημένων ἰατρὸν λαμβάνῃ τῆς ὕβρεως κ. τῆς ἀκοσμίας τὴν μουσικήν· εἶθ', ὅτι τὴν αὐθάδειαν πραΰνει· περιαιρουμένη γὰρ τὴν στυγνότητα ποιεῖ πρᾳότητα κ. χαρὰν ἐλευθέριον.*

272—274. *τὸν — συβῶτα*. v. de hac forma orationis *ξ'*, 55, Il. *π'*, 20 etc. — *ἀνοήμων*, *insipiens.* *β'*, 270, 278. — *ἀλλ' — ἔργα*. Il. *ξ'*, 61. cf. Il. *δ'*, 14 etc.

275. libri deteriore numero propter similes caesuras: *ἠὲ* | *σὺ πρῶτος* | *ἔσελθε*|. dedimus *ἢ σὺ*, *τῷ σὺ* producto, non sine emphasi, ante *πρῶτος*, ut *τα πρῶτα* Il. *α'*, 6, *ὅθι τε πρῶται* *θ'*, 83, *ἔβαλε πρῶτος* *δ'*, 459, *Αἴας δὲ πρῶτος* *ζ'*, 5, *πολὺ πρῶτος* inferius 328 etc. Metrico male curioso debetur *ἠέ*.

276—279. *δύσεο* (Il. *τ'*, 36, Odyss. *η'*, 18 etc.) *τε μν.*, *inferque te procis.* — E: *μηδὲ σὺ δηθύνειν* (Il. *α'*, 27 etc.), *ὅ ἐστι βράδυνε.* negat morandum esse, utrumvis horum consiliorum placeat Ulyssi. — *ἐλάσῃ*, *pellat*, abigat ab aedibus. — *τάδε — ἄνωγα*. cf. *α'*, 269, *π'*, 312, *υ'*, 43, *ψ'*, 122.

281. 193.

283—289. *ἀδαήμων εἰμί.* ellipsis

κύμασι, καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω.
γαστέρα δ᾽ οὔπως ἔστιν ἀποκρύψαι μεμαυῖαν,
οὐλομένην, ἣ πολλὰ κάκ᾽ ἀνθρώποισι δίδωσι·
τῆς ἕνεκεν καὶ νῆες ἐΰζυγοι ὁπλίζονται
πόντον ἐπ᾽ ἀτρύγετον, κακὰ δυσμενέεσσι φέρουσαι.“

Argus canis Ulyssem dominum agnoscit.

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
ἂν δὲ κύων κεφαλήν τε καὶ οὔατα κείμενος ἔσχεν,
Ἄργος, Ὀδυσσῆος ταλασίφρονος, ὅν ῥά ποτ᾽ αὐτὸς

frequens. — *γαστέρα — οὐλ.* loquitur, ut mendicus. Am. B.: *γαστ. — ἀποκρ. ἀνεξέλεγκτον ποιῆσαι· ἐμφαίνει γὰρ ἑαυτήν.* Am. Q.: *συνήθως κακίζει τὴν γαστέρα, ὡς καὶ ἐν τούτοις, ἀλλ᾽ ἕνεκ᾽ οὐλομένης γαστρὸς* (ο΄, 344), *ἀλλά με γαστὴρ Ὀτρύνει κακοεργὸς* (σ΄, 53), *οὔτ᾽ ἄρ τι στυγερῇ ἐπὶ γαστέρι* (η΄, 216). similiter E. — *μεμαυῖαν, avidam.* ν΄, 389 etc. — *οὐλομένην, perditam, funestam.* cf. 474, σ΄, 2, 3 etc. „Eurip. ap. Clem. Al. Strom. 6.: *νικᾷ δὲ χρεία μὲν κακῶς τ᾽ ὀλουμένη Γαστήρ, ἀφ᾽ ἧς δὴ πάντα γίγνεται κακά.* (cf. B. Gnomicorum p. 181.) Seneca. l. de Brevitate vitae §. 18.: *cum ventre humano tibi negotium est; nec rationem patitur, nec aequitate mitigatur, nec ulla prece flectitur populus esuriens.*“ E Cl. — E: *νῆες. πειρατικαὶ δηλαδὴ αὗται. — τὸ γὰρ ἑτέρως ναυτίλλεσθαι οὐκ ἂν εἴη ψεκτέον, κατὰ κοινωνίαν ἀνθρωπίνην ἐπινοηθέν. δυσμενεῖς δὲ οὐ μόνον τοὺς πολεμουμένους δηλοῖ, ἀλλὰ καὶ τοὺς πειρατάς, οἳ τὰς ψυχὰς* (excidit *παρατίθενται*, vel quiddam simile), *ὡς ἀλλαχοῦ* (γ΄, 74, ι΄, 255.) *ἐῤῥέθη, οὐ* (imo *ὡς*) *μόνον φάγοιεν.* melius dixisset *ἀλλὰ τοὺς ξένους, τοὺς ἀλλοδαποὺς, peregrinos*, qui omnes hostes videntur hominibus rudioribus, unde et hostium nomine olim appellabantur, teste Cic. l. de Off. 1, 12. — *πόντον ἐπ᾽ ἀτρύγετον.* β΄, 370. B: „hinc profecit Comicus inter Sententias monostichas p. 224: *γαστὴρ ἄναλτος καὶ νεῶν εὗρεν δρόμον.* cf. η΄, 216.“ v. ibi ann.

291. Montbel.: „*Auprès d'eux un chien couché lève la tête et dresse les oreilles.* Pope (Homer's Odyss. book 17, not. on the v. 345.) loue beaucoup cet épisode du chien d' Ulysse: „„Je ne vois rien de plus beau ni de plus touchant dans tout le poëme.““ C'est porter l'admiration bien haut. Les anciens demandaient comment ce chien pouvait reconnaître Ulysse métamorphosé en mendiant, et l'on répondait que l'instinct et l'odorat le servaient mieux que la raison l'homme. On s'étonnait aussi qu' un chien pût vivre si long-temps, et l'on répondait que, d'après Aristote, la vie du chien était de 20 ans. (en ipsa verba Scholiastae Am. Q. et Pseudodidymi: *πῶς τὸν μεταμεμορφωμένον ἐπιγινώσκει; ὅτι παρὰ τοὺς ἀνθρώπους* [prae hominibus, magis quam homines.] *τὰ* [perperam Sch.: *καὶ τὰ*] *ἄλογα ζῶα μᾶλλον ἀντιλαμβάνεται* [capiunt, sentiunt]. *καὶ ἐκ τῆς ὀδμῆς αὐτὸν ἐπέγνω. ἀλλὰ μετὰ τοσαῦτα ἔτη πῶς ἔζη ὁ κύων; Ἀριστοτέλης φησὶ, τέσσαρα καὶ εἴκοσι* [scrib. *τεσσαρακαίδεκα, καὶ εἴκοσι,*] *ζῆν ἔτη κύνα.* Aristot. H. A. 6, 20, 4.: *ζῇ δὲ τῶν Λακωνικῶν κυνῶν ὁ μὲν ἄῤῥην ἔτη δέκα, ἡ δὲ θήλεια περὶ ἔτη δώδεκα· τῶν δὲ ἄλλων κυνῶν αἱ πλεῖσται περὶ ἔτη τέτταρα κ. δέκα, ἢ πέντε κ. δέκα, ἔνιαι δὲ καὶ εἴκοσι· διὸ καὶ Ὅμηρόν τινες οἴονται ὀρθῶς ποιῆσαι τῷ εἰκοστῷ ἔτει ἀποθανεῖν τὸν κύνα τοῦ Ὀδυσσέως.* cf. Plin. H. N. 10, 63.) Ces doutes prouvent seulement que cet épisode était contesté.“ vix tamen crediderim, fuisse, qui omnem hunc locum inducerent, venustissimum praeter versus 296—300, quos uncinis inclusi, quippe foedos et *ταυτολόγους*, si contenderis cum 306, 318. et 319. quibus sordibus purgatis vide quam apte canis Argi, olim venatici, agilitas opponatur torpori senectutis, quo jam impeditur, quominus exsurgat, obviamque eat domino! ipsum illud *δὴ τότε* ingeminatum sine emphasi manum prodit imitatoris inelegantis, qui hunc pannum assuere conatus est, Homeri verbum gravissimum *νῦν δ᾽ ἔχεται κακότητι* loquacitate fastidiosa *παραφράζων.* — *ἂν — ἔσχεν, ἀνέσχεν, erexit.*

θρέψε μὲν, οὐδ' ἀπόνητο, πάρος δ' εἰς Ἴλιον ἱρὴν
ᾤχετο. τὸν δὲ πάροιθεν ἀγίνεσκον νέοι ἄνδρες
αἶγας ἐπ' ἀγροτέρας, ἠδὲ πρόκας, ἠδὲ λαγωούς·
[δὴ τότε κεῖτ' ἀπόθεστος, ἀποιχομένοιο ἄνακτος,
ἐν πολλῇ κόπρῳ, ἥ οἱ προπάροιθε θυράων
ἡμιόνων τε, βοῶν τε, ἅλις κέχυτ', ὄφρ' ἂν ἄγοιεν
δμῶες Ὀδυσσῆος, τέμενος μέγα κοπρίσσοντες·
ἔνθα κύων κεῖτ' Ἄργος, ἐνίπλειος κυνοραιστέων.]
δὴ τότε γ', ὡς ἐνόησεν Ὀδυσσέα ἐγγὺς ἐόντα,
οὐρῇ μέν ῥ' ὅγ' ἔσηνε, καὶ οὔατα κάββαλεν ἄμφω,

293—295. ἀπόνητο, *fruitus est.* λ', 323 etc. — ἀγίνεσκον, *ducere solebant.* ξ', 105 etc. — αἶγας ἀγροτέρας. ἀγρίας et ὀρεσκῴους dixit ι', 118 et 155, ubi v. ann. — πρόκα una cum cervo nominare solet Aristoteles: v. H. A. 2, 11, 5. etc. Sch.: πρόκας. δορκάδων εἶδος, ἢ ἐλάφων. ἢ τὰ ἔκγονα τῶν ἐλάφων. Am. B.: πρὸξ εἶδος ἐλάφου ταχυτάτης, ἀπὸ τοῦ προϊκνεῖσθαι. E: πρόκες, φασὶ, δορκάδων εἶδος, ἢ ἐλάφων ἔκγονα νεογνὰ, παρὰ τὸ προκίειν, ἢ παρὰ τὸ προΐξεσθαι. ὅθεν ἡ πρόξ· ταχεῖα γάρ. Ap. emend.: πρόκας. οἱ μὲν, ἐλάφους· οἱ δὲ, ἕτερόν τι ζῶον εἶδος, ὅμοιον λαγωῷ, ὃ καλεῖται δορκάς. Ἀπίων δὲ ἀπὸ τοῦ μεγάλα κέρατα ἔχειν ἐτυμολογεῖ, οἷον προκέρας, ἀπὸ τοῦ πρὸ τῆς ἡλικίας κέρας φύειν. Hesych. corrupte: πράκες. Ἀρίσταρχος, ἔλαφοι. πόρκας. ἐλάφους. προύκας. δορκάδας. cf. Schn. v. πρὸξ, [quae *dama* est Gazae apud Aristotelem. interpretes latini πρόκας reddunt *cervos*, Vossius *Rehe.* — λαγωούς. Il. κ', 361, χ', 310.

296—300. specta imitatorem! dixerat Hom. 306.: κύων ὅδε κεῖτ' ἐνὶ κόπρῳ, κόπρον intelligens κόνιν, ut Il. χ', 414.; iste auget, κεῖτ' ἐν πολλῇ κόπρῳ, et in *stercore* seu *fimo* jacere dicit Argum, quod est suum, non canum, qui, acri odoratu praediti, fugere solent foetores. — E: ἀπόθεστος ὁ ἀφίλητος κ. ἀτημέλητος, ἐκ τοῦ ποθῶ ποθέσω. — τέμενος. ζ', 293. *agrum* seu *fundum* interpretatur Am. B.: καταχρηστικῶς τέμενος τὸ χωρίον. sed praeter necessitatem. idem recte: κοπρίσσοντες. κοπρεύσοντες, κόπρον τῇ γῇ ἐπιβάλλοντες. — ἐνίπλειος κυνοραιστέων, *plenus ricinorum.* hoc sane ex iis est, quae silentio praeterire solet hic noster, et auditori cogitanda relinquere. ceterum E: κυνοραισταὶ, inquit, δι' ἑνὸς ῥῶ, κατά τε φύσιν, κ. διὰ μέτρον, οἱ τοὺς κύνας ῥαίοντες. ἐξ οὗ κατὰ διάλυσιν κ. παραγωγὴν τὸ ῥαΐζειν γίνεται, ἀφ' οὗ καὶ θυμοραϊστής (Il. ν', 544 etc.), ἀναλόγως τῷ κυνοραϊστής. λέγονται δὲ οὗτοι καὶ κρότωνες παρὰ τοῖς ὕστερον. ὅθεν καὶ παροιμία κατά τινας τὸ ὑγιέστερος κρότωνος, περὶ ἧς ἀκριβέστερον ἐν τοῖς τοῦ Περιηγητοῦ κεῖται. Ap. emend.: κυνοραιστέων. ἐπὶ τοῦ Ὀδυσσέος κυνὸς, ὃς ἐκαλεῖτο Ἄργος. τούτους δ' οἱ μὲν τοὺς κρότωνας, ἀπὸ τοῦ τοὺς κύνας ῥαίειν, ὅ ἐστι φθείρειν· οἱ δὲ τὰς λεγομένας κυνομυίας. τῶν ἅπαξ εἰρημένων. Aristot. H. A. 5, 25, 2.: — ὄνος οὐκ ἔχει οὔτε φθεῖρας, οὔτε κρότωνας· οἱ δὲ βόες ἔχουσιν ἄμφω· τὰ δὲ πρόβατα κ. αἶγες κρότωνας, φθεῖρας δ' οὐκ ἔχουσι· καὶ ὕες φθεῖρας μεγάλους κ. σκληρούς· ἐν δὲ τοῖς κυσὶν οἱ καλούμενοι γίγνονται κυνοραϊσταί. πάντες δὲ οἱ φθεῖρες ἐν τοῖς ἔχουσιν ἐξ αὐτῶν γίγνονται τῶν ζώων. qui genus pediculorum dicere videtur τοὺς κυνοραϊστὰς, scil. ricinos, *acaros ricinos* Linn., *Hundslaüse*, non κυνομυίας, *hippoboscas* Linn., *Hundsfliegen*, quibus etiam equi et oves infestantur (v. Schn. ann. ad philosophi l. c.); quod nomen vereor ut recte fictum ab Homero dixerim ann. ad Il. φ', 394.

301—305. E: δὴ — ἐόντα, οὐκ ἐκ τῆς θέας, ὡς εἰκὸς, ἠλλοίωτο γὰρ τὴν μορφὴν, ἀλλ', ὡς ἰχνευτὴς (317), ὀξύτητι ὀσφρήσεως, ᾗ, φασὶ, καὶ ἐν νυκτὶ διακρίνει τὸ οἰκεῖον τοῦ ἀλλοτρίου· ἢ καὶ ἄλλως, ἐπεὶ ἀνθρώποις Ἀθηνᾶ τὸν Ὀδυσσέα ἐπέκρυψεν ἀλλοιώσασα, οὐ μὴν καὶ ἀλόγοις ζώοις· ἄγε γὰρ, φησὶν (ν', 397), ἄγνωστόν σε τεύξω πᾶσι βροτοῖς. οὕτω δὲ ἡ αὐτὴ Ἀθηνᾶ (π', 162) Τηλεμάχῳ μὲν ἐπικρύπτει ἐν τοῖς ἀγροῖς ἑαυτὴν, οἱ δὲ κύνες εἶδον. ὡς τοίνυν ὁ κύων ἔγνω τὸν Ὀδυσσέα, οὐρῇ μὲν ἔσηνε (κ', 217, 219, π', 6.) — ἄμφω, ὃ δὴ χαρα-

ἄσσον δ' οὐκέτ' ἔπειτα δυνήσατο οἷο ἄνακτος
ἐλθέμεν. αὐτὰρ ὁ νόσφιν ἰδὼν ἀπομόρξατο δάκρυ
ῥεῖα λαθὼν Εὔμαιον, ἄφαρ δ' ἐρεείνετο μύθῳ·

Ulyssis, canem miserantis, verba ad Eumaeum, ejusque responsio.

„Εὔμαι', ἦ μάλα θαῦμα κύων ὅδε κεῖτ' ἐνὶ κόπρῳ.
καλὸς μὲν δέμας ἐστὶν, ἀτὰρ τόδε γ' οὐ σάφα οἶδα,
εἰ δὴ καὶ ταχὺς ἔσκε θέειν ἐπὶ εἴδεϊ τῷδε,
ἦ αὔτως, οἷοί τε τραπεζῆες κύνες ἀνδρῶν
γίγνοντ'· ἀγλαΐης δ' ἕνεκεν κομέουσιν ἄνακτες."
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„καὶ λίην ἀνδρός γε κύων ὅδε τῆλε θανόντος
εἰ τοιόσδ' εἴη ἠμὲν δέμας, ἠδὲ καὶ ἔργα,
οἷόν μιν Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεὺς,
αἶψά κε θηήσαιο, ἰδὼν ταχυτῆτα καὶ ἀλκήν.
οὐ μὲν γάρ τι φύγεσκε βαθείης βένθεσιν ὕλης
κνώδαλον, ὅττι δίοιτο· καὶ ἴχνεσι γὰρ περιήδη.
νῦν δ' ἔχεται κακότητι· ἄναξ δέ οἱ ἄλλοθι πάτρης
ὤλετο, τὸν δὲ γυναῖκες ἀκηδέες οὐ κομέουσι.

κτὴρ τοῖς τοιούτοις φιλίας ἐστίν. — ἀπομόρξατο. σ', 199, Il. β', 269 etc. — ῥεῖα λαθὼν Εὔμαιον, facile Ulysses lacrimans latuit Eumaeum, virum simplicem et bonum, quales minus alios observant quam maligni et callidi.

308—310. ἐπὶ εἴδεϊ τῷδε, *ad hanc formam*, hac forma. Voss.: *bei solcherlei bildung*. Matth. §. 586. cf. inferius 454. — ἦ αὔτως ἔσκεν, οἷοί τε — γίγνονται, *an sic erat, quales — sunt*. τραπεζῆες κύνες. Il. χ', 69. cf. ann. ad 315. — Am. 2: ἀγλαΐης δ' ἕνεκεν. κόσμου χάριν, ἢ καλλωπισμοῦ. cf. 244. — κομέουσιν, κομίζουσι (v. E), *fovent*, curant. 319, ξ', 207 etc.

312—323. καὶ λίην, *imo vero*, sane, profecto. v. α', 46, γ', 203, ι', 477, ν', 393, ο', 155, Il. α', 553 etc., quibus omnibus in locis horumque similibus sero vidi cavendum esse, ne καὶ alio referamus quam ad λίην. ordo: καὶ λίην θηήσαιό κε αἶψα, — ἀλκὴν, εἰ κύων ὅδε ἀνδρός γε τῆλε θαν. εἴη τοιόσδε etc. perperam libri: — θανόντος· εἰ —, vel θανόντος. εἰ —, quasi hoc tantum Eumaeo affirmante, de quo nemo dubitare poterat, Ulyssis canem esse Argum. — ἀνδρὸς dixit κατ' ἐξοχὴν, h. e. viri fortis, viri egregii, Ulyssis. Soph. Oed. Col. 358.: ὅτ' οὐκέτ' εἰμὶ, τηνικαῦτ' ἄρ' εἴμ' ἀνήρ, ubi v. ann. — E: ἐπὶ κυνὸς ἔφη ἔργα, οὐ συνήθως εἰπών· κυρίως γὰρ ἐπὶ ἀνθρώπων τὸ ἔργον, ὥσπερ καὶ ἡ πρᾶξις. — τὸ δὲ ταχ. καὶ ἀλκὴν ἀρετὴν προσμαρτύρεται τῷ Ἄργῳ, ἣν οὐκ ἂν ἔχοι τραπεζεύς, οὐδὲ μὴν ἅπας εὐγενὴς κύων, ὧν οἱ μὲν ταχεῖς μόνον, οἱ δὲ μόνον ἄλκιμοι, αὐτὸς δὲ καὶ ἄμφω. τρίτον δὲ αὐτῷ κ. τέταρτον ἐπικόσμημα ἴχνη τε ἐρευνᾷν εἰδέναι, καὶ εἶδος ἔχειν καλόν. — οὐ δὲ μόνον κύνες θηρατικοὶ ἐσπουδάζοντο, κ. ἄλλως δὲ οἴκου δραστήριοι φύλακες, ἀλλὰ καὶ οἵους ὁ Ὀδ. λαλεῖ (309). παρὰ δέ γε τοῖς ὕστερον, κατὰ τὸν τοῦ Ἀθηναίου λόγον, καὶ κυνάρια μελιταῖα ἐν λόγῳ γεγόνασιν. οἱ δὲ νῦν χαίρουσιν, εἴπερ εἶεν αὐτοῖς κυνίδια καὶ μυαρίων βραχύτερα. — κνώδαλον δὲ νῦν τὸ χερσαῖον, παρὰ τὸ ὑπὸ κυνῶν ἁλίσκεσθαι. ὅτε δὲ καὶ ἐπὶ θαλασσίου θηρίου, κνώσσοντος ἐν ἁλὶ, λέγεται ἡ λέξις etc. Sch.: κνώδαλον κυρίως μὲν τὸ θαλάσσιον θηρίον, τὸ κῆτος, (?) νῦν δὲ θηρίον ὑπὸ κυνῶν ἁλισκόμενον. Ap.: κνώδαλον. ὁ Ἀπίων, θηρίον θαλάσσιον, ἀπὸ τοῦ ἐν ἁλὶ κινεῖσθαι, (?) καταχρηστικῶς δὲ λέγουσι καὶ τὰ ἄλλα θηρία κνώδαλα etc. γέροντα κνώδαλον dixit scriptor antiquus hymni in Merc. 188., quoniam somnolenti esse solent senes. — Am. B. emend.: δίοιτο (398, Il. μ', 276 etc.). διώξειε. περιήδη. περισσῶς ᾔδη, τὴν ἄγραν αὐτοῦ δηλονότι. — νῦν δ' ἔχεται κακότητι, *nunc in miseria est*. v. α', 95 etc. — ἀκηδέες, socordes,

δμῶες δ', εὖτ' ἂν μηκέτ' ἐπικρατέωσιν ἄνακτες,
οὐκέτ' ἔπειτ' ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι.
ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς
ἀνέρος, εὖτ' ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσιν."

moritur canis in ipso articulo temporis.

Ὣς εἰπὼν εἰσῆλθε δόμους εὐναιετάοντας,
βῆ δ' ἰθὺς μεγάροιο μετὰ μνηστῆρας ἀγαυούς·
Ἄργον δ' αὖ κατὰ μοῖρ' ἔλαβεν μέλανος θανάτοιο
αὐτίκ' ἰδόντ' Ὀδυσῆα ἐεικοστῷ ἐνιαυτῷ.

Intrant subulcus et Ulysses, quem, cibo misso, Telemachus mendicare jubet apud procos.

Τὸν δὲ πολὺ πρῶτος ἴδε Τηλέμαχος θεοειδής,
ἐρχόμενον κατὰ δῶμα, συβώτην· ὦκα δ' ἔπειτα
νεῦσ', ἐπὶ οἷ καλέσας. ὁ δὲ παπτήνας ἕλε δίφρον
κείμενον, ἔνθα δὲ δαιτρὸς ἐφίζεσκε, κρέα πολλὰ
δαιόμενος μνηστῆρσι, δόμον κάτα δαινυμένοισι·
τὸν κατέθηκε φέρων πρὸς Τηλεμάχοιο τράπεζαν
ἀντίον. ἔνθα δ' ἄρ' αὐτὸς ἐφέζετο· τῷ δ' ἄρα κῆρυξ

negligentes. ζ', 26. — *ἐναίσιμα, justa*, recta. — *ἥμισυ — ἕλῃσιν.* egregia et Homero digna sententia, dimidiam virtutem suam amittere homines in servitutem redactos. Am, Q. et Sch.: *ἀρετῆς.* τῆς ἑκουσίου πρὸς τὰ ἔργα ῥοπῆς (Sch. ὁρμῆς). germanice id dicas *Werth*, *Tüchtigkeit*, *Tugend*. v. Schn. h. v. Theognis, annotante Cl.: οὔποτε δουλείη κεφαλὴ εὐθεῖα πέφυκεν, Ἀλλ' αἰεὶ σκολιή. Montbel.: „*Le grand Jupiter ravit à l'homme la moitié de sa vertu, quand le jour de l'esclavage vient le saisir.* Platon (De leg. 6, t. 8, p. 301. ed. Bip.), qui cite cette belle sentence *du plus sage des poètes* (σοφώτατος τῶν ποιητῶν), comme il le dit lui-même, donne un texte un peu différent de celui que portent nos éditions. Voici les vers rapportés par Platon: ἥμισυ — Ζεὺς Ἀνδρῶν, οὓς ἂν δὴ — ἕλῃσι. (similiter Athen. 6, 18, qui Platonica exscripsit.) La différence la plus remarquable est celle de νόος, *intelligence*, mot substitué à celui de ἀρετή, *vertu*. La pensée d' Homère est plus morale et plus juste. Au reste, il est difficile de concilier cette pensée avec l'opinion que les anciens avaient sur l'esclavage. Aristote (Polit. 1, c. 2, §. 1.) dit positivement: „Les premiers et les moindres éléments de la famille sont *le maître et l'esclave*, le mari et la femme, le père et les enfants." Ailleurs (ibid. c. 1, §. 6.): „Le boeuf est *l'esclave* du pauvre." Il va plus loin (ib. c. 2, §. 15.): „Il est des individus qui par nature sont libres, d'autres esclaves: à ceux-ci il est avantageux de servir, et cela est juste incontestablement." cuinam non in mentem veniat, haec legenti, istius dicti Evangelistae (Luc. 14, 34.): *καλὸν τὸ ἅλας· ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἀρτυθήσεται;* sunt tamen adhuc, qui ita sentiant, idque palam profiteri non erubescant; sed philosophorum nomen ne ipsi quidem sibi arrogant.

326, 7. versus insignes rhythmo accommodato sententiis; quarum prior ingrata fere per anapaestos continuos dure decurrit, posterior autem suavis, si quae alia, usurpatis cum efficacissimis pedibus metricis (–⏑⏑–, ⏑⏑–⏑, ⏑–––, ⏑⏑––), tum frequentibus iisque variatis caesuris, mire delenit sensus animumque auditoris.

330—334. *παπτήνας, ut circumspexit.* λ', 607 etc. — E: *δίφρον.* ὅτι δίφρος ἐνταῦθα εὐτελής, περὶ ὃν δηλαδὴ δαιτρὸς ἐφίζεσκε. — καθάπερ δὲ Μελάνθιος καθῖζεν ἀντίος Εὐρυμάχῳ, *τὸν γὰρ φιλέεσκε μάλιστα* (257), οὕτω καὶ νῦν Εὔμαιος τὸν δίφρον τοῦ δαιτροῦ κατέθηκε φέρων — *ἀντίον*, νεύσαντος κ. καλέσαντος Τηλεμάχου, *ἔνθα ἐφέζετο* Εὔμαιος. — *κείμενον, positum.* v. 410, Schn. v. κεῖμαι. — *ἔνθα δὲ*, ἔ. δή. — *δαιτρός.* α', 141 etc. — *ἐφίζεσκε, insidere solebat.* γ', 411 etc. — *ἀντίον*,

μοῖραν ἑλὼν ἐτίθει, κανέου τ' ἐκ σῖτον ἀείρας.
'Αγχίμολον δὲ μετ' αὐτὸν ἐδύσετο δώματ' Ὀδυσσεὺς,
πτωχῷ λευγαλέῳ ἐναλίγκιος ἠδὲ γέροντι,
σκηπτόμενος· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο.
ἷζε δ' ἐπὶ μελίνου οὐδοῦ ἔντοσθε θυράων,
κλινάμενος σταθμῷ κυπαρισσίνῳ, ὅν ποτε τέκτων
ξέσσεν ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνε.
Τηλέμαχος δ' ἐπὶ οἷ καλέσας προσέειπε συβώτην,
ἄρτον τ' οὖλον ἑλὼν περικαλλέος ἐκ κανέοιο,
καὶ κρέας, ὥς οἱ χεῖρες ἐχάνδανον ἀμφιβαλόντι·
„Δὸς τῷ ξείνῳ ταῦτα φέρων, αὐτόν τε κέλευε
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ παρεῖναι."
Ὣς φάτο· βῆ δὲ συφορβὸς, ἐπεὶ τὸν μῦθον ἄκουσεν,
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντ' ἀγόρευε·
„Τηλέμαχός τοι, ξεῖνε, διδοῖ τάδε, καί σε κελεύει
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
αἰδῶ δ' οὐκ ἀγαθήν φησ' ἔμμεναι ἀνδρὶ προΐκτῃ."

fausta precatus Telemacho Ulysses cibum capit, dum cantum finivit Phemius; dein, jussu Minervae, mendicat apud procos, mirantes, quis sit et unde advenerit.

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„Ζεῦ ἄνα, Τηλέμαχόν μοι ἐν ἀνδράσιν ὄλβιον εἶναι,
καί οἱ πάντα γένοιθ', ὅσσα φρεσὶν ᾗσι μενοινᾷ!"
Ἦ ῥα, καὶ ἀμφοτέρῃσιν ἐδέξατο, καὶ κατέθηκεν
αὖθι, ποδῶν προπάροιθεν, ἀεικελίης ἐπὶ πήρης,

adversus Telemachum, more amantium et amicorum. v. 96.

337, 8. cf. 202, 3.

339, 40. μελίνου οὐδοῦ, *liminis fraxinei*, ut οὐδὸν δρύϊνον φ', 43. alias limina aenea et lapidea seu marmorea dixit: v. η', 83, θ', 80 etc. de arbore μελίᾳ ad Il. ν', 178. — σταθμῷ, *posti.* — κυπαρ. v. ann. ad 64. E: ἀφελείας δὲ ἡρωϊκῆς ὁ ἐκ μελίας οὐδὸς, κ. ὁ κυπαρίσσινος σταθμός· τὰ δέ γε τοῦ Μενελάου διὰ τὴν Ἑλένην (δ', 46) ὄζει Φρυγίας τρυφῆς. Eurip. Or. 1085 de Helena: τρυφὰς γὰρ ἥκει δεῦρ' ἔχουσα Τρωϊκάς.

341. ε', 245, φ', 44.

343, 4. E: οὖλον, τὸν ὅλον κ. ἀκέραιον. — ἀμφιβαλεῖν δὲ τὸ περιλαβεῖν, ἤτοι περισχεῖν. τὸ δὲ χανδάνειν (Il. ψ', 742.) χαριστέον μὲν τῇ ποιήσει. ἰστέον δὲ, ὅτι ἐκ τοῦ χῶ, τὸ χωρῶ (capio), γίνεται χάζω, οὗ δεύτερος ἀόριστος ἔχαδον, ἐξ οὗ μέλλων δεύτερος αὐθυπότακτος χάδω, ὅθεν καὶ κατὰ ἀναδρομὴν συνήθη χάδω ἐνεστὼς, κ. παράγωγον χαδάνω, κ. πλεονασμῷ τοῦ ν, διὰ κρείττονα φωνὴν, χανδάνω κατὰ τὸ ἁνδάνω κ. ὅσα τοιαῦτα.

347—352. παρεῖναι. sic meliores libri, in quibus Ald. 3. edd. mediae aetatis usque ad Clarkei et E: προΐκτῃ, quod ex 352 accitum merito repudiarunt Critici, utpote ταυτολογικῶς subjectum τῷ κεχρημένῳ. Ap.: προΐκτης (449). προσαίτης, (malim: π—τῃ. π—τῃ, siquidem glossa pertinet ad h. l.) ἀπὸ τοῦ προῖκα βούλεσθαι λαμβάνειν, τουτέστι δωρεάν· ἢ ἀπὸ τοῦ προϊκνεῖσθαι κ. δέεσθαι, οἷον προαπαιτᾷν. cf. ann. ad 219. „similiter 578.: κακὸς δ' αἰδοῖος ἀλήτης. Livius 34, 4.: *pessimus quidem pudor est — paupertatis.*" E Cl.

354—357. Ζεῦ ἄνα, — εἶναι. intell. δὸς, εὔχομαι, ποίησον, ut Aristoph. Ran. 837.: Δήμητερ, — Εἶναί με τῶν σῶν ἄξιον μυστηρίων. Il. γ', 351.: Ζεῦ ἄνα, δὸς τίσασθαι etc. cf. ibi ann., Sch., E. — ἀμφοτ. plene ἀμφ. χερσὶ dixit ε', 116. cf. κ', 263, Il. ε', 417 etc. — ἀεικελίης, *turpis*, sordidae. 197, 198. — Am. 2 et Sch.: ἐπὶ πήρης.

* ἤσθιε δ', ἕως ὅτ' ἀοιδὸς ἐνὶ μεγάροισιν ἄειδεν.
εὖθ' ὁ δεδειπνήκειν, ὁ δ' ἐπαύετο θεῖος ἀοιδός·
μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρ'. αὐτὰρ Ἀθήνη,
ἄγχι παρισταμένη, Λαερτιάδην Ὀδυσῆα
ὤτρυν', ὡς ἂν πύρνα κατὰ μνηστῆρας ἀγείροι,
γνοίη θ', οἵτινές εἰσιν ἐναίσιμοι, οἵ τ' ἀθέμιστοι.
ἀλλ' οὐδ' ὥς τιν' ἔμελλ' ἀπαλεξήσειν κακότητος.
βῆ δ' ἴμεν αἰτήσων ἐνδέξια φῶτα ἕκαστον,
πάντοσε χεῖρ' ὀρέγων, ὡς εἰ πτωχὸς πάλαι εἴη.
οἱ δ' ἐλεαίροντες δίδοσαν, καὶ ἐθάμβεον αὐτὸν,
ἀλλήλους τ' εἴροντο, τίς εἴη, καὶ πόθεν ἔλθοι.
τοῖσι δὲ καὶ μετέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·

eum se novisse negat Melanthius, ceterum adductum esse ab Eumaeo.

„Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
τοῦδε περὶ ξείνου· ἦ γάρ μιν πρόσθεν ὄπωπα.
ἤτοι μέν οἱ δεῦρο συβώτης ἡγεμόνευεν·
αὐτὸν δ' οὐ σάφα οἶδα, πόθεν γένος εὔχεται εἶναι."

altercatio Antinoi.

Ὣς ἔφατ', Ἀντίνοος δ' ἐπέεσσιν νείκεσσε συβώτην·
„ὦ ἀρίγνωτε συβῶτα, τίη δὲ σὺ τόνδε πόλινδε

ἐπάνω τῆς πήρας. ἁπλώσας (explicans) γὰρ τὴν πήραν ἀντὶ τραπέζης, ἐπάνω ἔθηκεν.

358. malim, sine impedimento numerorum, ἦσθε, ut ε', 94 etc. praeterea ἕως ὅτε est *usque eo dum*, germ. *solange bis*, non *quamdiu*, germ. *solange als*, quod hic requiritur. quare ponamus ἦσθε δ' ἕως ὅ γ' ἀοιδὸς etc.

359—366. δεδειπνήκειν. sic Am. Q., Harl. et Ald. 3. vulgo: ἐδ—κει. Am. Q. et Harl. emendat.: εὖθ' ὁ δεδειπνήκειν. οὕτω, δεδειπνήκειν, ἀντὶ τοῦ δεδειπνήκει, ὡς τὸ ἤσκειν εἴρια καλά (γ', 388). — ὁ δ' ἐπαύετο, *tum cessavit*, etc. apodosin indicat τὸ δὲ, ut passim. — πύρνα. 12. — ἀγείροι, *colligeret*. γ', 301 etc. — E: ἐναίσιμον (β', 122 etc.) τὸν δίκαιον λέγει, κ. κατὰ θέμιν ζῶντα. τοῖς δὲ τοιούτοις ἀντίκεινται οἱ ἀθέμιστοι. — τὸ δὲ ἀπαλεξήσειν (Il. ω', 371. cf. Odyss. γ', 346 etc.) κακότητος ἐξεῦρε συντεθῆναι τὸν παρὰ τοῖς ὕστερον (imo etiam ap. Homerum Il. κ', 20.) ἀλεξίκακον. — βῆ δ' ἴμεν. ε', 475. — de constructione verbi αἰτεῖν cum duplici accusativo v. Matth. §. 411, 4. ἐνδέξια, *ad dextram*, boni ominis causa. v. ann. ad Il. α', 597. — πάλαι, *dudum*.

370. 458, σ', 351, φ', 275.

371—373. ἦ γάρ μιν —. ἤτοι μέν οἱ —, vide infantiam hominis rudis, ut miles Terentianus Eun. 3, 1, 20.: *invidere omnes mihi*; — *Illi invidere misere*. — ὦ 'ρίγνωτε. vulgo: ὦ ἀρίγνωτε. sed A. 1.: ὠρίγνωτε, A. 4.: ὠρίγνωτε, Ald. 3.: ὦ ῥίγνωτε, quemque illi neglexerunt apostrophum E addens: ὦ 'ρίγνωτε συβῶτα, inquit, τουτέστιν ἄγαν γνώριμε ἐπὶ ἀχρείᾳ τέχνῃ, ὡς καὶ εἴ τις εἴπῃ πρός τινα, ὦ ἀρίγνωτε πτωχὲ, ἤ τι τοιοῦτον. βούλεται γὰρ εἰπεῖν τὸν Εὔμαιον γνωστικὸν ἐπὶ εὐτελείᾳ καὶ οὐδαμινότητι. καὶ ἄλλως δὲ, καθὰ καὶ ὁ παρὰ Θεοκρίτῳ (5.) αἰπόλος γνωστὸς φαίνεται ἀφ' ὧν ἐκεῖνος λέγει αἰπολικῶν σημείων, οὕτω κἀνταῦθα συβώτης ἀρίγνωτος ὁ τοιούτῳ ἐοικὼς καὶ ἐκ μόνης τυχὸν ὄψεως, κ. μὴ ἀμφίβολος εἰς τὸ συβώτης εἶναι· ὅπερ ὁ Μελάνθιος μὴ ἔχων (scil. τὸ ἀρίγνωτον) ἀγλαΐας φέρειν ὀνειδίζεται (245), ὡς μὴ αἰπόλῳ ἐοικώς. ἔστιν οὖν ἀστειότερον τὸ τοῦ Ἀντινόου ὦ ἀρ. συβῶτα ἤπερ τὸ τοῦ Μελάνθεως (219) ἀμέγαρτε συβ. etc. igitur dedi ὦ 'ρίγνωτε, cum vox ἀρίγνωτος alteram producat apud hunc nostrum; similiterque Il. β'. 651 nunc ponam Ἐνυαλίῳ 'νδρειφόντῃ, ut ὦ 'ναξ, ὦ 'γαθὲ, et similia apud recentiores, prae-

ἤγαγες; ἦ οὐχ ἅλις ἧμιν ἀλήμονές εἰσι καὶ ἄλλοι,
πτωχοὶ ἀνιηροί, δαιτῶν ἀπολυμαντῆρες;
ἦ ὄνοσαι, ὅτι τοι βίοτον κατέδουσιν ἄνακτος
ἐνθάδ' ἀγειρόμενοι; σὺ δὲ καὶ ποτὶ τόνδε κάλεσσας."
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„Ἀντίνο', οὐ μὲν καλά, καὶ ἐσθλὸς ἐών, ἀγορεύεις!
τίς γὰρ δὴ ξεῖνον καλεῖ ἄλλοθεν αὐτὸς ἐπελθὼν
ἄλλον γ', εἰ μὴ τῶν, οἳ δημιοεργοὶ ἔασι,
μάντιν, ἢ ἰητῆρα κακῶν, ἢ τέκτονα δούρων,
ἢ καὶ θέσπιν ἀοιδόν, ὅ κεν τέρπῃσιν ἀείδων;
οὗτοι γὰρ κλητοί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν·
πτωχὸν δ' οὐκ ἄν τις καλέοι, τρύξοντά ἑ αὐτόν.
ἀλλ' αἰεὶ χαλεπὸς περὶ πάντων εἶς μνηστήρων
δμωσὶν Ὀδυσσῆος, πέρι δ' αὖτ' ἐμοί· αὐτὰρ ἔγωγε
οὐκ ἀλέγω, εἵως μοι ἐχέφρων Πηνελόπεια
ζώει ἐνὶ μεγάροις, καὶ Τηλέμαχος θεοειδής."

Eumaeum silere jubet Telemachus, et Antinoum libere reprehendit.

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„σίγα, μή μοι τοῦτον ἀμείβεο πόλλ' ἐπέεσσιν·

sertim Atticos. — ἦ οὐχ ἅλις. synizesis. v. Il. ε', 349. — ἀλήμονες, errones. τ', 74. — πτωχὸν — ἀπολ. 220. — Am. B.: ἦ ὄνοσαι: ἐκφαυλίζεις, εὐκαταφρόνητον κ. τὸ μηδὲν νομίζεις. v. ann. ad Il. ε', 379. — ὅτι — ἄνακτος, *quod tibi victum domini* (h. e. victum tui domini) *comedunt*, etc.

379. σὺ δὲ καὶ ποτὶ τόνδε κάλεσσας, *tu vero insuper et hunc vocasti.* Harl. et A. 2.: σ. δ. κ. προτὶ τ. κ. A. 3.: σ. δ. κ. προτὶ τόνδε κ. pro eodem. significatione haud differunt inter se ποτὶ et προτὶ, usu autem in eo differunt, quod προτὶ usurpari solet, ubi vocalis antecedens consona duplici producenda est. quo discrimine non animadverso librarii centies haec confuderunt, nec eorum in hac re ulla est auctoritas; id quod intellexit Heyneus ann. ad Il. α', 245. quare dedimus ποτί. nam vulgatum καί ποθι, quod et Harl. habet inter versus, non videtur ferendum esse, sive πόθι interpreteris *alicubi*, quod friget, seu *forte*, quod prorsus alienum est. ceterum πόθι similius est τῷ ποτὶ quam προτὶ, quo magis illud recipiendum esse existimavimus. legitur quoque vulgo: τόνδ' ἐκάλεσσας, vehementiore quidem metro in re tranquilla. — ποτὶ, προτὶ, πρὸς, *insuper, praeterea*, ut Il. κ', 108.: σοὶ δὲ μάλ' ἕψομ' ἐγώ· ποτὶ δ' αὖ καὶ ἐγείρομεν ἄλλους, quo loco Cl. et alii nonnulli habent προτὶ, π', 85.: ἀτάρ οἱ περικαλλέα κούρην Ἀφ ἀπονάσσωσιν, ποτὶ δ' ἀγλαὰ δῶρα πόρωσιν etc.

381—390. καλὰ, καλῶς. — ordo: τίς γὰρ δὴ, αὐτὸς ἐπελθὼν, καλεῖ ἄλλοθεν ἄλλον γε ξεῖνον, h. e. ὡς ξένον, ὥστε ξένον αὐτῷ εἶναι. vates tantummodo, medicos, opifices, vel cantores, ultro arcessi ait, ut in alicujus hospitium devertantur; mendicos autem molestiam exhibentes neminem arcessere. — E: δημιοεργοί (τ', 135). τουτέστι δημιουργοὶ κατὰ κρᾶσιν, τεχνῖται δημοσίᾳ ἐργαζόμενοι. Am. 2.: χειροτέχναι, δημοσίαν παρέχοντες τὴν ἑαυτῶν τέχνην. *operarii*, seu *ministri publici*. — ἰητῆρα κακῶν. h. e. νόσων, ut scriptor hymni: ἰητῆρα νόσων Ἀσκληπιὸν ἄρχομ' ἀείδειν. E: τὸ ἰητ. κακῶν ἐντελῶς ἐφράσθη, καθὰ καὶ τὸ τέκτονα δούρων. τὸ μέντοι ἰητὴρ κ. τὸ τέκτων ἐλλειπτικῶς λέγονται. τέκτων δὲ δούρων οἰκοδόμος τε κ. ναυπηγὸς, κ. ἁπλῶς ἅπας ὁ ὁπωσοῦν διακείμενος περὶ ἐπισκευὴν ξύλον (*faber lignarius*). — θέσπιν ἀοιδὸν, ut θέσπιν ἀοιδὴν α', 328 et alias, h. e. θεῖον, ἐρίηρον etc. — κλητοὶ, *vocati*, qui vocari solent. — τρύξοντα, *attriturum*. α', 248 etc. — ἀλλ' — ἐμοί. cf. α', 66 etc. πέρι δ' αὖτ' ἐμοὶ, *inprimis autem mihi.* — οὐκ ἀλέγω, *non curo.* ζ', 268, Il. θ', 481 etc.

393—410. τοῦτον dixit contem-

Ἀντίνοος δ' εἴωθε κακῶς ἐρεθιξέμεν αἰεὶ
μύθοισιν χαλεποῖσιν, ἐποτρύνει δὲ καὶ ἄλλους."
Ἦ ῥα, καὶ Ἀντίνοον ἔπεα πτερόεντα προσηύδα·
„Ἀντίνο', ἦ μευ καλὰ πατὴρ ὣς κήδεαι υἷος,
ὃς τὸν ξεῖνον ἄνωγας ἀπὸ μεγάροιο δίεσθαι
μύθῳ ἀναγκαίῳ. μὴ τοῦτο θεὸς τελέσειε!
δός οἱ ἑλών! οὔ τοι φθονέω· κέλομαι γὰρ ἔγωγε,
μήτ' οὖν μητέρ' ἐμὴν ἅζευ τόγε, μήτε τιν' ἄλλον
δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
ἀλλ' οὔ τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα·
αὐτὸς γὰρ φαγέμεν πολὺ βούλεαι ἢ δόμεν ἄλλῳ."

Antinoi verbum factumque illiberale. quem tamen, ceterorum donis onustus, etiam ipsum alloquitur Ulysses.

Τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμειβόμενος προσέειπε·
„Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπες!
εἴ οἱ τόσσον ἅπαντες ὀρέξειαν μνηστῆρες,
καί κέν μιν τρεῖς μῆνας ἀπόπροθεν οἶκος ἐρύκοι."
Ὣς ἄρ' ἔφη, καὶ θρῆνυν ἑλὼν ὑπ' ἔφηνε τραπέζῃ
κείμενον, ᾧ ῥ' ἔπεχεν λιπαροὺς πόδας εἰλαπινάζων·
οἱ δ' ἄλλοι πάντες δίδοσαν, πλῆσαν δ' ἄρα πήρην
σίτου, καὶ κρειῶν. τάχα δὴ καὶ ἔμελλεν Ὀδυσσεὺς,

tim, ut *τούτους* (procos) β', 74, ubi v. ann., et cf. 566. — *ἐποτρύνει δὲ ἐρεθίζειν καὶ ἄλλους*, *etiam alios instigat* maledicere. — E: *Ἀντίνο' — ἔγωγε.* *ὅτι Ἀντινόου δοκοῦντος ἐθέλειν διωχθῆναι τὸν πτωχὸν Ὀδυσσέα, ἵνα δῆθεν μὴ τρύχηται ὁ τοῦ Τηλεμάχου οἶκος, εἰρωνευόμενος ὁ Τηλ. παντοῖος γίνεται.* (h. e. omnia experitur, variis modis lacessit Antinoum. Lucianus Eunuch. §. 11.: *καὶ παντοῖος ἦν ἐς μυρία τραπόμενος χρώματα.* cf. Schn. v. *παντοῖος.*) *καὶ πρῶτα μὲν εἰσποιεῖται αὐτὸν* (*ἑαυτὸν*) *ὡς εἰς πατέρα, οἷα τὴν μητέρα μνηστευόμενον· εἶτα μέμφεται ὡς οὐ καλῶς λέγοντα, κ. ἐπιτρέπει ἐλεῆσαι τὸν ξένον, ἐλέγχων ὡς φειδωλόν.* — *καλὰ*, *καλῶς.* 460 etc. — *δίεσθαι*, *διώκειν.* (317.) — *μύθῳ ἀναγκαίῳ*, *ἤγουν ἀναγκαστικῷ* (violento). *μὴ τοῦτο θεὸς τελέσειεν*, *ὁ ξένιος δηλαδή.* — *μήτ' οὖν*, *neque igitur*, quoniam ego jussi, herus minor. minus bene libri quidam apud Cl.: *μήτε τι*, A. 1.: *μήτέτι μητέρ ἐμ. ἅ. τόδε.* — *ἅζευ*, *ἅζεο*, *verere.* ι', 478 Il. α', 21 etc. — *οἳ — θείοιο.* intell. *εἰσὶν*, ellipsi frequentissima. — *αὐτὸς — ἄλλῳ.* *ὅπερ αἰσχροκερδοῦς ἴδιον.* — *λέγει πρὸς τὸ δός οἱ ἑλὼν, ὡς εἴ οἱ τόσσον — ἐρύκοι*, *τουτέστιν, ἐὰν οἱ μνηστῆρες πάντες τοσοῦτον δοῖεν τῷ πτωχῷ, πολὺν ἂν καιρὸν διαγάγοι μὴ ἐλθὼν εἰς τὸν οἶκον. ὃ δηλοῖ φαινομένως μὲν πολλὴν ἐλεομοσύνην τοῦ πτωχοῦ ἐξ αὐτοῦ, ἀληθῶς δὲ πληγὴν μεγάλην κ. τραῦμα δεινὸν, δι' οὗ πολὺν χρόνον οὐκ ἂν ἰσχύσῃ ἐλθεῖν εἰς τὸν τοῦ Ὀδυσσέως οἶκον ὁ πληγεὶς πτωχὸς, ἵνα λέγῃ, ὅτι δώσω μὲν, ἀλλὰ δεινὴν πληγήν.* — *θρῆνυν*, *ὑποπόδιον.* α', 131, Il. ξ', 240 etc. — *ὑπ' ἔφηνε τραπέζῃ κείμενον.* h. e. *ἔφ. ὑποκείμενον τραπέζῃ.* sic nonnulli apud Cl., et recte quidem. minus bene E et vulgo edd.: *ὑπέφηνε τραπέζῃ κ.*, quod ita explicat interpres: *ὃν κείμενον ἐν τῇ τραπέζῃ, καὶ ὑποκείμενον τοῖς ποσὶν, ὑπέφηνεν, ἤγουν ὑποκάτω ἔφηνεν, ὑπεξαγαγὼν τῶν ποδῶν, ὡς ἂν ἔχοι ῥᾷον αὐτοῦ ἐπικύψας ἅψασθαι, ὅτε θελήσει κατὰ τοῦ Ὀδυσσέως βαλεῖν.* vides, ne ipsum quidem Eustathium certo scivisse, quo referret *τὸ κείμενον*, nec intelligo, quid sibi velit illud *κείμενον ἐν τῇ τραπέζῃ.* pejus etiam, pace optimorum virorum dixerim, recentiores: *ὑπέφηνε τραπέζης*, secundum MSS. 2 Thomae Bentleji. — *ᾧ — εἰλαπινάζων.* v. Il. ξ', 241.

412—418. *τάχα — Ἀχαιῶν.* jamque sane in eo erat Ulysses, ut, ad limen regressus, forasque abiens, Achivorum, h. e. ceterorum Ithacensium (v.

αὖτις ἐπ' οὐδὸν ἰὼν, προικὸς γεύσεσθαι Ἀχαιῶν,
στῆ δὲ παρ' Ἀντίνοον, καί μιν πρὸς μῦθον ἔειπε·
„Δὸς, φίλος· οὐ μέν μοι δοκέεις ὁ κάκιστος Ἀχαιῶν
ἔμμεναι, ἀλλ' ὥριστος, ἐπεὶ βασιλῆϊ ἔοικας.
τῷ σε χρὴ δόμεναι καὶ λώϊον ἠέ περ ἄλλοι
σίτου· ἐγὼ δ' ἄν σε κλείω κατ' ἀπείρονα γαῖαν.
καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
ὄλβιος ἀφνειὸν, καὶ πολλάκι δόσκον ἀλήτῃ
τοίῳ, ὁποῖος ἔοι, καὶ ὅτευ κεχρημένος ἔλθοι·
ἦσαν δὲ δμῶες μάλα μυρίοι, ἄλλα τε πολλὰ,
οἷσίν τ' εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται.
ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων· ἤθελε γάρ που,
ὅς μ' ἅμα ληϊστῆρσι πολυπλάγκτοισιν ἀνῆκεν
Αἴγυπτόνδ' ἰέναι, δολιχὴν ὁδὸν, ὄφρ' ἀπολοίμην·
στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσας.
ἔνθ' ἤτοι μὲν ἐγὼ κελόμην ἐρίηρας ἑταίρους
αὐτοῦ πὰρ νήεσσι μένειν, καὶ νῆας ἔρυσθαι,
ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι.
οἱ δ' ὕβρει εἴξαντες, ἐπισπόμενοι μένεϊ σφῷ,
αἶψα μάλ' Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγροὺς
πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον, καὶ νήπια τέκνα,
αὐτούς τ' ἔκτεινον. τάχα δ' ἐς πόλιν ἵκετ' ἀϋτή·
οἱ δὲ βοῆς ἀΐοντες ἅμ' ἠοῖ φαινομένηφιν
ἦλθον· πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε, καὶ ἵππων,
χαλκοῦ τε στεροπῆς· ἐν δὲ Ζεὺς τερπικέραυνος
φῦζαν ἐμοῖς ἑτάροισι κακὴν βάλεν, οὐδέ τις ἔτλη
στῆναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη.
ἔνθ' ἡμέων πολλοὺς μὲν ἀπέκτανον ὀξέϊ χαλκῷ,
τοὺς δ' ἄναγον ζωοὺς, σφίσιν ἐργάζεσθαι ἀνάγκῃ,
αὐτὰρ ἔμ' ἐς Κύπρον ξείνῳ δόσαν ἀντιάσαντι,

α', 394, β', 106, 115 etc.), dona gustaret, passim mendicans; itaque postremo etiam Antinoum appellat. — E: προικὸς, δωρεᾶς (ν', 15), *doni*, donorum. — ὁ κάκιστος, ὥριστος. significanter additi articuli ad designandum eum, qui velut κατ' ἐξοχὴν videatur omnium pessimus, vel optimus. v. ann. ad Il. α', 11. ὥριστος. Il. λ', 288 etc. — ἐγὼ — κλείω, *ego vero te celebravero*. v. Matth. §. 521. restitui plurimorum codicum scripturam ἐγὼ δ' ἄν σε, quam nuper posthabuerunt κακοφώνῳ illi ἐγὼ δέ κέ σε, in solo, quod sciam, libro A. 3., repertae. — ἀπείρονα γαῖαν. α', 98, ο', 79 etc.

419—424. haec iterum leguntur τ', 75—80 (cf. et ο', 433); tum 427—441 ξ', 258—272, praeterquam quod μεῖναι ibi est 270, hic στῆναι 439. E: ἔοι, ὑπάρχοι. — ὅτευ. v. σ', 397.

425, 6. ἀνῆκεν, *impulit*. θ', 73. Αἴγυπτόνδ' — ὁδόν. δ', 483.

442—44. longe aliter haec Eumaeo narrat libro 14., neque tamen id miratur ille hic adstans. quod explicaturus Am. Q.: πέπεισται ὡς Εὔμαιος (scrib.: καὶ E. Buttmann.: ὁ E.), inquit, τἀληθῆ αὐτῷ διηγήσασθαι τὸν μεταίτην διὰ τὴν ἄνοιαν, (recte Buttm. εὔνοιαν. ut proci, sic Eumaeus quoque Ulyssem vera sibi narrasse putat benevolentia, ut qui hospitaliter acceptus ab se fuerit.) καὶ ταῦτα πρὸς τὴν Πηνελόπην μηνύει (522 seqq.) περὶ αὐτοῦ (de Ulysse), ὡς αὐτὸς (Eum.) ἤκουσε. καὶ οἴεται αὐτὸν ψεύδεσθαι τοὺς μνηστῆρας, ἵνα μὴ παραγυμνώσῃ αὐτοῖς ἃ πέπυσται ἐν Θεσπρωτίᾳ περὶ Ὀδυσσέως. — Am. B.: ἀντιάσαντι (ζ', 193 etc.). ἀντήσαντι, ὑπαντήσαντι, ἐχαρίσαντό με. — Am. 2: Δμήτορι. Κινύρου ἀποθα-

Δμήτορι Ἰασίδῃ, ὃς Κύπρου ἶφι ἄνασσεν·
ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκω, πήματα πάσχων."

dure illum ab se abigit Antinous.

Τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμείβετο, φώνησέν τε·
„τίς δαίμων τόδε πῆμα προσήγαγε, δαιτὸς ἀνίην;
στῆθ' οὕτως ἐς μέσσον, ἐμῆς ἀπάνευθε τραπέζης,
μὴ τάχα πικρὴν Αἴγυπτον καὶ Κύπρον ἵκηαι,
ὥς τις θαρσαλέος καὶ ἀναιδής ἐσσι προΐκτης.
ἑξείης πάντεσσι παρίστασαι· οἱ δὲ διδοῦσι
μαψιδίως, ἐπεὶ οὔτις ἐπίσχεσις οὐδ' ἐλεητὺς
ἀλλοτρίων χαρίσασθαι, ἐπεὶ πάρα πολλὰ ἑκάστῳ."

magis eum irritat Ulysses audaci oratione;

Τὸν δ' ἀναχωρήσας προσέφη πολύμητις Ὀδυσσεύς·
„ὢ πόποι, οὐκ ἄρα σοίγ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν!
οὐ σύγ' ἂν ἐξ οἴκου σῷ ἐπιστάτῃ οὐδ' ἅλα δοίης,
ὃς νῦν ἀλλοτρίοισι παρήμενος οὔτι μοι ἔτλης

νόντος Δμήτωρ ἐβασίλευσε Κύπρου. ἢ οὐδὲ εἴρηται ὁ Κινύρας ἐν Ἰλιάδι (λ', 20) *Κύπρου βασιλεὺς, ἀλλὰ Κύπριος ἁπλῶς.* E: *εἰ δὲ Κινύρας ἐν Ἰλιάδι Κύπρου ἦν βασιλεὺς* (quod non est dubium), *ἀλλ' ἐκείνου μηκέτ' ὄντος ὁ ῥηθεὶς Δμήτωρ βασιλεῦσαι δοκεῖ.* Am. Q.: *ὅτι ἀεὶ πολλοὺς εἶχεν ἡ Κύπρος βασιλεῖς.* (scil. tempore post captam Trojam, cum inprimis Graeci redeuntes plures illuc colonias deducerent. v. Mannert. 6, 1, p. 429, 430.) *ἐν ταὐτῷ* (*quod idem attinet.* malim: *ἐν τούτῳ.*) *φησι καὶ ὁ Μένανδρος ἐν Μασουμάνῳ* (Mai.: *Μισουμένῳ.* fort.: *Μασωμένῳ*, Cavillatore), *ὡς* (delendum est *ὡς*, ortum haud dubie ex -*ῳι*, quod antecedit.) *ἐν παραβάσει, ἐν Κύπρῳ λαμπρῶς πάνυ* [*λαμπρὰ*] *Πράττων· ἐκεῖ γὰρ ὑπό τινι ἦν τῶν βασιλέων.*

446—452. Am. B.: *δαιτὸς ἀνίην* (ο', 393 etc.). *πρὸς ἡμᾶς ἤγαγε λύπην* (molestiam) *κατ'* (male codex: *καὶ*) *εὐωχίαν.* — *ἵκηαι.* sic A. 1, 2, 3, Harl., E, W, B. Ald. 3. et vulgo edd.: *ἴδηαι*, quam scripturam commemorarunt E et Scholl. A. 1. et Harl. nostrates tropo simili: *er wird schlimm ankommen.* — *προΐκτης.* 352. — *ἐπίσχεσις*, *temperantia*, germ. *Zurückhaltung.* — *ἐλεητύς.* ξ', 82. — *ἀλλοτρίων χαρ.* „Cato ap. Sallust., Bello Catil. 55.: *bona aliena liberalitas — vocatur.*" E Cl. de genitivo v. Il. ω', 76, 264. — *πάρα*, *πάρεστι.*

454—459. *ἐπὶ εἴδει.* v. 308. — *φρένες*, *mens*, prudentia. v. λ', 366 etc. — *ἐξ οἴκου*, *domo*, abs te. — *σῷ ἐπιστάτῃ*, *tuo supplici.* Ap. h. v.: *τῶν ἅπαξ εἰρημένων. λέγει δὲ τῷ ἐφισταμένῳ καὶ ἐπαιτοῦντι.* apparet, Grammaticum legisse *τῷ ἐπιστάτῃ*: sed bene habet *σῷ ἐπ.*, ut Eurip. Suppl. 101: *Θησεῦ, σὸς ἱκέτης καὶ πόλεως ἥκω σέθεν.* E: *ἐπιστάτην τὸν ἐπαίτην λέγει νῦν, παρὰ τὸ ἐφίστασθαι· οἱ δὲ παλαιοὶ τὴν λέξιν καὶ ἐπὶ παιδαγωγοῦ κ. παιδοτρίβου οἴδασι τεθεῖσθαι* etc. vox *πολύσημος*: v. lexica. — *οὐδ' ἅλα*, *ne sal quidem*, h. e. E. interprete: *οὐδὲ τὸ εὐτελέστατον ἂν δοίης*, *ne minimum quidem dederis.* „similiter Theocritus (?) 27, 60.: *φῄς μοι πάντα δόμεν, τάχα δ' ὕστερον οὐδ' ἅλα δοίης.* Erasmus Adag., sect. de Avaritia: *Ne salem quidem dederit.*" E Cl. Plautus Persa, 3, 3, 25.: *nisi me haec defendet, nunquam delinget salem.* Germani quoque simili sensu: *er verdient nicht das Salz.* „Phrynichus Appar. Soph. p. 54.: *οὐδὲ πάτταλον ἂν δοίης. Ὅμηρος, τὸ ἄγριον κ. ἄξενον δηλῶν, οὐδ' ἅλα ἂν δοίη περί τινος ἔφη. Ἀριστοφάνης ἐπὶ τὸ καινότερον οὐδὲ πάτταλον, εἶπε, δίδωσι. πάτταλον γὰρ κἀν ταῖς ὁδοῖς ἐῤῥιμένον ἔστιν εὑρεῖν.*" B. non invenio illud Comici; verum similiter ille Eccles. 283.: *ἀλλὰ σπεύσαθ', ὡς εἴωθ' ἐκεῖ Τοῖς μὴ παροῦσιν ὀρθρίοις ἐς τὴν Πνύκα Ὑπαποτρέχειν ἔχουσι μηδὲ πάτταλον.* ibi Faber: „gallice eadem ratione dicimus: *vous n'y gagnerez pas un clou.*" — *ἀλλοτρ. παρήμενος* dixit ut *δαιτὶ παρήμενος*

σίτου ἀποπροελὼν δόμεναι· τὰ δὲ πολλὰ πάρεστιν."

ille vero scabellum Ulyssi ingerit, et se detestanti, ac deorum fidem invocanti, vim minatur.

Ὣς ἔφατ'· Ἀντίνοος δ' ἐχολώσατο κηρόθι μᾶλλον,
καί μιν ὑπόδρα ἰδὼν ἔπεα πτερόεντα προσηύδα·
„Νῦν δή σ' οὐκέτι καλὰ διὲκ μεγάροιό γ' ὀΐω
ἂψ ἀναχωρήσειν, ὅτε δὴ καὶ ὀνείδεα βάζεις."
Ὣς ἄρ' ἔφη, καὶ θρῆνυν ἑλὼν βάλε δεξιὸν ὦμον,
πρυμνότατον κατὰ νῶτον. ὁ δ' ἐστάθη, ἠΰτε πέτρη,
ἔμπεδον, οὐδ' ἄρα μιν σφῆλεν βέλος Ἀντινόοιο,
ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
ἂψ δ' ὅγ' ἐπ' οὐδὸν ἰὼν κατ' ἄρ' ἕζετο, κὰδδ' ἄρα πήρην
* θῆκεν ἐϋπλείην, μετὰ δὲ μνηστῆρσιν ἔειπε·
„Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
οὐ μὰν οὔτ' ἄχος ἐστὶ μετὰ φρεσὶν, οὔτε τι πένθος,
ὁππότ' ἀνὴρ περὶ οἷσι μαχειόμενος κτεάτεσσι
βλήεται, ἢ περὶ βουσὶν, ἢ ἀργεννῇς ὀΐεσσιν·
αὐτὰρ ἔμ' Ἀντίνοος βάλε γαστέρος εἵνεκα λυγρῆς,
οὐλομένης, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσιν.
ἀλλ', εἴ που πτωχῶν γε θεοὶ καὶ Ἐριννύες εἰσὶν,
Ἀντίνοον πρὸ γάμοιο τέλος θανάτοιο κιχείη."
Τὸν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
„ἔσθι' ἕκηλος, ξεῖνε, καθήμενος, ἢ ἄπιθ' ἄλλῃ,
μή σε νέοι διὰ δώματ' ἐρύσσωσ', οἷ' ἀγορεύεις,
ἢ ποδὸς, ἢ καὶ χειρὸς, ἀποδρύψωσι δὲ πάντα.

α', 26 etc. — ἐχολ. κ. μᾶλλον. v. ε', 284. — ὑπόδρα ἰδών. θ', 165, Il. α', 148 etc. — ἔπεα πτερ. πρ. α', 122, Il. α', 201 etc.

460—467. καλά. 396, 483 etc. — βάζεις. δ', 32, θ', 240, Il. δ', 355 etc. Ap.: βάζειν. λέγειν. — πρυμνότατον, *extremum*. Il. ε', 339, π', 314 etc. — ὁ δ' ἐστάθη. quamvis vehementer percussus, tamen stetit, nec procubuit, ut manu tantum vulneratus pocillator ille σ', 397. „Virg. Aen. 7, 586.: *ille, velut pelagi rupes immota, resistit.*" Cl. — ἀκέων, *tacite*, ut decuit heroëm. contra pocillator σ', 398. οἰμώξας πέσεν ὕπτιος ἐν κονίῃσιν. — βυσσοδομεύων, *volvens animo*, cogitans. v. δ', 676. — ἐϋπλείην. interpretes: εὖ πεπληρωμένην, *bene plenam*. audio; sed per se intelligas illud εὖ, nec quisquam dixit κακόπλειος. quare affectum puto hoc vocabulum, ponamque ἐνιπλείην, ut σκύφος οἴνου ἐνίπλειον ξ', 113, δῶμα ἐνίπλειον βιότοιο τ', 580. saepe ν et υ litterae confusae sunt in libris: v. annotata nobis ad triumviros tragicos. similiter Ald. 3. χ', 2.: φαρέτρην Ἰῶν εὐπλείην, ubi ceteri codd. recte: φ. Ἰ. ἐμπλείην. Soph. Trach. 963.: σοί τε γὰρ ὄμμα Ἔμπλεον ἢ δι' ἐμοῦ σώζειν. cf. 503.

468. 370.

469. η', 187 etc.

470—480. μάν. v. ann. ad Il. β', 370. — μετὰ φρεσὶν, ἐν φρ. γ', 91. — περὶ οἷσι μαχειόμενος κτ. tmesis. περιμαχείεσθαι s. περιμαχεῖσθαι dixit, ut ἀμφιμάχεσθαι. E: τὸ μαχειόμενος ποιητικὴ λέξις, ὡς ἐκ τοῦ μαχῶ, μαχείω. — οὕτω καὶ τὸ βλήεται (pro βλῆται, βέβληται. v. Matth. p. 52. et 194., nos ad ι', 335, 512.). — ἀργ. ὀΐεσσιν. Il. γ', 198, ζ', 424 etc. — οὐλομ. — δίδωσιν. 287. — ἀλλ', εἴ που — κιχείη. liberrime loquitur, personae, quam sumsit, oblitus prae dolore atque ira. — τέλος θανάτοιο. Il. γ', 309 etc. — νέοι, *juvenes*, proci. 482, β', 324, ν', 425 etc. κούρους eos appellat praeco 174. — ἀποδρύψωσι (ε', 426), *dilacerent*. — E: πάντα. σὲ δηλαδὴ ὅλον.

cui propterea succensent proci, ipso haud curante.

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ὑπερφιάλως νεμέσησαν·
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
„Ἀντίνο', οὐ μὲν κάλ' ἔβαλες δύστηνον ἀλήτην,
οὐλόμεν', εἰ δήπου τὶς ἐπουράνιος θεός ἐστιν!
καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσι,
παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας,
ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες."

dolet patris vicem Telemachus; Penelope Antinoo vindictam Apollinis imprecatur.

Ὣς ἄρ' ἔφαν μνηστῆρες· ὁ δ' οὐκ ἐμπάζετο μύθων.
Τηλέμαχος δ' ἐν μὲν κραδίῃ μέγα πένθος ἄεξε
βλημένου, οὐδ' ἄρα δάκρυ χαμαὶ βάλεν ἐκ βλεφάροιϊν,
ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
Τοῦ δ' ὡς οὖν ἤκουσε περίφρων Πηνελόπεια,
βλημένου ἐν μεγάρῳ, μετ' ἄρα δμωῇσιν ἔειπεν·
„Αἴθ' οὕτως αὐτόν σε βάλοι κλυτότοξος Ἀπόλλων!"
τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη πρὸς μῦθον ἔειπεν·
„Εἰ γὰρ ἐπ' ἀρῇσιν τέλος ἡμετέρῃσι γένοιτο,
οὐκ ἄν τις τούτων γε ἐΰθρονον Ἠῶ ἵκοιτο."
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
„μαῖ', ἐχθροὶ μὲν πάντες, ἐπεὶ κακὰ μηχανόωνται,
Ἀντίνοος δὲ μάλιστα μελαίνῃ κηρὶ ἔοικε.

481. φ', 285. *ὑπερφιάλως*, *vehementer*. α', 227 etc. *νεμέσ*. β', 101 etc.

482. β', 324 etc.

483—487. *οὐ κάλ'*, *οὐ καλὰ*, h. e. *καλῶς*, ut 396 etc. — scripsi *δήπου* conjuncte, ut *εἴπερ*, *μέντοι*, *οὔπω* et similia, quae antiquitus coaluisse arbitror. *ἐπουράνιος*. Il. ζ', 129, 131, 527. — *καί τε θεοὶ*, *atque ipsi dii*. v. Zeun. ann. ad Viger. p. 520. — *παντοῖοι*, *omnigeni*, in omnes formas mutati. E: *τὸ παντ. ἀπορίαν λύει τινὰ, ἵνα μὴ τυχὸν ὁ Ἀντίνοος εἴπῃ, μὴ ἂν ἐν οὕτω πτωχικῷ σχήματι τὸ θεῖον φαντασθήσεσθαι· οἱ γὰρ παντοῖοι τελέθοντες καὶ πτωχοὶ ἂν ἐπιφανοῦνται.* itidem de Aegyptiorum diis nonnullis refert Diodorus 1, 12., ut Cl. notavit, *πᾶσαν τὴν οἰκουμένην ἐπιπορεύεσθαι φανταζομένους τοῖς ἀνθρώποις ἐν ἱερῶν ζώων μορφαῖς, ἔστι δ' ὅτε εἰς ἀνθρώπων ἰδέας ἢ τινων ἄλλων μεταβάλλοντας* etc. praeterea Cl. adscripsit illa Ovidii Met. 1, 212.: *summo delabor Olympo, Et deus humana lustro sub imagine terram.* idem poëta Met. 8, 626.: *Jupiter huc specie mortali, cumque parente Venit Atlantiades positis caducifer alis* etc. — *τελέθ*. δ', 85 etc. — *ἐπιστρωφῶσι*, *ἐπιστρέφονται*. — *εὐνομίην*, *aequitatem*. v. Schn. h. v.

488—490. *ὁ δὲ*, Antinous. — *ἐμπάζετο*. α', 271 etc. — *πένθος ἄεξε*, *luctum augebat*, h. e. magis magisque indulgebat luctui, indignum Antinoi facinus secum reputans. cf. λ', 194. E: *ὅτι τλήμονος* (obdurantis) *ἀνδρὸς τὸ ὁ δεῖνα ἐν μὲν κραδίῃ — βυσσοδομεύων. — ὁ Τηλ. δὲ νῦν οὕτω διάκειται. δείκνυσι δὲ ὁ π. ἐνταῦθα καὶ ὅτι δακρύων ἄξιον ἔπαθεν Ὀδ. ἔχει δὲ τὸ τλησικάρδιον ὁ νεανίας ἐξ ὧν ὁ πατὴρ* (π', 274—277) *παρήνεσε τοιοῦτον εἶναι, εἰ καὶ κατὰ δῶμα ποδῶν ἕλκεται, ἢ βέλεσι βάλλεται.* — *βλημένου*. genit. causae.

491. 465, δ', 677 etc.

494—503. *αἴθ' — Ἀπόλλων*. ο', 409. — *τὴν — ἔειπεν*. 74. — Am. Q.: *εἰ γὰρ — γένοιτο. εἰ προβαίη ἐπὶ ταῖς ἡμετέραις εὐχαῖς τὰ πράγματα.* *si vota nostra ad effectum adducerentur.* — *ἐΰθρονον*. σ', 318, Il. θ', 564 etc. — *μαῖα*. β', 349. — *μελαίνῃ κηρὶ ἔοικε*. v. ann. ad Il. γ', 454. — *ἀλήτευεν*. soloece libri: *ἀλητεύει*: neque enim nunc Ulysses circumit per domum, et ostendunt versus 503. et 4., Penelo-

ξεῖνός τις δύστηνος ἀλήτευεν κατὰ δῶμα,
ἀνέρας αἰτίζων· ἀχρημοσύνη γὰρ ἀνώγει.
ἔνθ' ἄλλοι μὲν πάντες ἐνέπλησάν τ', ἔδοσάν τε,
οὗτος δὲ θρήνυι πρυμνὸν βάλε δεξιὸν ὦμον."

dein Ulyssem ad se arcessi jubet, de ipso sciscitatura.

Ἡ μὲν ἄρ' ὣς ἀγόρευε μετὰ δμωῇσι γυναιξὶν,
* *ἡμένη ἐν θαλάμῳ· ὁ δ' ἐδείπνεε δῖος Ὀδυσσεύς.*
ἡ δ' ἐπὶ οἷ καλέσασα προσηύδα δῖον ὑφορβόν·
„Ἔρχεο, δῖ' Εὔμαιε· κιὼν τὸν ξεῖνον ἄνωχθι
ἐλθέμεν, ὄφρα τί μιν προσπτύξομαι, ἠδ' ἐρέωμαι,
εἴ που Ὀδυσσῆος ταλασίφρονος ἠὲ πέπυσται,
ἢ ἴδεν ὀφθαλμοῖσι· πολυπλάγκτῳ γὰρ ἔοικε."

quod ejus consilium laudat Eumaeus, miram hospitis praedicans facundiam.

Τὴν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„εἰ γάρ τοι, βασίλεια, σιωπήσειαν Ἀχαιοί!
οἷ' ὅγε μυθεῖται, θέλγοιτό κέ τοι φίλον ἦτορ.
τρεῖς γὰρ δή μιν νύκτας ἔχον, τρία δ' ἤματ' ἔρυξα
ἐν κλισίῃ (πρῶτον γὰρ ἔμ' ἵκετο, νηὸς ἀποδράς)·
ἀλλ' οὔπω κακότητα διήνυσεν ἣν ἀγορεύων.

pen narrare rem gestam. saepe *ι* et *υ* confusa. — *αἰτίζων.* 222, 346, 365. — E: *ἀχρημοσύνη.* *ἔνδεια χρημάτων.* Ap. h. v. *πενία.* — *ἐνέπλησάν τ', ἔδοσάν τε.* simplex oratio, more antiquorum, pro *ἐνέπλησαν δόντες*, scil. *τὴν πήραν*, vel *αὐτὸν*, quo sensu Latini dicunt *explere aliquem.*

506. *ὁ δ' ἐδείπνεε δῖος Ὀδυσσεύς.* quid? prandit pransus (359), et opprobriis oppletus, et plaga tantum non letali (489—491, 567) percussus, proptereaque flagrans dolore atque ira (465), ut in superioribus 235—238? cave credas. abjectissimo vilior fuisset errone, nec Telemachi, Penelopae et ipsorum procorum commiseratione dignus, si tam invenustum, tamque *ἀναίσθητον*, se praebuisset. restituamus poëtae manum suam *ὁ δὲ δὴ πνέε*, *ille vero anhelabat*, sive *iram spirabat*, quod per se dicitur nonnunquam *πνεῖν*, velut Eurip. Androm. 328. (322.): *τοσόνδ' ἔπνευσας*, ubi Schol.: *τοσοῦτον ἐπήρθης, ἐθρασύνθης, ἐθυμώθης.* mireris, putidam mendam diu tolerari potuisse in pulcherrimo carmine; sed nihil socordius est librariis, nihilque superstitiosius plurimis editoribus, ubi id agitur, ut illorum errores inveterati corrigantur. quod ad singula hujus emendationis attinet, *δὲ δὴ* Hom. dixit Il. *σ'*, 20. et saepe alias, quod est fortius affirmantis aliquid; de confusis autem *η* et *ει* vide *η'*, 286; nec obscurum est, multa auctorum loca laborare scriptura olim usitata continua.

509 — 511. *προσπτύξομαι*, *πρ—ωμαι*, ut *ἐρέωμαι*: alioqui enim et ipsi futuro locus esset. v. Matth. §. 519, 4. ceterum cf. *γ'*, 22 etc. — *ταλασίφρονος*, *τλήμονος*, *πολύτλαντος.* *α'*, 87 etc. — *πολυπλάγκτῳ.* 425, Il. *λ'*, 308.

513—527. *εἰ γάρ τοι — Ἀχαιοὶ*, *utinam*, *o regina*, *tibi* (h. e. tuam in gratiam, ut tu illum audire posses) *tacerent Graeci.* dicit autem procos. — E: *τὸ οἷα ὅγε μυθ.* *ὅμοιόν ἐστι τῷ οἷ' ἀγορεύεις, ὃ πρὸ ὀλίγων εἶπεν ὁ Ἀντίνοος.* — *ἔχον*, *habui* apud me domi. non est premendum, quod dixit *νύκτας καὶ ἤματα*, non contra, ut res fuit: nam mane Ulysses advenit ad Eumaeum post navigationem nocturnam; sed ita per hysteronproteron locutus est familiariter, metrique etiam fortasse causa, cui positus ille verborum congruebat, ut Virg. Aen. 6, 127.: *noctes atque dies* patet atri janua Ditis etc. — *κακότητα ἥν*, *miserias suas.* 318 etc. — *διήνυσεν*, *absolvit.* *αὐξητικὸν* seu potius *γραφικὸν* est *διὰ* in compositione, ut hymno in Apoll. 108.:

ὡς δ', ὅτ' ἀοιδὸν ἀνὴρ ποτιδέρκεται, ὅστε θεῶν ἒξ
ἀείδει δεδαὼς ἔπε' ἱμερόεντα βροτοῖσι,
τοῦ δ' ἄμοτον μεμάασιν ἀκουέμεν, ὁππότ' ἀείδῃ,
* ὣς ἐμὲ κεῖνος ἔθελγε παρήμενος ἐν μεγάροισιν.
φησὶ δ' Ὀδυσσῆος ξεῖνος πατρώϊος εἶναι,
Κρήτῃ ναιετάων, ὅθι Μίνωος γένος ἐστίν.
ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκετο πήματα πάσχων,
προπροκυλινδόμενος· στεῦται δ' Ὀδυσῆος ἀκοῦσαι
ἀγχοῦ Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ
ζωοῦ· πολλὰ δ' ἄγει κειμήλια ὅνδε δόμονδε."

ad votum Penelopae de reditu mariti vehementer sternutat Telemachus; quod illa omen laeta accipit.

Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
„ἔρχευ, δεῦρο κάλεσσον, ἵν' ἀντίον αὐτὸς ἐνίσπῃ.
οὗτοι δ' ἠὲ θύρῃσι καθήμενοι ἑψιαάσθων,
ἢ αὐτοῦ κατὰ δώματ', ἐπεί σφισι θυμὸς ἐΰφρων.
αὐτῶν μὲν γὰρ κτήματ' ἀκήρατα κεῖτ' ἐνὶ οἴκῳ,
σῖτος, καὶ μέθυ ἡδὺ, τὰ μέν τ' οἰκῆες ἔδουσιν·
οἱ δ' εἰς ἡμέτερον πωλεύμενοι ἤματα πάντα,
βοῦς ἱερεύοντες καὶ ὄϊς καὶ πίονας αἶγας,
εἰλαπινάζουσιν, πίνουσί τε αἴθοπα οἶνον,
μαψιδίως· τὰ δὲ πολλὰ κατάνεται. οὐ γὰρ ἔπ' ἀνὴρ,
οἷος Ὀδυσσεὺς ἔσκεν, ἀρὴν ἀπὸ οἴκου ἀμῦναι.
εἰ δ' Ὀδυσεὺς ἔλθοι, καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν,

βῆ ῥα θέειν, ταχέως δὲ διήνυσε πᾶν τὸ μεσηγύ. cf. δ', 357, ξ', 39, π', 110. — θεῶν ἒξ δεδαώς. h. e. ὑπὸ θεῶν. v. Matth. §. 574. τὸ θεῶν ἒξ δεδ. θεομαθῆ κ. θεόσοφον εἶναι δηλοῖ τὸν ἀοιδόν. hinc θεῖος seu θέσπις ἀοιδὸς passim apud hunc nostrum. — ἔπε' ἱμερόεντα dixit, ut ἱμερόεσσαν ἀοιδὴν α', 421, h. e. ἡδεῖαν, ut loquitur θ', 64. — ἄμοτον, ἀπληρώτως. ζ, 83. — μεμάασιν. δ', 700 etc. — κεῖνος ἔθελγε. malim: θέλγε, quo gravius accidat, totam versus regionem explens, pronomen κεῖνος. — φησὶ — εἶναι. memoriter haec Eumaeus senex: neque enim Ulysses dixit ξ', 321. minus probabiliter E ad 514: σημείωσαι, inquit, ὅτι κατὰ τὸ σιωπώμενον ἔοικεν Ὀδ. πολλά τινα ἔξω τοῦ Ὁμήρου ἀφηγήσασθαι τῷ Εὐμαίῳ· ἃ γάρ τοι πρὸς ἐκεῖνον εἶπεν, οὐδὲ ὡρῶν ὀλίγων τινῶν ἐδέοντο. εἰκὸς δὲ καὶ ῥητορικῶς τὸν Εὔμαιον ψεύδεσθαι, (?) ὡς ἂν μεγαλύνῃ παρ' αὐτῇ τὸν φίλον πτωχόν. — τόδ' ἵκετο, *sic venit*, scil. ut Eumaeus narravit 516. hoc sensu τάδε dicunt Tragici: v. Soph. Phil. 1061, Aeschyl. Suppl. 370 etc. — Am. 2.: προπροκυλ. μετὰ κακοπαθείας ἀπὸ πόλεως εἰς πόλιν φερόμενος. E: ἤγουν ἱκετεύων (v. Il. χ', 221), ἢ καὶ ἱκετευτικῶς ἀπὸ τόπου εἰς τόπον ἥκων. — στεῦται, *affirmat*. v. λ', 583, Il. β', 597 etc. — ἄγει Ὀδυσσεύς.

530 — 532. Ap.: ἑψιαάσθων. παιζέτωσαν. idem habet Sch., sed addidit διαλεγέσθωσαν, a quo abhorret illud ἑψιάασθαι Μολπῇ καὶ φόρμιγγι φ', 429. recte igitur Am. 2, in priore interpretatione subsistentes: παιζέτωσαν, ἀπὸ τοῦ ἕπω, ἕψω, ἑψιάω. Eustathii veteres auctores: ἑψιᾶται, ἀντὶ τοῦ γελᾷ, παίζει, διαλέγεται· καὶ ἑψία, παιδία, (sic. certe scribendum est παιδιά.) γέλως, χλεύη, καὶ ἑψίαι ἑορταί. cf. Schn. vv. ἑψιὰ et ἑψιάομαι. — ἀκήρατα, ἄφθαρτα. Il. ο', 498. Am. B: ἀκ. ὑπὸ ἀλλοτρίων, ἃ δὴ (scrib. οἱ δὲ) οἰκεῖοι αὐτῷ δουσι.

533. sic A. 1. vulgo: τὰ μὲν οἰκ. ἔ.

534 — 538. β', 55 — 59.

539. σ', 383. ἔλθοι, *redeat*. non plane idem est ἵκοιτ' ἐς πατρίδα γαῖαν; recte tamen Boissonadeo laudatus Artemidorus 4., prooem., p. 309.: φίλον

αἶψά κε σὺν ᾧ παιδὶ βίας ἀποτίσεται ἀνδρῶν."
Ὣς φάτο· Τηλέμαχος δὲ μέγ' ἔπταρεν, ἀμφὶ δὲ δῶμα
σμερδαλέον κονάβησ'. ἐγέλασσε δὲ Πηνελόπεια,
αἶψα δ' ἄρ' Εὔμαιον ἔπεα πτερόεντα προσηύδα·
„Ἔρχεό μοι, τὸν ξεῖνον ἐναντίον ὧδε κάλεσσον.
οὐχ ὁράᾳς, ὅ μοι υἱὸς ἐπέπταρε πᾶσιν ἔπεσσι;

γὰρ αὐτῷ (τῷ Ὁμήρῳ), inquit, *τὸ ἰσοδυναμοῦσι χρῆσθαι ὀνόμασι, κ. ῥήμασι, κ. πᾶσι τοῖς τοῦ λόγου μέρεσιν, ὡς καὶ ἀμφὶ περὶ κρήνην* (Il. β', 305), *καὶ εἰ δ' Ὀδυσεὺς ἔλθοι κ. ἵκοιτο, κ. ἄλλα ἄττα πολλά.* adscripsit B ω', 236.

540. *βίας ἀποτίσεται.* γ', 216. eleganter Barn., sed sine libris: *αἶψά κε ᾧ σὺν (ξὺν) παιδί.*

541—545. Montbel.: *Ne voyez-vous pas que mon fils vient d'éternuer à mes paroles?* L'éternument était d'un augure favorable chez les anciens, „parce que," dit Eustathe, „il part de la tête, la plus noble partie du corps humain. Voilà pourquoi l'usage est de saluer celui qui éternue. C'est du moins la cause que lui assignent les sages, entre autres Aristote. (Problem. 33, §. 7.)" Montaigne (Essays, l. 3., ch. 6.) dit la même chose: „Me demandez-vous, d'où vient cette coustume de bénir ceux qui éternuent? ... Parce que l'éternument vient de la tête et est sans blasme, nous lui faisons cet honneste recueil: ne vous moquez pas de cette subtilité; elle est, dit-on, d'Aristote." On trouve plusieurs exemples dans l'antiquité où l'éternument était considéré comme un bon augure. (v. Athen. 2., p. 66, c., Xenoph. Cyri exped. 3, 2, §. 5, Aristaen. 2, epist. 5, Anthol. gr. 2., p. 426 ed. Jacobs.) Cependant il semblerait, d'après un passage de Théocrite (7, 96.), que l'éternument était pris quelquefois comme un présage funeste: *Σιμιχίδᾳ μὲν ἔρωτες ἐπέπταρον· ἦ γὰρ ὁ δειλὸς Τόσσον ἐρῇ Μυρτοῦς, ὅσον εἴαρος αἶγες ἔρανται. Les Amours ont éternué à Simichide, car le malheureux aime autant Myrto que les chèvres aiment le printemps.* Properce (2, 3, 24.) a dit au contraire: *Aureus argutum sternuit omen Amor.* (cf. Catull. 45.) Morin, de l'Académie des Inscriptions (Mém. de l'Ac. des Inscr. t. 4., p. 325.), est auteur d'un mémoire sur cette question: *Pourquoi on fait des voeux en faveur de ceux qui éternuent.* (cf. Donndorf. *Gesch. der Erfind.* v. *Niesen*, et, quos auctores laudat, Potter. Archaeol. 1. p. 739, Reinhard. *Einleit. in d. Gesch. der christl. Kirche* p. 217, Krünitz *Encycl.* 102, p. 575 etc. praeterea, jubente Feithio 1, 16. 2., v. Schol. Theocriti l. c., qui sternutationum alias utiles, alias noxias esse ait, scil. pro re aut dicto, ad quod aliquis sternutavit, et Feithii annotatorem Stoeberum p. 31.) Finissons en disant que la formule du salut chez les Grecs, quand on éternuait, était *Ζεῦ, σῶσον*, ce qui répond tout-à-fait à notre: *Dieu vous bénisse.*" Germani quoque vulgo sternutantibus acclamare solent *Gott helf'*, et politiores: *Zur Genesung* etc. cujus consuetudinis antiquissimae originem inde duxerim, quod vehementer concussi sternutatione nec sui potentes visi homines metum objiciebant circumstantibus, ne malum accepissent. — libri: *κονάβησε. γέλασσε*, et rhythmo minus efficaci, et temere illato homoeoteleuto, quod sectati esse videntur aevo medio librarii. ejusmodi menda emendare licet sine codicibus, quorum fere recentiorum auctoritas in hoc genere perexigua est. quare et haec correxi, et similiter scribendum arbitror hymno in Merc. 420, et Il. τ', 362.: *αἴγλη δ' οὐρανὸν ἷκ', ἐγέλασσε δὲ πᾶσα πέρι χθών*, et ibidem φ', 408: *τεύχεά τ' ἀμφαράβησ'· ἐγέλασσε δὲ Παλλὰς Ἀθήνη.* auctor mihi harum emendationum ipse est Homerus, ubicunque carmina ejus non infuscavit barbaries. velut ι', 413 dixit: *ἐμὸν δ' ἐγέλασσε φίλον κῆρ*, et σ', 163.: *ἀχρεῖον δ' ἐγέλασσεν*, et Il. ο', 101.: *ἡ δ' ἐγέλασσε χείλεσιν.* potuit *ἐμὸν δὲ γέλασσε, ἀχρεῖον δὲ γέλασσεν, ἡ δὲ γέλασσεν*, sed rhythmi rationem habuit, nec nisi metro obtemperans augmentum hujus verbi omisit Il. β', 270. locisque similibus. — Harl.: *κονάβησε. γρ. καναχῆσε.* sic Ald. 3., ut τ', 469.: *κανάχησε δὲ χαλκός.* cf. κ', 399, sed etiam Il. β', 334, ο', 647 etc. — *ἐναντίον, exadversum*, in conspectum; germanice aevo medio *vor. Nibelungenlied* 1235.: *so si ze hove solte vor ir frunden gan.* cf. Il. α', 534 etc. — *ὅ μοι, ὅτι μοι.*

* τῷ κε καὶ οὐκ ἀτελὴς θάνατος μνηστῆρσι γένοιτο
πᾶσι μάλ', οὐδέ κέ τις θάνατον καὶ κῆρας ἀλύξοι.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
αἴ κ' αὐτὸν γνώω νημερτέα πάντ' ἐνέποντα,
ἕσσω μιν χλαῖνάν τε, χιτῶνά τε, εἵματα καλά."

Penelopae jussum exequitur Eumaeus.

Ὣς φάτο· βῆ δὲ συφορβὸς, ἐπεὶ τὸν μῦθον ἄκουσεν,
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
„Ξεῖνε πάτερ, καλέει σε περίφρων Πηνελόπεια,
μήτηρ Τηλεμάχοιο· μεταλλῆσαί τί ἑ θυμὸς
* ἀμφὶ πόσει κέλεται, καὶ κήδεά περ πεπαθυίῃ.
εἰ δέ κέ σε γνοίη νημερτέα πάντ' ἐνέποντα,
ἕσσει σε χλαῖνάν τε, χιτῶνά τε, τῶν σὺ μάλιστα
χρηΐζεις. σῖτον δὲ καὶ αἰτίζων κατὰ δῆμον
γαστέρα βοσκήσεις· δώσει δέ τοι, ὅς κ' ἐθέλῃσι.

reginae vesperi se praesto fore pollicetur Ulysses, procorum timens injurias.

Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
„Εὔμαι', αἶψά κ' ἐγὼ νημερτέα πάντ' ἐνέποιμι
κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ·
οἶδα γὰρ εὖ περὶ κείνου, ὁμὴν δ' ἀνεδέγμεθ' ὀϊζύν.
ἀλλὰ μνηστήρων χαλεπῶν ὑποδείδι' ὅμιλον,
τῶν ὕβρις τε, βίη τε, σιδήρεον οὐρανὸν ἵκει·
καὶ γὰρ νῦν, ὅτε μ' οὗτος ἀνὴρ κατὰ δῶμα κιόντα
οὔτι κακὸν ῥέξαντα βαλὼν ὀδύνῃσιν ἔδωκεν,
οὔτε τι Τηλέμαχος τόγ' ἐπήρκεσεν, οὔτε τις ἄλλος.
τῷ νῦν Πηνελόπειαν ἐνὶ μεγάροισιν ἄνωχθι
μεῖναι, ἐπειγομένην περ, ἐς ἠέλιον καταδύντα·
καὶ τότε μ' εἰρέσθω πόσιος περὶ νόστιμον ἦμαρ,

546, 7. τῷ — ἀλύξοι. mirabor, si talem tautologiam sibi indulsit vates eloquentissimus. quam fugientes, opinor, librarii codicum A. 2. et 3. et Florentini illius, qui primus omnium excusus est, versum 547. omiserunt. sed eo inducto nescio quid abrupti atque inconcinni habet haec oratio, praeter Homeri consuetudinem. latet aliquid, malimque sane per sarcasmum, qui non abhorret a laetitia Penelopae: *τῷ κε καὶ οὐκ ἀτελὴς κάματος μνηστῆρσι γένοιτο πᾶσι μάλα, quare nec imperfectus fuerit labor*, nec perdita opera, *procis omnibus*. quem jocum haud percipientes librarii, quamvis statim seriis explicatum verbis, depravatam putasse videntur vocem κάματος, eique substituisse e proximo petitam θάνατος. vel potius casu permixtae sunt θ et κ litterae, ut apud Aeschylum Cho. 495, ubi libri: οὐκ ἄρ' ἦν vel οὐ χάριν, sed Pauwius recte: οὖθαρ ἦν. quae menda ut rarior est, ita μ et ν frequentissime confusa deprehenduntur in codicibus.

548. λ', 453 etc.

550. π', 79.

555. dure ad ἓ refertur πεπαθυίῃ. atqui Am. Q.: πεπαθοίης. ἀντὶ τοῦ πέπονθας. Buttmannus: καὶ κήδε', ἅπερ πεπαθοίης, *et aerumnas, quas exantlasti.* id accipiendum arbitror.

559. βοσκήσεις. 228 etc.

563. Sch.: ὁμήν (κ', 41 etc.). τὴν αὐτήν. E: ὅτι τὸ ὁμ. δ' ἀν. ὀϊζὺν ὅμοιόν ἐστι παροιμίᾳ τῇ λεγούσῃ τὴν ἐμὴν κάμνεις νόσον. — ἀνεδέγμεθα, *excepimus*, velut tela (Il. ε', 619), h. e. pertulimus.

565. ο', 328.

566—583. οὗτος. v. 393. — βαλὼν ὀδ. ἔδωκεν. E: ὠδύνησε. Il. ε', 397. — ἐπήρκεσε, *prohibuit.* Il. β', 873.: οὐδέ τί οἱ τόγ' ἐπήρκεσε λυγρὸν ὄλεθρον. — ἐπειγ. περ, *quam-*

ἀσσοτέρω καθίσασα παραὶ πυρί. εἵματα γάρ τοι
λύγρ' ἔχω· οἶσθα καὶ αὐτὸς, ἐπεί σε πρῶθ' ἱκέτευσα."

id Eumaeus renuntiat reginae, quae prudentiam Ulyssis probat.

Ὣς φάτο· βῆ δὲ συφορβὸς, ἐπεὶ τὸν μῦθον ἄκουσε.
τὸν δ' ὑπὲρ οὐδοῦ βάντα προσηύδα Πηνελόπεια·
„Οὐ σύγ' ἄγεις, Εὔμαιε; τί τοῦτ' ἐνόησεν ἀλήτης;
ἦ τινά που δείσας ἐξαίσιον; ἦὲ καὶ ἄλλως
αἰδεῖται κατὰ δῶμα; κακὸς δ' αἰδοῖος ἀλήτης."
Τὴν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„μυθεῖται κατὰ μοῖραν, ἅπερ κ' οἴοιτο καὶ ἄλλος,
ὕβριν ἀλυσκάζειν ἀνδρῶν ὑπερηνορεόντων.
ἀλλά σε μεῖναι ἄνωγεν ἐς ἠέλιον καταδύντα.
καὶ δέ σοι ὧδ' αὐτῇ πολὺ κάλλιον, ὦ βασίλεια,
οἴην πρὸς ξεῖνον φάσθαι ἔπος, ἠδ' ἐπακοῦσαι.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
„οὐκ ἄφρων ὁ ξεῖνος ὀΐεται, ὅσπερ ἂν εἴη·
οὐ γάρ πού τινες ὧδε καταθνητῶν ἀνθρώπων
ἀνέρες ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται.

domum redit subulcus.

Ἡ μὲν ἄρ' ὣς ἀγόρευεν· ὁ δ' ᾤχετο, δῖος ὑφορβὸς,
μνηστήρων ἐς ὅμιλον, ἐπεὶ διεπέφραδε πάντα.
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα,
ἄγχι σχὼν κεφαλὴν, ἵνα μὴ πευθοίατο ἄλλοι·
„Ὦ φίλ', ἐγὼ μὲν ἄπειμι, σύας καὶ κεῖνα φυλάξων,
σὸν καὶ ἐμὸν βίοτον· σοὶ δ' ἐνθάδε πάντα μελόντων.
αὐτὸν μέν σε πρῶτα σάω, καὶ φράζεο θυμῷ,
μή τι πάθῃς· πολλοὶ δὲ κακὰ φρονέουσιν Ἀχαιῶν,
τοὺς Ζεὺς ἐξολέσειε, πρὶν ἡμῖν πῆμα γενέσθαι."
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„ἔσσεται οὕτως, ἄττα. σὺ δ' ἔρχεο δειελιήσας,

vis festinantem. — ἀσσοτέρω, ἆσσον. τ', 506. — ὑπὲρ οὐδοῦ βάντα, *limen* gynaecei *transgressum*, et ad se accedentem. — τί — ἀλήτης; *quomodo id in mentem venit erroni?* — ἐξαίσιον, *praeter modum*, nimis. Sch.: μεγάλως. v. ann. ad Il. ο', 597. — κατὰ δῶμα, *in aedibus* hisce regiis. num eas intrare veretur nimia modestia? — Am. 2: κακός. ἀλυσιτελὴς ἑαυτῷ. αἰδοῖος, ὁ αἰδούμενος. — E: οἴοιτο, νομίζοι. — ἀλυσκάζειν, *vitare*, h. e. vitandam esse. sic Ald. 3. item Barnesii MS.: ἀλυσκάζειν. ἐκφυγεῖν. non est nauci, quod habent alii libri, ἀλυσκάζων, ει et ω confusis, ut apud Aeschylum Eum. 200. — καὶ δέ σοι, καὶ δή σοι, *sane etiam tibi.* — κάλλιον, κρεῖσσον, ἄμεινον, *melius est*, magis conducit.

586—595. ἄφρων, ἀφρόνως. — ὀΐεται, *existimat*, procos metuens. E, incertum qua fide: ὀΐεται. ἀντὶ τοῦ φαίνεται, νομίζεται. hinc Barn. et alii: *non insipiens hospes videtur;* temere quidem. — διεπέφραδε, *dixit.* ξ', 47. — πευθοίατο ἄλλοι. sic A. 3. vulgo: πευθοίαθ' οἱ ἄλλοι. v. δ', 70. — E: ὅτι ποιμενικὸς λόγος τὸ ὦ φίλ' ἐγὼ — βίοτον. καὶ ὅρα τὸ κεῖνα, τὰ πράγματα δηλαδὴ, οὐ ἑρμηνεία τὸ σὸν — βίοτον. — ὅτι φιλοφρονικὸν τὸ σοὶ — μελόντων (ν', 362 etc.), ἤτοι μελέτωσαν. — σάω, σῶζε. ν', 230.

599—601. ἔσσεται οὕτως, ἄττα. π', 31. — E: δειελιήσας, ἀντὶ τοῦ ἕως δείλης διατρίψας ἐνταῦθα. διὸ περὶ δείελον ἦμαρ (606) ὁ παραγγελθεὶς Εὔμαιος ἄπεισι. τὸ μέντοι εἰπεῖν (ut Am. B. cf. et Sch.) δειελ. ἀντὶ τοῦ βρωματισάμενος τροφὴν δειλινὴν, οὐκ ἀρέσκει τοῖς παλαιοῖς. τὸ πολὺ (fere) γὰρ τρεῖς ἦσαν τροφαὶ,

ἠῶθεν δ' ἰέναι καὶ ἄγειν ἱερήϊα καλά·
αὐτὰρ ἐμοὶ τάδε πάντα καὶ ἀθανάτοισι μελήσει."
Ὣς φάθ'· ὁ δ' αὖτις ἄρ' ἕζετ' ἐπὶ θρόνου, ἔνθεν ἀνέστη.
πλησάμενος δ' ἄρα θυμὸν ἐδητύος, ἠδὲ ποτῆτος,
βῆ ῥ' ἴμεναι μεθ' ὕας, λίπε δ' ἕρκεά τε, μέγαρόν τε,
πλεῖον δαιτυμόνων. οἱ δ' ὀρχηστυῖ καὶ ἀοιδῇ
τέρποντ'· ἤδη γὰρ καὶ ἐπήλυθε δείελον ἦμαρ.

ἄριστα, δεῖπνα, δόρπα τε, κατ' Αἰσχύλον. — ἤγουν βαθεῖαν μεσημβρίαν ἰδών. οἱ δὲ ἐπὶ τροφῆς δειλινῆς τὴν λέξιν νοοῦντες προφέρουσι Καλλιμάχου (fragm. 190) τὸ δειελίην (δείελον) αἰτίζουσιν, ἄγουσι δὲ χεῖρας ἀπ' ἔργου, τὴν πρὸς δείλην δηλαδὴ τροφὴν αἰτοῦντες. ἔνθα σκεπτέον, ὡς, εἰ ψεκτέον τὸ ἄλλως εἰς κόρον γαστρίζεσθαι ἀριστῶντά τινα, κ. δορποῦντα, καί που καὶ δειπνοῦντα, πῶς οὐ μάλιστα ψεκτέον τὸ καὶ δειλινὴν τροφὴν προσίεσθαι τά τε ἄλλα, καὶ ὡς ἀεργίας αἴτιον; οὐκοῦν τὴν τοιαύτην τροφὴν ἀποῤῥιπτέον ἐκ τῆς καθ' Ὅμηρον ἱστορίας, ἵνα μὴ νοῆται ὁ π. ἱστορῶν τροφὰς ἑκάστης ἡμέρας λαμβάνεσθαι τέσσαρας· οὕτω δὲ κατά τινας καὶ τὰς τοῦ Αἰσχύλου, εἰπόντος ἄριστα, δεῖπνα, δόρπα θ' αἱρεῖσθαι (τρία). οὐδεὶς γὰρ, φασὶ, δείξει, ὡς παρὰ τῷ π. τρεῖς τροφαὶ λαμβάνονται. εἰ δὲ μέμνηται ἀρίστου, κ. δείπνου, κ. δόρπου, ἀλλ' αὐτὰ δύο εἰσὶν, οἷα συνωνυμούντων τοῦ δείπνου κ. τοῦ ἀρίστου, κ. τοῦ αὐτοῦ ποτὲ μὲν ἀρίστου, ποτὲ δὲ δείπνου ὀνομαζομένου. δῆλον δὲ, ὡς οὐκ ἄν τινα θορυβήσῃ ὡς ἐπὶ τρισὶ τροφαῖς τὸ παρὰ Μενελάῳ συμπόσιον (libro 4, 47—61, 216—218), ἐν ᾧ ἰδιάζον τι κεῖται παρὰ τὰ κοινά. δειπνήσαντες γὰρ ὁμιλοῦσιν· εἶτ' ἀπονιψάμενοι πάλιν δειπνοῦσιν, ὡς παρετήρησαν οἱ παλαιοί. ita Berglerus: *tu autem vade post meridiem usque hic commoratus*, Voss.: *Väterchen, also sei's; doch geh' erst gegen den abend.* sed Cl.: *tu vero vade merenda sumta*, Montbel.: *partez, après avoir goûté*, secutus ille Athenaeum 1., p. 11, E. (τῆς δὲ τετάρτης τροφῆς οὕτως Ὅμ. μέμνηται, σὺ δ' ἔρχεο δειελιήσας, ὃ καλοῦσί τινες δειλινὸν, ὅ ἐστι μεταξὺ τοῦ ὑφ' ἡμῶν λεγομένου ἀρίστου κ. δείπνου. verum is sibi haud constat, τὸ δειελ. alio loco, 5, 4., explicans τὸν δειλινὸν διατρίψας χρόνον, quo modo et Schn. fluctuat in lexico gr. h. v. cf. ann. ad ο', 77, Il. β', 381. Montbel.: „Je sais qu'à la rigueur on pourrait supposer qu'il s'agit ici du souper (τὸ δόρπον); mais ce repas, le dernier de tous, ne se prenait qu'après le choucher du soleil, au moment de s'aller coucher, comme cela résulte d'une foule de passages. (v. Il. η', 466—7, ι', 730—4, ψ', 55, Odyss. δ', 429 et 574, ν', 34 etc.) Or ici il ne peut pas être question de ce dernier repas, puisqu'il est dit que le jour déclinait lorsque Eumée quitta le palais: ἐπήλυθε δείελον ἦμαρ (606). C'est même de ce mot δείελον qu' est venu le verbe δειελιήσας, pour exprimer que ce repas se prenait non pas à la fin, mais au déclin du jour. Seulement il est permis de croire que ce *gouter* n'était pas un repas d'habitude. Télémaque ici n'engage Eumée à le prendre que parce que le pasteur va se mettre en route, et qu'il n'arrivera à la bergerie que fort tard." — ἱερήϊα, *victimas*, sues mactandas. — τάδε, *haec*, quae hic agenda sunt. cf. 594.

602. sic A. 2. et 3. et Harl., qui codex adscriptum habet hoc, quod vulgo legitur, sublectum illud, nisi fallor, ω', 408.: ὁ δ' αὖτις ἄρ' ἕζετ' ἐϋξέστου ἐπὶ δίφρου. ibi et ipse quidem servus Dolius considit in sella affabre facta, sed domi inter familiares senex, meliusque habitus quam vulgo servi (v. ω', 389, 390.), praesertim foris, ut hic Eumaeus. is vilem sellam coqui sibi sumserat, in qua assideret apud Telemachum, 330, quam sellam vereor ut Hom. dixisset ἐΰξεστον. v. ibi E.

603. Am. Q.: πλησ. — ποτῆτος. αὐτὰρ ἐπεὶ δείπνησε καὶ ἤραρε θυμὸν ἐδωδῇ. περισσὸς ὁ εἷς ἐκ τῶν β'. scil. delendus est posterior horum versuum, quem, petitum ex ε', 95. vel ξ', 111., librarii appinxere, ut similia similibus illustrare solent.

604. π', 341.

606. E: δείελον ἦμαρ. ἤγουν δείλη· ὡς γὰρ μέσον ἦμαρ ἡ μεσημβρία, οὕτω καὶ δείελον ἦμαρ ἡ δείλη. nota periphrasis, quemadmodum et δούλιον ἦμαρ pro δουλείᾳ, μόρσιμον ἦμαρ pro μόρῳ et similia passim Homerus dixit.

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΙΔΙΑ Σ.

ΥΠΟΘΕΣΙΣ
ΤΗΣ Σ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ὀδυσσέως καὶ Ἴρου πυγμὴ γίνεται. φαίνεται δὲ καὶ Πηνελόπη τοῖς μνηστῆρσι, καὶ παρ' αὐτῶν δῶρα λαμβάνει. γίνεται δὲ καί τις κοινολογία ἐν τοῖς ἑξῆς Ὀδυσσέως πρὸς Εὐρύμαχον.

ΟΔΥΣΣΕΙΑΣ Σ.

ΟΔΥΣΣΕΩΣ ΚΑΙ ΙΡΟΥ ΠΥΓΜΗ.

Advenit Irus, mendicus impudens, qui Ulyssem propria domo expellere conatur, sed male ab eo accipitur.

Ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος, ὃς κατὰ ἄστυ
πτωχεύεσκ' Ἰθάκης, μετὰ δ' ἔπρεπε γαστέρι μάργῃ,
* ἀζηχὲς φαγέμεν καὶ πινέμεν· οὐδέ οἱ ἦν ἲς,
οὐδὲ βίη, εἶδος δὲ μάλα μέγας ἦν ὁράασθαι.

Annotationes. Vers. 1—4. E: Ὅτι, καθάπερ ἐν τοῖς πρὸ τούτων Ὀδυσσεὺς, συχνὸν καιρὸν τὰ γυῖα διαπετάσας, ὁπηνίκα ναυαγήσας ἐνήχετο, ἀναγκαῖον ὕστερον ἔγνω ἄμφω γούνατα κάμψαι κ. χεῖρας ἐπ' ἀγαθῷ, ὡς ἐῤῥέθη (ε', 453, 454), οἰκείῳ, οὕτως ἐνταῦθα τὸ ἀνάπαλιν, ἐκ μακροῦ χρόνου ἀγύμναστος τὰς χεῖρας ὢν, τὰ εἰς ῥωμαλεότητα πλάττεται ὑπὸ τοῦ ποιητοῦ, τείνας αὐτὰς εἰς πυγμαχίαν ἐπ' ἀνδρὶ ἐοικότι ἔχειν πρὸς αὐτὸν ὁμοιότητα, ὃς ἦν ὁ ἐξ Ἰθάκης Ἶρος etc. — Am. 2: πτωχὸς πανδήμιος. ὁ δι' ὅλης τῆς πόλεως ἐπαιτῶν. — E: τὸ μεταπρέπειν (μετέτρεπε) γαστέρι μάργῃ ἀστείως (?) ἐῤῥέθη ἀντὶ τοῦ ἐκπρεπὴς ἦν ἐπὶ γαστριμαργίᾳ, εἴτουν ἀπληστίᾳ. τοῦτο γὰρ ἡ μάργη γαστὴρ (cf. 53), διαλελυμένως ῥηθεῖσα ὁμοίως τῷ πόλις ἄκρη (Il. χ', 383) κ. τοῖς ὁμοίοις. ὅθεν καὶ ἐπιφέρει διασαφητικῶς τὸ ἀζηχὲς φαγέμεν, — Ap.: ἀζηχές. ἀδιεχὲς, (mendose MS.: ἀδιηκὲς, ε et η, itemque κ et χ, litteris confusis, ut alias. E: ἀζηχὲς δὲ τὸ ἀδιεχθὲς, εἴτουν συνεχές. ibi quoque scribendum est ἀδιεχές.) ἀδιάλειπτον· ἀζηχὲς μεμακυῖαι, ἀκούουσαι (sic) ὄπα ἀρνῶν (Il. δ', 435). καί· ἀζηχὲς φαγέμεν κ. π. — E: ἰστέον δὲ, ὅτι τὸ μὲν φαγεῖν ἀζηχὲς οὐ πάνυ πολλοὺς, τὸ δὲ ἀζηχὲς πιεῖν μυρίους ἀπώλεσεν, ὧν εἷς καὶ ὁ μέγας Ἀλέξανδρος, ὃς Μακεδόνι συμπίνων, τῷ Πρωτέᾳ, εἶτα ποτήριον λαβὼν δίχουν, — ἔσπασε μὲν γενναίως, οὐ μὴν δὲ ὑπήνεγκεν, ἀλλ' ἀπεκλίθη ἐπὶ τὸ προσκεφάλαιον, ἀφεὶς τῶν χειρῶν τὸ ποτήριον· καὶ ἐκ τούτου, φασὶ, νοσήσας ἀπέθανεν. ἄριστα οὖν τοῦτό γε φρονοῦσιν Ἰνδοὶ, παρ' οἷς, ὡς ἱστορεῖ Κτησίας, οὐκ ἔστι τῷ βασιλεῖ μεθυσθῆναι. παρὰ δέ γε Πέρσαις, ὥς φησι Δοῦρις, ἐφίεται τῷ βασιλεῖ μεθύσκεσθαι ἡμέρᾳ μιᾷ, ἐν ᾗ τῷ Μίθρᾳ ἔθυον, ὅτε καὶ τὸ Περσικὸν ὠρχεῖτο etc. πινέμεν MS. Thom. Bentleji et Etym. M. v. Ἀρναῖος: quod

*Ἀρναῖος δ' ὄνομ' ἔσκε (τὸ γὰρ θέτο πότνια μήτηρ
ἐκ γενετῆς)· Ἶρον δὲ νέοι κίκλησκον ἅπαντες,
οὕνεκ' ἀπαγγέλλεσκε κιών, ὅτε πού τις ἀνώγοι.
ὅς ῥ' ἐλθὼν Ὀδυσῆα διώκετο οἷο δόμοιο,
καί μιν νεικείων ἔπεα πτερόεντα προσηύδα·
„Εἶκε, γέρον, προθύρου, μὴ δὴ τάχα καὶ ποδὸς ἕλκῃ!
οὐκ ἀΐεις, ὅτι δή μοι ἐπιλλίζουσιν ἅπαντες,
ἑλκέμεναι δὲ κέλονται; ἐγὼ δ' αἰσχύνομαι ἔμπης.
ἀλλ' ἄνα, μὴ τάχα νῶϊν ἔρις καὶ χερσὶ γένηται.“
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
„δαιμόνι', οὔτε τί σε ῥέζω κακόν, οὔτ' ἀγορεύω,
οὔτε τινὰ φθονέω δόμεναι, καὶ πόλλ' ἀνελόντα.
οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται, οὐδέ τί σε χρὴ
ἀλλοτρίων φθονέειν· δοκέεις δέ μοι εἶναι ἀλήτης,

etiam π', 143. posuit Barn., nec male, cum prior τοῦ πίνειν semper producatur, non item τοῦ πιεῖν seu πιέμεν: v. ο', 377. magis divertit Ald. 3., in qua legitur φαγέμεν ἠδὲ πιέμεν. sane genuinum puto hoc: — φαγ., ἰδὲ πινέμεν. καὶ ab explicatore profectum est; vel metro nescio quis inepte metuens ita scripsit, ut π', 143. — E: ἲς δὲ διαφέρει βίας, ὅτι αὐτὴ μὲν ἐπὶ νεύρων κυριολεκτεῖται, ἡ βία δὲ ἐπὶ ἰσχύος, ἢ ῥώμης.

5. πότνια μήτηρ. vereor, ut abjecti hominis mater apte vocetur πότνια. e ζ', 30. aliisque locis consimilibus, quorum affatim est apud poëtam, id adscripsisse arbitror librarios, cum praesertim A, 3. habeat δειλὴ μήτηρ pro δούλη, et Etym. l. c. hoc, quod merito placuit Buttmanno, estque receptum a Knightio: τὸ γὰρ θέτο οἵ ποτε μήτηρ.

6—9. E: Ἶρος δὲ κατὰ τὸν ποιητὴν παρὰ τὸ εἴρω (sive ἴρω), τὸ λέγω κ. ἀπαγγέλλω, ὅθεν καὶ ἡ Ἶρις, κ. ὁ Ἑρμῆς. (?) — Harl.: ἐκ γενετῆς (ω', 535). ἐκ γενεῆς (ita A. 2. et Alter.), διχῶς. — E.: διώκετο οἷο δόμοιο, ἀντὶ τοῦ ἐδίωκεν ἐκ τοῦ ἰδίου οἴκου. ἐνεργητικὴν γὰρ σημασίαν ἔχει νῦν τὸ ἐδιώκετο. ἰστέον δὲ καί, ὅτι τὸ τοῦ Ἴρου ὄνομα φέρεται μέχρι καὶ νῦν παρὰ τοῖς ὕπερθεν Σινώπης, οἳ τὸν λίαν πτωχὸν ὑποβαρβαρίζοντες (?) πτωχὸν ἄϊρον (72) λέγουσιν. — καί μιν — προσηύδα. de duplici accusativo v. Matth. §. 410, b., 169, π', 460, ρ', 495 etc. — νεικείων, ἐρίζων. Il. β', 243 etc. v. E ad verba ἔρις — γένηται 13.

10—13. εἶκε, γ., προθύρου. Il. ε', 348.: εἶκε, Διὸς θύγατερ, πολέμου καὶ δηϊοτῆτος. — οὐκ ἀΐεις, non sentis? Ap. v. ἐπιλλίζουσι: οὐχ ὁρᾷς, quae est interpretatio. v. ann. ad Il. κ', 160. ceterum Sophista: ἐπιλλίζειν ἐστὶ τὸ τοὺς ὀφθαλμοὺς ἐπικατακλᾷν. (distorquere. Horat. Sat. 1, 9, 64.: *nutans*, Distorquens oculos, *ut me eriperet.*) Am. 2: ἐπιλλ. διανεύουσι τοῖς ὀφθαλμοῖς. ἴλλοι γὰρ οἱ ὀφθαλμοί, (?) ἀπὸ τοῦ εἰλεῖσθαι· ὅθεν τὸ δενδίλλων (Il. ι', 180). recte E: — ἰλλὸς (v. Schn. vv. ἰλλός, ἴλλω.) ὁ στραβός. idem: ὅμοιον δέ τι καὶ τὸ δενδίλλειν πρὸς τὸ ἐπιλλίζειν. (?) οἱ μέντοι ὕστερον ἐπὶ βασκανίας τὸ ἐπιλλίζειν φασί. δῆλον δ', ὅτι ἐκ τοῦ εἰρημένου ἰλλοῦ ἔχουσιν ἀφορμὴν καὶ ἰλλάδες αἱ ἐν Ἰλιάδι (ν', 572) τοῦ ἐτυμολογεῖσθαι etc. — ἔμπης, ὅμως. ε', 205 etc. quamvis incitantibus procis, verecundatur *tamen*. — ἄνα, ἀνάστηθι. Il. ζ', 331 etc. — E: τὸ ἔρις — γένηται δηλοῖ, ὡς τὸ παρὸν ἔρις ἐστὶν ἐν λόγοις. διὸ καὶ ὁ π. ἔφη, καί μιν νεικείων προσηύδα, ὡς ταυτὸν ὂν νεικεῖν κ. ἐρίζειν, εἰ καὶ τὸ μέν ἐστιν ἐν τῷ προσαυδᾶν, τὸ δὲ ἕτερον ἐν χερσίν.

14. ϑ', 165 etc.

15—21. δαιμόνιε. v. 406, κ', 472 etc. — καὶ πολλά, καίπερ π. — ἀνελόντα, *tollentem*, ut tibi det. — Am. 2 et Sch.: οὐδὸς — χείσεται. χωρήσει· ἔνθεν καὶ χειά (Il. χ', 93, 95) ἡ κατάδυσις τῶν ὄφεων. E: ἰστέον δέ, ὅτι τὸ χείσεται δηλοῖ μὲν τὸ χωρήσει, γράφεται δὲ παρὰ τοῖς παλαιοῖς κοινότερον διὰ διφθόγγου, (non χήσεται. v. Matth. §. 254.) ὡς ἀπὸ τοῦ χῶ, χείω etc. — Am. 2: ἀλλ' φθονέειν. οὕτως ἡ σύνταξις· οὐ χρή σε φθονεῖν μοι τῶν ἀλλοτρίων. μέλλουσι δὲ οἱ θεοὶ εὐδαιμονίαν ἡμῖν παρέχειν· ἄδηλον

ὥσπερ ἐγών, ὄλβον δὲ θεοὶ μέλλουσιν ὀπάζειν.
χερσὶ δὲ μήτι λίην προκαλίζεο, μή με χολώσῃς,
μή σε, γέρων περ ἐών, στῆθος καὶ χείλεα φύρσω
αἵματος! ἡσυχίη δ' ἂν ἐμοὶ καὶ μᾶλλον ἔτ' εἴη
αὔριον· οὐ μὲν γάρ τί σ' ὑποστρέψεσθαι οἴω
δεύτερον ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.“
Τὸν δὲ χολωσάμενος προσεφώνεεν Ἶρος ἀλήτης·
„ὢ πόποι, ὡς ὁ μολοβρὸς ἐπιτροχάδην ἀγορεύει,
γρηῒ καμινοῖ ἶσος! ὃν ἂν κακὰ μητισαίμην,
κόπτων ἀμφοτέρῃσι, χαμαὶ δέ κε πάντας ὀδόντας
γναθμῶν ἐξελάσαιμι, συὸς ὣς ληϊβοτείρης.
ζῶσαι νῦν, ἵνα πάντες ἐπιγνώωσι καὶ οἵδε
μαρναμένους! πῶς δ' ἂν σὺ νεωτέρῳ ἀνδρὶ μάχοιο;“

gliscente jurgio proci, delectationis causa, luctari illos jubent, praemio proposito.

Ὣς οἱ μὲν προπάροιθε θυράων ὑψηλάων,
οὐδοῦ ἔπι ξεστοῦ, πανθυμαδὸν ὀκριόωντο.
τοῖϊν δὲ ξυνέηχ' ἱερὸν μένος Ἀντινόοιο,
ἡδὺ δ' ἄρ' ἐκγελάσας μετεφώνεε μνηστήρεσσιν·
„Ὦ φίλοι, οὐ μέν πώ τι πάρος τοιοῦτον ἐτύχθη,
οἵην τερπωλὴν θεὸς ἤγαγεν ἐς τόδε δῶμα·
ὁ ξεῖνός τε καὶ Ἶρος ἐρίζετον ἀλλήλοιϊν

γὰρ τὸ τῆς τύχης ῥεῦμα. — *μέλλουσιν ὀπάζειν*, *dant*, vel *solent dare*; Voss.: *wohlstand ist gab' unsterblicher götter.* v. Schn. v. μέλλω. — *προκαλίζεο*, *provoca*. θ', 228, Il. γ', 19 etc. — *μή σε — αἵματος*. asyndeton epexegeticum, quod convenit irato. similiter Il. ο', 31.: τῶν σ' αὖτις μνήσω, ἵν' ἀπολλήξῃς ἀπατάων, Ὄφρα ἴδῃ etc. — *φύρσω αἵματος* dixit ut λελουμένος ὠκεανοῖο pro ὠκεανῷ Il. ε', 6, ubi v. ann. E: — ἔστι δὲ *φύρσαι* τὸ μολῦναι κ. συγχέαι. ὅθεν καὶ φύρδην συγκεῖσθαί τινα λέγονται. —

26—30. *μολοβρός*. ρ', 219. — E: *ἐπιτροχάδην*. (Il. γ', 213.) σπουδαίως κ. κατ' ἐπιδρομήν· τοῦτο δὲ διὰ τὸ κομματικὸν τῶν ἐννοιῶν (propter concisas sententias) τοῦ κατὰ τὸν Ὀδυσσέα λόγου. ἐν γὰρ στίχοις δέκα ἔννοιαι κεῖνται ὑπὲρ τὰς δέκα. θυμὸν γοῦν πλαγίως ὀνειδίζει τῷ Ὀδυσσεῖ, ὡς οἷα δι' ὀργὴν λαλοῦντι κομματικῶς. τὸ δὲ *γρηῒ καμινοῖ ἶσος* οἱ μὲν κατὰ τὸ πολύλαλον φασὶν, ὡς ἐν ῥητορικῷ δηλοῦται λεξικῷ· ἕτεροι δὲ τὸ μὲν *γρηῒ* διὰ τὸ ῥυσὸν τοῦ προσώπου εἶπον, τὸ δὲ *καμ.* διὰ τὸ ἐπιφαινόμενον μέλαν, ὡς οἷον ἔκ τινος ἀσβόλης. Ἀρίσταρχος δὲ κ. Ἡρωδιανὸς *καμινώ* φασι τὴν καμινεύτριαν, ἤτοι φρύττουσαν κριθὰς πρὸς εὐχερεστέραν ἀλευροποιΐαν etc. Voss.: *recht wie ein heizerweib.* Cl.: *vetulae camino assuetae similis.* — *ὃν — μητισαίμην*, *cui mala moliar* seu *faciam*. v. ι', 262. — *ἀμφοτ.* ρ', 356. — Am. B.: *συὸς ὣς ληϊβ.* ὡς χοίρου λήϊον βοσκομένου. εἴπου γὰρ εὑρίσκετο εἰς ἀλλότριον χωρίον (h. e. ἐν ἀλλοτρίῳ χωρίῳ) χοῖρος, τοῦτο ἔπασχεν ὑπὸ τῶν δεσποτῶν τοῦ χωρίου κατασχόμενος. (perperam liber: κ—μένη.) οὗτος δὲ ὁ νόμος παρὰ Κυπρίοις. — *ἐπιγνώωσι*, *cognoscant*, judicent. parum est, quod ait Sch.: ἀντὶ τοῦ θεάσωνται. v. ω', 217.

32—34. *οὐδοῦ ἔ. ξεστοῦ*. χ', 72. cf. θ', 6, Il. ζ, 243. — Am. 2 et Harl.: *πανθ. ὀκριόωντο.* μετὰ παντὸς θυμοῦ ἐτραχύνοντο, ἠγριαίνοντο. καὶ *λίθον ὀκριόεντά* φησι (hoc omisit Harl.) τὸν τραχὺν, καὶ οἷον ἄκρα ἔχοντα, καὶ (scrib. ὡς) ἀκριόεντα. cf. ann. ad Il. μ', 380. — *ξυνέηκε*, *animadvertit*. Il. β', 182 etc. — *ἱερὸν*, *sacrum*, ut regis. cf. η', 167, inferius 60 etc.

36—39. *τοιοῦτον, οἵην τερπωλὴν* — pro τοιοῦτόν τι τερπνὸν, οἷον etc. codd. prava interpunctione: — ἐτύχθη· οἵην etc. — *ἐτύχθη*, *accidit*.

χερσὶ μαχήσασθαι. ἀλλὰ ξυνελάσσομεν ὦκα!“
῝Ως ἔφαθ᾽· οἱ δ᾽ ἄρα πάντες ἀνήϊξαν γελόωντες,
ἀμφὶ δ᾽ ἄρα πτωχοὺς κακοείμονας ἠγερέθοντο.
τοῖσιν δ᾽ Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
„Κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, ὄφρα τι εἴπω!
* γαστέρες αἵδ᾽ αἰγῶν κέατ᾽ ἐν πυρὶ, τὰς δ᾽ ἐπὶ δόρπῳ
κατθέμεθα, κνίσσης τε καὶ αἵματος ἐμπλήσαντες·
ὁππότερος δέ κε νικήσῃ, κρείσσων τε γένηται,
τάων ἥν κ᾽ ἐθέλῃσιν ἀναστὰς αὐτὸς ἑλέσθω.
αἰεὶ δ᾽ αὖθ᾽ ἡμῖν μεταδαίσεται, οὐδέ τιν᾽ ἄλλον
πτωχὸν ἔσω μίσγεσθαι ἐάσομεν αἰτήσοντα.“
῝Ως ἔφατ᾽ Ἀντίνοος, τοῖσιν δ᾽ ἐπιήνδανε μῦθος.

Ulyssi oranti Telemachus securitatem certaminis promittit.

τοῖς δὲ δολοφρονέων μετέφη πολύμητις Ὀδυσσεύς·
„Ὦ φίλοι, οὔπως ἔστι νεωτέρῳ ἀνδρὶ μάχεσθαι
ἄνδρα γέροντα, δύῃ ἀρημένον· ἀλλά με γαστὴρ
ὀτρύνει κακοεργὸς, ἵνα πληγῇσι δαμείω.
ἀλλ᾽ ἄγε νῦν μοι πάντες ὀμόσσατε καρτερὸν ὅρκον,
μήτις ἐπ᾽ Ἴρῳ ἦρα φέρων ἐμὲ χειρὶ βαρείῃ
πλήξῃ ἀτασθάλλων, τούτῳ δέ με ἶφι δαμάσσῃ.“

γ', 255 etc. — *ξυνελάσσομεν*, ξυνελάσσωμεν.

41—43. *κακοείμονας*, *male vestitos.* similia sunt ἀνείμων γ', 348, εὐείμων ap. Aeschylum Pers. 158., μελανείμων. — *γαστέρες*, *ventriculi*, germ. *Magenwürste.* Aristoph. Nub. 403.: ὤπτων γαστέρα τοῖς ξυγγενέσιν, ubi v. interpp. cf. 117, υ', 25—27. Sch.: τὰς φύσκας (pessime libri: φυσικάς.) λέγει. — E: τὰς γαστέρας φύσκας τινὲς τῶν παλαιῶν ἡρμήνευσαν. ἁπλοϊκὸν δὲ κ. ἀγροτικὸν τὸ εἰς δόρπον τοιαύτας φυλάσσειν etc. — *κέατ᾽*, κέαται, κείαται, κεῖνται. Il. λ', 658 etc. margo codicis Harl.: κέαται πυρί. — Am. 2: οἰκεῖον τὸ ἆθλον τοῖς διὰ γαστέρα ἁμιλλωμένοις. *ἐν πυρὶ* δὲ ἀντὶ τοῦ παρὰ πυρί. (imo *in igne*, h. e. in lebete, igni imposito. Il. φ', 362.: ὡς δὲ λέβης ζεῖ ἔνδον, ἐπειγόμενος πυρὶ πολλῷ, Κνίσσην μελδόμενος ἁπαλοτρεφέος σιάλοιο. paulo aliter Voss.: *hier ja sind geissmagen gelegt auf glühende kohlen.*) οὕτως Ἀρίσταρχος. ὁ δὲ Ἀριστοφάνης· ἐν πυρὶ, ἐν τῷ καταφωτιζομένῳ τόπῳ, (?) ὡς ἐν Ἰλιάδι (ι', 206), *αὐτὰρ ὅγε κρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ.* — *τὰς δ᾽*, ἅς δή. male Barn.: τάσδ᾽. — *ἐπὶ δόρπῳ*, *in coenam.*

46. Il. γ', 71, 92.

48—57. *αἰεὶ δ᾽ αὖθ᾽ ἡμῖν μετ.*, ut ὡς ἔφαθ᾽, ἡμῖν δ᾽ αὖτε κατεκλάσθη φίλον ἦτορ, quod et item dicere poterat ἡμῖν δ᾽ αὖ, ἡμῖν δὲ, ἡμῖν αὖ. cf. δ', 211, ε', 221, λ', 337 etc. — *μεταδαίσεται.* Il. χ', 498, ψ', 207. — *δολοφρονέων.* κ', 339, Il. γ', 405 etc. — E: *δύῃ ἀρ.* ἤγουν βεβλαμένον τῇ κακοπαθείᾳ. τοιοῦτον γὰρ ἡ *δύη*, γινομένη κατὰ Πλούταρχον ἀπὸ τοῦ δύο ἀριθμοῦ, (?) ἐπεὶ δυάζει πως τὴν στοιχειακὴν καθ᾽ ὑγείαν ἑνότητα τὸ κακοπαθὲς, κ. διαλύει τὴν ἕνωσιν διὰ τῆς φθορᾶς· ἄλλως δὲ κοινῶς παρὰ τὸ δύω ῥῆμα, ἐξ οὗ καὶ ἡ ὀδύνη, (?) δύη τις οὖσα φύσει καὶ αὐτὴ κατὰ τὸ ἀπλεόναστον, εἰ καὶ ἄλλως ἐκ τοῦ δύω κατὰ πλεονασμὸν γίνεται δύνη (?) καὶ ὀδύνη, ἡ κατὰ βάθος δύνουσα. falli videtur Plutarchus, nec aliud esse δύη quam δύσις sensu figurato. v. Schn. h. v. aliam notationis viam ingressus Blomfieldius glossario Promethei vincti, ad 186.: „Accurate,“ inquit, „Hesychius: δύη· δυστυχία, ἢ ἔνδεια. est enim sensu primario *necessitas*, a δέω *egeo*, vel ab antiquo δεύω. Etym. prave ducit a δέω *ligo.*“ ceterum cf. 81, ζ', 2, ξ', 215, ψ', 283 etc. — *γαστὴρ ὀ. κακοεργός.* cf. 2, η', 216 etc. — *δαμείω*, *domer, castiger.* cf. 57. δ', 244. — *καρτερὸν ὅρκον.* δ', 253 etc. — *ἦρα φέρων.* γ', 164. — *βαρείῃ*, παχείῃ, ἰσχυρᾷ. Il. α', 89, γ', 376 etc. — Am. 2: *ἀτασθάλλων* (τ', 88). ἐνυβρίζων με ὑ-

"Ως ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀπώμνυον, ὡς ἐκέλευεν.
[αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε, τελεύτησάν τε τὸν ὅρκον,]
τοῖς δ' αὖτις μετέειφ' ἱερὴ ἲς Τηλεμάχοιο·
„Ξεῖν', εἴ σ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ,
τοῦτον ἀλέξασθαι, τῶν δ' ἄλλων μήτιν' Ἀχαιῶν
δείδιθ', ἐπεὶ πλεόνεσσι μαχήσεται, ὅς κέ σε θείνῃ.
ξεινοδόκος μὲν ἐγών· ἐπὶ δ' αἰνεῖτον βασιλῆες,
Ἀντίνοός τε, καὶ Εὐρύμαχος, πεπνυμένω ἄμφω."

Ulyssis se accingentis fortitudinem, ope Minervae auctam, admirantur proci, Iro malum praesagiente.

"Ως ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήνεον. αὐτὰρ Ὀδυσσεὺς
ζώσατο μὲν ῥάκεσιν περὶ μήδεα, φαῖνε δὲ μηροὺς

περηφάνως, ἢ ἀδικῶν με. — ἶφι. λ', 283, Il. α', 151 etc. —

58. ο', 436. Am. B. et Harl.: ἐπώμνυον. ἐπώμνυον, οὐκ ἀπώμνυον. A. 1.: γρ. ἐπώμνυον. sic etiam A. 1. et 3. et Ald. 3. v. ann. ad β', 377.

59. legitur hic versus in A. 2. et 3.; non item apud E, ut Cl. affirmavit, nec magis haec ostendunt ceteri, qui innotuere, codd. cum scripti, tum excusi, in quibus Ald. 3., Bergleri, et alii. qui versus cum habeatur β', 378, κ', 346, μ', 304, ο', 438 (cf. Il. ξ', 280), videntur hic quoque, ut saepe, ab aliis similia similibus adscripta esse, ab aliis autem omissa, tanquam supervacanea.

60—65. ἱερὴ ἲς Τηλ. v. 34. — κραδίη κ. θ. ἀγήνωρ. δ', 548, Il. κ', 220 etc. ἀγήνωρ, ἀνδρεῖος. v. Il. β', 276. — E: ἀλέξασθαι (Il. ν', 475 etc.), ἀποσοβῆσαι. (τῶν δὲ, τῶν δή.) θείνῃ (ι', 459 etc.), τύπτῃ. — ξεινοδόκος. θ', 210, ο', 55 etc. — ἐπὶ δ' αἰνεῖτον, *comprobantque*. tmesis pro ἐπαινεῖτον. „Knight supprime ces 2 vers (64. et 65.). Il pense que les mots ξενοδόκος μὲν ἐγὼν, ayant été mis en marge, seront devenus l'occasion de l'interpolation. Il ajoute que certainement le poète n' aurait pas donné l'épithète de πεπνυμένος au violent Antinoüs. Ces raisons ne sont pas suffisantes. La première est purement gratuite; *la seconde suppose aux épithètes homériques une importance que peut-être elles n' ont pas.* (vere hoc dixit vir doctissimus. alioqui Hom. non ἰφθίμην appellasset Antiphatae, Laestrygonum regis, filiam, et ipsum, monstrum hominis, κλυτὸν, κ', 106, 114, procos ἀγαυοὺς, ἀγήνορας, ἀντιθέους ξ', 18 etc. cf. ann. ad Il. α', 4.) D'ailleurs, pour justifier cette épithète, on peut dire avec Eusthate que Télémaque l'adresse ici aux 2 chefs des prétendants pour se concilier leur bienveillance." *Montbel.*

67—71. „ζώσατο μὲν ῥάκεσιν. videtur Ulysses pannis se accinxisse, quod cingulo careret; Euryalus certe, pugnorum certamen initurus, cingulo utitur Iliad. ψ', 683. Dionysius Hal. Antiqu. Rom. lib. 7.: ὁ δὲ πρῶτος ἐπιχειρήσας ἀποδυθῆναι τὸ σῶμα, καὶ γυμνὸς Ὀλυμπιάσι δραμὼν, ἐπὶ τῆς πεντεκαιδεκάτης Ὀλυμπιάδος (ann. ante Chr. nat. 720—716.), Ἄκανθος ὁ Λακεδαιμόνιος ἦν. τὰ δὲ πρὸ τούτων δι' αἰσχύνης εἶχον ἅπαντες Ἕλληνες ὅλα γυμνὰ φαίνειν ἐν ταῖς ἀγωνίαις τὰ σώματα, ὡς Ὅμηρος τεκμηριοῖ, μαρτύρων ἀξιοπιστότερός τε καὶ ἀρχαιότατος ὢν, ζωννυμένους τοὺς ἥρωας ποιῶν. τὴν γοῦν Αἴαντος κ. Ὀδυσσέως πάλην ἐπὶ τῇ Πατρόκλου ταφῇ γινομένην, ἀφηγούμενος, φησί (Il. ψ', 710): τὼ δὲ ζωσαμένω βήτην (sic) ἐς μέσσον ἀγῶνα. καὶ ἔτι σαφέστερον ἐν Ὀδυσσείᾳ τοῦτο ποιεῖ φανερὸν ἐπὶ τῆς Ἴρου κ. Ὀδυσσέως πυγμῆς ἐν τοῖσδε τοῖς ἔπεσιν· — αὐτὰρ Ὀδ. ζώσατο —. τὸν δὲ πτωχὸν οὐκέτι βουλόμενον μάχεσθαι, ἀλλ' ἀποδειλιῶντα, εἰσάγων τάδε εἴρηκεν· — ἀλλὰ καὶ ὣς μνηστῆρες ἄγον, ζώσαντες ἀνάγκῃ, Δειδιότα. τοῦτο δὴ τὸ ἔθος ἀρχαῖον ἐν τοῖς Ἕλλησιν ὂν οἱ φυλάττοντες μέχρι τοῦδε Ῥωμαῖοι δῆλοί εἰσιν οὐ προσμαθόντες παρ' ἡμῶν ὕστερον, ἀλλ' οὐδὲ μεταθέμενοι σὺν χρόνῳ, καθάπερ ἡμεῖς." *E Cl.* Feith. 4, 6, 6., iisdem laudatis locis Homeri et Dionysii, e Thucydide 1, 6. narrat, Lacedaemonios primum corpora nudasse, cum antea athletae subligacula haberent circum verenda; barbarosque nonnullos, inprimis Asianos, adhuc cin-

καλούς τε, μεγάλους τε, φάνεν δέ οἱ εὐρέες ὦμοι,
στήθεά τε, στιβαροί τε βραχίονες· αὐτὰρ Ἀθήνη
ἄγχι παρισταμένη μέλε' ἤλδανε ποιμένι λαῶν.
μνηστῆρες δ' ἄρα πάντες ὑπερφιάλως ἀγάσαντο·
ὧδε δέ τις εἴπεσκεν, ἰδὼν ἐς πλησίον ἄλλον·
„Ἦ τάχα Ἶρος ἄϊρος ἐπίσπαστον κακὸν ἕξει,
οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει!“
Ὣς ἄρ' ἔφαν· Ἴρῳ δὲ κακῶς ὠρίνετο θυμός.
ἀλλὰ καὶ ὣς δρηστῆρες ἄγον, ζώσαντες ἀνάγκῃ,
δειδιότα· σάρκες δὲ περιτρομέοντο μέλεσσιν.
Ἀντίνοος δ' ἐνένιπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·

quem dure increpat Antinous.

„Νῦν μὲν μήτ' εἴης, βουγάϊε, μήτε γένοιο,
εἰ δὴ τοῦτόν γε τρομέεις καὶ δείδιας αἰνῶς,
ἄνδρα γέροντα, δύῃ ἀρημένον, ἥ μιν ἱκάνει.
ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
* αἴ κέν σ' οὗτος νικήσῃ, κρείσσων τε γένηται,
πέμψω σ' ἤπειρόνδε, βαλὼν ἐν νηῒ μελαίνῃ,
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,

ctos concertare, more Romanorum. cf. Stöberi Animadv. in Feith. p. 75. — φάνεν, ἐφάνησαν. Am. 2: μέλε' ἤλδανε. ψιλῶς, ἀπὸ τοῦ ἀλδαίνω. καὶ Αἰολεῖς ἄλματα καλοῦσι τοὺς κλάδους, οἷον ἀλδήματα κ. αὐξήματα. Il. ψ', 599.: ληΐου ἀλδήσκοντος. ibi Sch.: αὐξομένου. Aeschylus Theb. 11.: τὸν ἔξηβον χρόνῳ, Βλάστημον ἀλδαίνοντα σώματος πολύν. cf. Schn. v. ἀλδαίνω. „Porphyr. Quaest. Hom. 10.: μέλε' ἤλδανε. ἤτοι εὐτραφῆ καὶ λιπαρὰ ἐποίει, εὐρύνουσα τὰ μέλη.“ *Cl.* — ἀγάσαντο, *admirati sunt*. α', 389 etc.

73—78. Ἶρος ἄϊρος. hoc E intelligit Ἶρον κακόϊρον, quemadmodum κακοΐλιον οὐκ ὀνομαστὴν dixit τ', 260, et Sophocles Phil. 807. ὕπνον ἄϋπνον. ἢ καὶ ἄλλως ἄϊρος, inquit, ὁ μηκέτι ἐσόμενος Ἶρος, ἀλλὰ τεθνηξόμενος. imo Ἶρος ἄϊρος est Ἶρος ὁ μὴ ὢν Ἶρος, *Irus non Irus*, ut Berglerus reddidit, h. e. *nullus* seu *perditus*, quemadmodum Comici latini *nullos* dicunt infelices et velut mortuos. sic Aeschylus Pers. 634. dixit νᾶες ἄναες, ubi Schol.: αἱ μηκέτι νῆες· ἀπώλοντο γάρ. minus ἐμφατικῶς Cl.: *Irus, miser Irus*, Voss.: *Iros, der arme Iros.* Montbel.: „*Irus anéanti.* Il n'est pas possible de traduire en français le mot Ἄϊρος, c'est-à-dire le privatif joint à un nom propre.“ — Am. B.: ἐπίσπαστον (ω', 462). αὐθαίρετον, ὃ αὐτὸς ἑαυτῷ ἐπεσπάσατο. — ἐπιγουνίδα. ρ', 225. — δρηστῆρες. v. ann. ad κ', 349. — ἐνένιπεν A. 4. et Ald. 3. vulgo: ἐνένιπτεν. v. π', 417. et cf. inferius 326.

79—81. νῦν — γένοιο. Cl.: *nunc quidem neque sis, jactator, neque natus fueris.* Voss.: *dass du vernichtet doch wärst, grosspralender, und ungeboren!* synonyma, certe synonymis similia, sunt verba εἴης et γένοιο, qualia cumulare solent irati. de voce βουγάϊε v. Il. ν', 824. — ἥ μιν ἱκάνει, *quae accedit ad illum*, quae illum corripit. β', 41.: μάλιστα δ' ἔμ' ἄλγος ἱκάνει. cf. ε', 289, Il. α', 29 etc.

82. β', 187.

83. numeri tardiores in re alacri. E: αἴ κέν σε οὗτος. ponamus hoc: αἴ κε σὲ οὗτος, σὲ, *te*, juvenem et robustum; vel, quod malim: αἴ κε σὲ νικήσῃ οὗτος, κρ. τε γ. vulgarem ordinem verborum sectati esse videntur librarii. pronomine ὀρθοτονουμένῳ σὲ ipsa sententia erigitur.

84—87. ἤπειρόνδε, *in continentem*, ut δώδεκ' ἐν ἠπείρῳ ἀγέλαι ξ', 100. Epirum dici putant interpp., quos Montbelius castigans dubitare se ait, an Homeri aevo nomen Epiri tributum fuerit isti tractui terrae continentis, qui e regione Ithacae et insularum circumjacentium situs est. cf. ann. ad η', 8. — *Echetum* alii Epiri, alii Siciliae, regem fuisse tradunt. Sch.: Ἔχετος βασιλεὺς

ὅς κ' ἀπὸ ῥῖνα τάμησι καὶ οὔατα νηλέϊ χαλκῷ,
μήδεά τ' ἐξερύσας δώῃ κυσὶν ὠμὰ δάσασθαι."

ἦν τῆς Ἠπείρου, Εὐχήνορος παῖς, ὠμὸς κ. ἀπότομος, ὅς καὶ τὴν θυγατέρα Μετώπην ἢ Ἄμφισσαν, ὑπὸ Αἰχμοδίκου (sic E quoque, non Αἰχμοδίκου, ut Am. Q.) φθαρεῖσαν, πηρώσας ἠνάγκαζε σιδηρᾶς ἀλεῖν κριθὰς, λέγων τότε ἀποδώσειν τὰς ὄψεις, ὅτε ἀλέσει τὰς κριθάς· τὸν δὲ Αἰχμόδικον ἐπὶ ἑστίασιν καλέσας ἠκρωτηρίασε, καὶ τὰ αἰδοῖα αὐτοῦ ἀπέκοψεν. ὕστερον μέντοι μανεὶς, κ. τῶν ἰδίων ἐμφορηθεὶς σαρκῶν, ἀπέσβη. Am. Q.: Ἔχετος ἦν μὲν υἱὸς Βουχέτου, ἀφ' οὗ καὶ ἐν Σικελίᾳ πόλις Βούχετος καλεῖται. (malim Βούχετα, ut apud Etym. et Demosthenem, vel quisquis ille est, qui scripsit orationem de Haloneso. assentior enim Buttmanno, Epir urbem Βούχετα seu Βουχέτιον, quae m vocatur Βουχαίτιον ap. Strabonem 7, ., p. 119. ed. Tauchn., vol. 2., intelligendam esse existimanti. saepe α et ος confusa.) Σικελῶν δὲ τύραννος λέγεται. (fieri potest, ut ita existimaverint propter υ', 381—383.) τοῦτον τοὺς μὲν ἐγχωρίους κατὰ πάντα τρόπον σίνεσθαι, τοὺς δὲ ξένους ἀναιρεῖν λωβώμενον. τοσαύτην δὲ κακίαν ἔχειν, ὡς καὶ τοὺς μακρὰν οἰκοῦντας, ὅτε θέλοιεν σφόδρα τινὰ τιμωρῆσαι, κ. ξένῳ περιβαλεῖν θανάτῳ, ἐκπέμπειν αὐτῷ· πολλὰς γὰρ μηχανὰς ἐξευρεῖν τοῦτον αἰκίας. ὅθεν τὸν λαὸν οὐχ ὑπομένειν τὴν πικρὰν ταύτην τυραννίδα, λίθοις δὲ αὐτὸν ἀνελεῖν. ἡ ἱστορία παρὰ Μνασέᾳ κ. Μαρσύᾳ. (horum scriptorum notior altero est Mnaseas, qui aevo sequiore edidit libros de Europa et Asia, Periplum, alia; de quo Valcken. Animadv. ad Ammon. 3, 1, pag. 168, item ad Schol. Phoen. 652, Heyn. Obss. ad Apollod. p. 262. etc. Marsyae scriptores duo memorantur, quorum junior Macedonum historias scripsit. v. Voss. de Histor. gr. p. 43., Plin. H. N. 37, 2. sub finem, Schol. Eurip. Hipp. 666 etc. leguntur haec etiam apud Pseudodidymum; non item sequentia, quae nescio quis alius subjecit verbis Scholiastae Am. Q.) — Οὗτος Ἠπείρου βασιλεὺς, Εὐχήνορος κ. Φληγυίας (E: Φλογέας) υἱὸς, ὅς τὴν θυγατέρα Μετώπην ἢ Ἄμφισσαν, ὑπὸ Αἰχμοδόκου (sic) φθαρεῖσαν, πηρώσας ἠνάγκασεν ἀλεῖν κριθὰς σιδηρᾶς, τότε φήσας ἀποδώσειν αὐτῇ τὰς ὄψεις, ὅταν ἀλήσῃ τὰς κριθάς. τὸν δὲ Αἰχμοδόκον ὡς ἐπὶ ἑστίαν καλέσας ἠκρωτηρίασε, καὶ εἰς ὠμότητα τραπεὶς μισθὸν ἐλάμβανεν ὑπὲρ τοῦ ἀκρωτηριάζειν τοὺς ἐπὶ τούτῳ πεμπομένους αὐτῷ ξένους. ὕστερον μέντοι μανεὶς ἐνεφορήθη τῶν ἰδίων σαρκῶν. τινὲς δέ φασιν, ὅτι ἐπ' αὐτοῦ Ὁμήρου (aequalis Homero) ἦν ὁ Ἔχετος· ἐπειδὴ δὲ ἐπλημμέλησεν εἰς αὐτὸν, ἐμνήσθη αὐτοῦ ὡσανεὶ παλαιοῦ τινος ἀδίκου. E, postquam hanc famam sive fabulam et ipse retulit: ὃ καὶ ἐπὶ Θερσίτῃ ποιῆσαι λέγεται, inquit, κακῶς ἐπιτροπεύσαντι τῶν αὐτοῦ. ὥνπερ ἀνάπαλιν πεποίηκεν ἐπὶ Τυχίου, κ. Φημίου, κ. Μέντου, κ. Μέντορος· αὐτῶν γὰρ εὖ πεποιηκότων αὐτὸν ἐπ' ἀγαθοῖς μέμνηται, εἰς παλαιότητα χρόνου ἡρωϊκοῦ ἀνάγων αὐτούς. v. ann. ad α', 154. idem de appellatione *regis* (βασιλῆα), cum tyrannus fuerit Echetus: ὅρα δὲ καὶ, ὅτι τὸν Ἔχετον δέον τύραννον εἰπεῖν, ὁ δὲ βασιλέα εἶπεν. ἠγνοεῖτο γὰρ ἐπὶ Ὁμήρου ἡ τύραννος λέξις, ἢ καὶ ὕστερον εὑρεθεῖσα ἐπ' ἀγαθῷ ἐλέγετο· τοῖς γὰρ ἐννόμοις βασιλεῦσι κλῆσις ἦν καὶ αὕτη, ὡς δηλοῖ πρὸς μυρίοις ἄλλοις καὶ ὁ παρὰ Σοφοκλεῖ Οἰδίπους τύραννος. ἡ μέντοι μεταγενεστέρα χρῆσις διορίσασα τοῖς ἀγαθοῖς μὲν βασιλεῦσιν ἀπεκλήρωσε τὸ πρεσβεῖον τῆς παλαιᾶς λέξεως τὸ βασιλεὺς, καθὰ καὶ μάλιστα τὸ ἄναξ, τὸ δέ γε τυραννεῖν ἀποτάξασα τοῖς μὴ κατὰ νόμον ἄρχουσιν ἀπέῤῥιψε. cf. Schn. v. τύραννος, et de Echeto B. ann. ad Herodiani Epimerismos. Arete ad Alcinoum apud Apollon. Rhod. 4, 1092.: νέον γε μὲν, οὐδ' ἀπὸ τηλοῦ, Ὑβριστὴς Ἔχετος γλήναις ἔνι χάλκεα κέντρα Πῆξε θυγατρὸς ἑῆς· στονόεντι δὲ κάρφεται οἴτῳ, Ὀρφναίῃ ἐνὶ χαλκὸν ἀλετρεύουσα καλιῇ. — E: ἐν δὲ τῷ βροτῶν δηλ. πάντων ὑπερβολικῶς πάλιν κεῖται τὸ πάντων, ὡς καὶ ἐπ' ἄλλων ἐφάνη. δηλοῖ δὲ κἀνταῦθα ἡ λέξις μόνους τοὺς περιπίπτοντας ταῖς τοῦ Ἐχέτου χερσί. (v. ν', 309, φ', 249, Il. α', 122 etc.) τὸ δὲ ῥῖνα — οὔατα τὸν ἀκρωτηριασμὸν δηλοῖ. — τὸ δὲ μήδεα ἐξ. ἐπωδύνως ἔχει μᾶλλον ἤπερ τὸ ταμεῖν αὐτά. hoc supplicio immani ipse Ulysses affici jubet Melanthium χ', 474—477.; quod idem ab Ergino missis inflixisse dicitur Hercules (Apollod. 2, 4, 11,) ipsisque diis Neptuno et Apollini minatus est Laomedon (Il. φ', 455.); nec eo postea barbari abstinuerunt, sed in sontes tamen, non innocentes. v. Xenoph. Anab. 1, 9, 13 etc. — δάσασθαι,

igitur luctantur; facileque Ulysses vincit Irum, et pedibus protractum domo ejicit, collaudantibus donisque cumulantibus eum procis.

Ὣς φάτο· τῷ δ' ἔτι μᾶλλον ὑπὸ τρόμος ἔλλαβε γυῖα.
ἐς μέσσον δ' ἄναγον· τὼ δ' ἄμφω χεῖρας ἀνέσχον.
δὴ τότε μερμήριξε πολύτλας δῖος Ὀδυσσεύς,
ἢ ἐλάσει', ὥς μιν ψυχὴ λίποι αὖθι πεσόντα,
ἦέ μιν ἦκ' ἐλάσειε, τανύσσειέν τ' ἐπὶ γαίῃ.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
ἦκ' ἐλάσαι, ἵνα μή μιν ἐπιφρασσαίατ' Ἀχαιοί.
δὴ τότ' ἀνασχομένω ὁ μὲν ἤλασε δεξιὸν ὦμον
Ἶρος, ὁ δ' αὐχέν' ἔλασσεν ὑπ' οὔατος, ὀστέα δ' εἴσω
ἔθλασεν. αὐτίκα δ' ἦλθε κατὰ στόμα φοίνιον αἷμα,
κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακών, ξὺν δ' ἤλασ' ὀδόντας,
λακτίζων ποσὶ γαῖαν· ἀτὰρ μνηστῆρες ἀγαυοὶ
χεῖρας ἀνασχόμενοι γέλῳ ἔκθανον. αὐτὰρ Ὀδυσσεὺς
ἕλκε διὲκ προθύροιο, λαβὼν ποδός, ὄφρ' ἵκετ' αὐλὴν,
αἰθούσης τε θύρας, καί μιν ποτὶ ἑρκίον αὐλῆς
εἷσεν ἀνακλίνας, σκῆπτρον δέ οἱ ἔμβαλε χειρὶ,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
„Ἐνταυθοῖ νῦν ἧσο, σύας τε, κύνας τ', ἀπερύκων,

dividenda, dilanianda. χ', 476, γ', 66 etc.

88—107. ὑπὸ — γυῖα. Il. γ', 34, ε', 862 etc. — Am. 2.: ἄναγον. Ἴωνες τὸ ἄγειν ἀνάγειν λέγουσιν· οἵ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ' ἀνάγουσιν (Il. θ', 202). E: περιττὴ ἡ πρόθεσις. Ἰώνων δὲ, φασὶν, ἡ λέξις, κειμένη καὶ μετ' ὀλίγα (115) ἐν τῷ τάχα γάρ μιν ἀνάξομεν ἤπειρόνδε. — ὅτι ἀνασχεῖν καὶ ἐνταῦθα χεῖρας τὸ ἀνατεῖναι· φησὶ γοῦν, τὼ — ἀνέσχον. ἦν δὲ τὸ αὐτὸ καὶ παθητικῶς εἰπεῖν ἀνέσχοντο, ὡς δηλοῖ τὸ δὴ τότ' ἀνασχόμενοι (sic), μετ' ὀλίγα ῥηθέν. τὼ ἄμφω, non ἄμφω χεῖρας, ut Barn.: *hi autem ambas manus elevaverunt* pro *ambo*. „Il. ψ', 686.: ἄντα δ' ἀνασχομένω χερσὶ στιβαρῇσιν ἅμ' ἄμφω Ξύν ῥ' ἔπεσον. Virg. Aen. 5, 426.: *constitit in digitos extemplo arrectus uterque, Brachiaque ad superas interritus extulit auras.*" E Cl. — δὴ τότε — γαίῃ. cf. similia ρ', 235—237. — ἦκα, *leniter*. ρ', 254, Il. γ', 155 etc. — ὧδε — εἶναι. ε', 474 etc. — ἐπιφρασσαίατ', *agnoscerent*. E.: τεκμηράμενοι δηλαδὴ τὸν ἄνδρα ἐκ τῆς οὕτω βριαρᾶς ἐλάσεως. — Sch.: ἀνασχομένω. ἀνατείναντες. scil. τὰς χεῖρας, ut 89, 100. nominat. consequentiae. Harl. in marg.: ἀνασχόμενοι. ἔστι δὲ ἀντὶ τοῦ ἀνασχομένων. — ἤλασε, *percussit*. — ἔθλασεν, *contudit*. Il. ε', 307, μ', 384. — Am. B: μακὼν ἐπὶ ἀνθρωπείας φωνῆς. v. κ', 163. et inprimis ann. ad Il. π', 469. — Am. 2 et Sch.: σὺν δ' ἤλασε ὀδ. συνέκρουσε. — γέλω pro γέλωτος. „Suidas ad voces ἐν χρῷ κεκαρμένος: ὁ χρὼς, τοῦ χρῶ, Ἀττικῶς, ὡς γέλως γέλω." *Cl.*, qui dubitat, an ponendum sit γέλῳ a γέλος. sed ea forma inusitata est Homero, legiturque γέλω, non γέλον, in melioribus libris υ', 346. hic quidem γέλω vel pro genitivo causae habendum est, vel γέλω ἔκθανον intelligendum ἔθανον ἐκ γέλω, h. e. ἔθ. γέλωτι. E: μνηστῆρες χεῖρας ἀνασχόμενοι, κατὰ σχῆμα ἐκπλήξεως σύνηθες (v. Ernest. Clav. Cic. v. *manus tollere.*), γέλω ἔκθανον, οἷα λειποθυμήσαντες ἐκ τοῦ γελᾶν, ὃ καὶ μέχρι νῦν παροιμιακῶς ἐπὶ μεγάλου κ. ἀθρόου γέλωτος ἐκράτησε λέγεσθαι. B.: „Phrynichus Appar. p. 100.: Ἀπολέσθαι γελῶντα. Ὅμηρος, γέλω ἔκθανον. οἱ Κωμικοὶ, ἀποκναισθῆναι τῷ γέλωτι." — ἕλκε. scil. αὐτόν. v. 107. — προθύροιο — αὐλῆς. de aedibus Homericis v. Il. ζ', 242, Odyss. α', 356 etc. — E: σκῆπτρον (ν', 437) — χειρί. ῥόπαλον (ρ', 195) δή τι, ὡς εἰκὸς, κ. ἔφη σκώπτων, ἐνταυθοῖ — ἀπερύκων, ὡς οἷα δηλαδὴ πυλωρὸς, ἀνταποδιδοὺς τοῦτο σκῶμμα τῷ Ἴρῳ ἀνθ' οὗπερ ἐκεῖνος τὸν Ὀδυσσέα γρηῒ καμινοῖ (27) ὡμοίωσε. — Am. Q.: εἰ-

μηδὲ σύγε ξείνων καὶ πτωχῶν κοίρανος εἶναι,
λυγρὸς ἐών, μή πού τι κακὸν καὶ μεῖζον ἐπαύρῃ!"
Ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἀεικέα βάλλετο πήρην,
πυκνὰ ῥωγαλέην, ἐν δὲ στρόφος ἦεν ἀορτήρ,
ἂψ δ' ὅγ' ἐπ' οὐδὸν ἰὼν κατ' ἄρ' ἕζετο. τοὶ δ' ἴσαν εἴσω
ἡδὺ γελώοντες, καὶ δεικανόωντ' ἐπέεσσι·
„Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
ὅττι μάλιστ' ἐθέλεις, καί τοι φίλον ἔπλετο θυμῷ,
ὃς τοῦτον τὸν ἄναλτον ἀλητεύειν ἀπέπαυσας!"
[ἐν δήμῳ· τάχα γάρ μιν ἀνάξομεν ἤπειρόνδε
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων.]
Ὣς ἄρ' ἔφαν· χαῖρεν δὲ κλεηδόνι δῖος Ὀδυσσεύς.
Ἀντίνοος δ' ἄρα οἱ μεγάλην παρὰ γαστέρα θῆκεν,
ἐμπλείην κνίσσης τε, καὶ αἵματος· Ἀμφίνομος δὲ
ἄρτους ἐκ κανέοιο δύω παρέθηκεν ἀείρας,
καὶ δέπαϊ χρυσέῳ δειδίσκετο, φώνησέν τε·
„Χαῖρε, πάτερ ὦ ξεῖνε! γένοιτό τοι ἔς περ ὀπίσσω
ὄλβος· ἀτὰρ μὲν νῦν γε κακοῖς ἔχεαι πολέεσσι."

Amphinomo, fausta precanti, Ulysses gravi et benevola oratione respondet.

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„Ἀμφίνομ', ἦ μάλα μοι δοκέεις πεπνυμένος εἶναι
(τοίου γὰρ καὶ πατρός, ἐπεὶ κλέος ἐσθλὸν ἄκουον,
Νῖσον Δουλιχιῆα ἐΰν τ' ἔμεν, ἀφνειόν τε,
τοῦ σ' ἔκ φασι γενέσθαι, ἐπητῇ δ' ἀνδρὶ ἔοικας)·
τοὔνεκά τοι ἐρέω· σὺ δὲ σύνθεο, καί μευ ἄκουσον.
οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.

ναι. ἀντὶ τοῦ ἔσο. — *λυγρὸς*, *miser*, ignavus. — *ἐπαύρῃ*, *ἐπιψαύσῃ*. Il. λ', 391, 573 etc. intelligendum pronomen *σὲ*, ellipsi frequente. v. γ', 249.

108, 109. ϱ', 197, 198.

111—114. *δεικανόωντ' ἐπέεσσι.* h. e. *ἐδεξιοῦντο λόγοις*. cf. ω', 410, ubi Am. Q.: *προσεκύνουν*. Il. ο', 85.: *οἱ δὲ ἰδόντες Πάντες ἀνήϊξαν, καὶ δεικανόωντο δέπασσιν.* dicit autem deos, ad quos Juno pervenerat. — *ἐθέλεις* — *θυμῷ*. synonyma copulata *ἐμφατικῶς*. cf. ν', 145, Il. ξ', 337 etc. — *ἄναλτον*, *insatiabilem*. 363, ϱ', 228.

115, 6. versus merito damnati a Knightio, de quibus Schol. Harl.: *οὗτοι οἱ β' ἐκ τῶν ἄνωθεν* (84, 85) *μετήχθησαν.*

117. υ', 120. E: *χαῖρεν* — *Ὀδ. φήμην δηλαδὴ τὸν λόγον δεξάμενος, ὅ ἐστι μαντείαν τινά.* (cf. δ', 317.) — *Ἀντίνοος ὁ βαρὺς λαλεῖ μὲν οὐδὲν, ἱλαρώτερον δὲ ὅμως καὶ αὐτὸς διατεθεὶς μεγάλην* — *αἵματος*, *ὡς οἱά τις ἀγωνοθέτης ἀποκαθιστῶν τῇ νικητῇ Ὀδυσσεῖ τὸ ἔπαθλον.*

121—130. *δειδίσκετο*, *ἐδεξιοῦτο.* υ', 197, γ', 41. — *πάτερ ὦ ξεῖνε.* ϑ', 408, υ', 199. — *τοίου* — *πατρὸς εἶς.* ellipsis frequens: v. κ', 463 etc. — *κλέος πατρὸς τοῦ σοῦ.* — *Νῖσον.* 412, π', 395. — *ἐῦν*, *bonum*, nobilem. — Sch.: *ἐπητῇ* (ν', 332). *δεινῷ εἰπεῖν, ἢ λογίῳ, παρὰ τὰ ἔπη.* — *τοὔνεκα* — *ἄκουσον.* cf. ο', 317, π', 259 etc. — *ἀκιδνότερον*, *levius*, pravius. v. ann. ad ε', 217., ubi forte negatio excidit ante verba *est obscura.* de horum sensu v. annotata ad verba *τοῖος* — *θεῶν* 135. et 36. Voss.: *nichts ist doch so eitel und unbeständig auf erden Als der mensch.* malim: *Nichts Gebrechlicheres wie den Menschen nähret die Erde.* Shakspeareus: *Frailty, thy name is woman!* poterat et dicere, Homero auctore: *Frailty, thy name is man.*

[πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε, καὶ ἕρπει.]
οὐ μὲν γάρ ποτέ φησι κακὸν πείσεσθαι ὀπίσσω,
ὄφρ' ἀρετὴν παρέχωσι θεοὶ, καὶ γούνατ' ὀρώρῃ·
ἀλλ' ὅτε δὴ καὶ λυγρὰ θεοὶ μάκαρες τελέσωσι,
καὶ τὰ φέρει ἀεκαζόμενος τετληότι θυμῷ.
τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε, θεῶν τε.
καὶ γὰρ ἐγώ ποτ' ἔμελλον ἐν ἀνδράσιν ὄλβιος εἶναι,
πολλὰ δ' ἀτάσθαλ' ἔρεξα, βίῃ καὶ κάρτεϊ εἴκων,
πατρί τ' ἐμῷ πίσυνος καὶ ἐμοῖσι κασιγνήτοισι.
τῷ μήτις ποτὲ πάμπαν ἀνὴρ ἀθεμίστιος εἴη,
ἀλλ' ὅγε σιγῇ δῶρα θεῶν ἔχοι, ὅττι διδοῖεν.

131. versus omissus in A. 2. et apud Plut. l. de Consolat. ad Apollon., t. 6. p. 396. ed. Reisk., quem, Clarkeo pridem suspectum, jure delevit Knightius, utpote manifesto transscriptum ex ϱ', 447.

133—137. E: *ἀρετὴν τὴν εὐδαιμονίαν λέγει κ. εὐθηνίαν τοῦ βίου* etc. v. ann. ad ϑ', 329. — *ὀρώρῃ, κινῆται, ἰσχύῃ.* Il. ι', 610, κ', 90 etc. — *λυγρὰ, κακὰ,* miserias. — *καὶ τὰ, καὶ ταῦτα.* respondet hoc *καὶ* posito in superioribus *ἀλλ' ὅτε δὴ καὶ λυγρὰ ϑ. μακ. τελ.* sin etiam mala infligunt dii, etiam haec quidem perfert homo fortiter, sed invitus. — *ἀεκαζόμενος, ἀέκων.* ν', 277 etc. — Am. 2: *τοῖος — θεῶν τε. οἱ μὲν φιλόσοφοι* (?) *ἐκδέχονται, ὅτι οἷον ἂν ᾗ τὸ κατάστημα τοῦ ἀέρος, τοιαύτην καὶ τὴν ἡμέραν διατελοῦσιν οἱ ἄνθρωποι· ὁ δὲ π. λέγει, ὁποῖα ἂν ᾖ τὰ προσπίπτοντα, τούτοις ἐξομοιούμεθα. ποῖον γὰρ ἐπαγάγει* (scrib. *ὁποῖον γ. ἐπαγάγῃ*) *ἦμαρ ὁ Ζεὺς τοῖς ἀνθρώποις, τοιοῦτός ἐστιν ὁ νοῦς αὐτῶν, ἐν μὲν ταῖς εὐτυχίαις ἐπαιρόμενος, ἐν δὲ ταῖς δυστυχίαις ταπεινούμενος πρὸς τὰς ἐφ' ἡμέρα τύχας.* eam inconstantiam hominum Ulysses castigat, jubetque illos pari esse animo in rebus laetis tristibusque, nec pendere ex eventis. *eventum* enim significat vox *ἦμαρ*, periphrasi usitatissima poëtae. qua de re vide, si tanti est, Clarkeo laudatum Mericum Casaubonum dissert. 2. de nupera ed. Homeri, sub finem, et cf. α', 9, ξ', 342 etc. ceterum hujusmodi sententiis scatent scripta veterum. „Archilochus Pyrrhone, lib. 9, 71.: *τοῖος ἀνθρώποισι νοῦς, ὦ Γλαῦκε, παῖ Λεπτίνεω, Γίνεται θνητοῖς, ὁκοίην Ζεὺς ἐφ' ἡμέρην ἄγει,* quod ex Homero versum dicas. Atossa ap. Aeschylum Pers. 567.: *φίλοι, κακῶν μὲν ὅστις ἔμπειρος κυρεῖ, Ἐπίσταται βροτοῖσιν ὡς ὅταν κλύδων Κακῶν ἐπέλθῃ, πάντα δειμαίνειν φιλεῖ, Ὅταν δ' ὁ δαίμων εὐροῇ, πεποιθέναι Τὸν αὐτὸν αἰεὶ δαίμον' οὐριεῖν τύχης.* Terent. Hec. 3, 3, 20.: *omnibus nobis ut res dant sese, ita magni atque humiles sumus.* Virg. Georg. 1, 420.: *vertuntur species animorum, et pectora motus Nunc alios, alios, dum nubila ventus agebat, Concipiunt.*" E Cl. contra Flaccus, secundum Aristippum, Epist. 1, 1, 19.: *mihi res, non me rebus, subjungere conor;* et Od. 2, 10, 13.: *sperat infestis, metuit secundis, Alteram sortem bene praeparatum Pectus.* hoc illud est, quod reputare Ulysses jubet Amphinomum.

138—152. Am. Q.: *ἔμελλον. ἐῴκειν, ἐδόκουν.* v. de hac significatione verbi *μέλλειν* ann. ad α', 232, ubi scribendum est Il. α', 564, Schäfer. Mel. crit. p. 131. etc. — *πολλὰ | δ' ἀτάσθαλ' | ἔρεξα |* —. numeri pravi in re prava dicenda; nec ponendum *ἀτάσθαλα ῥέξα,* exclusis amphibrachis, quos alias fugiunt poëtae. v. ο', 241 etc. — *βίῃ — εἴκων, viribus fretus.* ν', 143. *πατρὶ — κασ.* h. e. generi meo nobili. concise loquitur, cogitandam relinquens Amphinomo apodosin hanc: *neque illa me quidquam juverunt intemperantem, sed ad mendicitatem redactus sum.* „haud dissimiliter Eurip. Hecub. 267.: *οὐ τοὺς κρατοῦντας χρὴ κρατεῖν ἃ μὴ χρεὼν, Οὐδ' εὐτυχοῦντας εὖ δοκεῖν πράξειν ἀεί· Κἀγὼ γὰρ ἦν ποτ', ἀλλὰ νῦν οὐκ εἴμ' ἔτι, Τὸν πάντα δ' ὄλβον ἦμαρ ἕν μ' ἀφείλετο.*" *Cl.* — *πάμπαν, omnino,* prorsus. β', 49 etc. — Am. B.: *σιγῇ. ἡσυχῇ, ἐγκρατῶς, μήτε ἐπαιρόμενος, μήτε ἄγαν ὀδυρόμενος. δῶρα δὲ θεῶν* (Il. γ', 65, hymn. in Apoll. 190. cf. α', 390 etc.) *ἁπλῶς τὰ διδόμενα ὁποῖα τύχῃ ὄντα.*

οἷ' ὁρόω μνηστῆρας ἀτάσθαλα μηχανόωντας,
κτήματα κείροντας, καὶ ἀτιμάζοντας ἄκοιτιν
ἀνδρός, ὃν οὐκέτι φημὶ φίλων καὶ πατρίδος αἴης
δηρὸν ἀπέσσεσθαι, μάλα δὲ σχεδόν. ἀλλά σε δαίμων
οἴκαδ' ὑπεξαγάγοι, μηδ' ἀντιάσειας ἐκείνῳ,
ὁππότε νοστήσειε φίλην ἐς πατρίδα γαῖαν·
οὐ γὰρ ἀναιμωτί γε διακρινέεσθαι ὀΐω
μνηστῆρας καὶ κεῖνον, ἐπεί κε μέλαθρον ὑπέλθῃ."
Ὣς φάτο, καὶ σπείσας ἔπιεν μελιηδέα οἶνον,
ἂψ δ' ἐν χερσὶν ἔθηκε δέπας κοσμήτορι λαῶν.
* αὐτὰρ ὁ βῆ διὰ δῶμα, φίλον τετιημένος ἦτορ,
νευστάζων κεφαλῇ· δὴ γὰρ κακὸν ὄσσετο θυμός.
ἀλλ' οὐδ' ὣς φύγε κῆρα, πέδησε δὲ καὶ τὸν Ἀθήνη,
* Τηλεμάχου ὑπὸ χερσὶ καὶ ἔγχεϊ ἶφι δαμῆναι.
* ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου, ἔνθεν ἀνέστη.

procedere statuit Penelope ad procos, cum animos eorum expertura, tum admonitura filium.

Τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη,
κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ,
μνηστήρεσσι φανῆναι, ὅπως πετάσειε μάλιστα
θυμὸν μνηστήρων, ἰδὲ τιμήεσσα γένοιτο
* μᾶλλον πρὸς πόσιός τε, καὶ υἱέος, ἢ πάρος ἦεν.

— οἷα, οἵως, *quemadmodum.* v. α', 410. — activum μηχανόωντας observari jubet E, cum passivo alias poëta utatur. — κείροντας, *atterentes.* α', 378 etc. — ἀναιμωτὶ, *sine cruore.* Il. ρ', 363 etc. — διακριν., *diremtum iri.* υ', 180, Il. β', 387 etc. — ὑπέλθῃ, *subierit.* E: τὸ δὲ ὑπέλθοι (vulgata olim scriptura; sed A. 2.: ὑπέλθῃ. Ald. 3.: ἐπέλθῃ.) μέλ. ἀντὶ τοῦ εἰσέλθοι κεῖται etc. sane hic non significatur clandestinus adventus, sed adventus simpliciter, Ulyssis, ut etiam Clarkeo visum est, non item Stephano et Barnesio, sed male. — κοσμήτορι λαῶν. Il. α', 16 etc.

153. post hunc versum inserendus esse videtur 157., vel delendus; sed illud malim, quoniam dicendum fuit, cur domum transiisset Amphinomus (cf. ο', 328 — 334), scil. repetitum sellam, e qua surrexerat, poculum porrigens Ulyssi. cf. ρ', 602. — φίλον τ. ἦτορ. α', 114 etc.

154, 5. νευστάζων κεφ., *nutans capite*, seu propenso capite, oculisque solo fixis, qui est gestus perculsorum, acriterque secum de re aliqua deliberantium. cf. 234—241. aliud nimirum est ὀφρύσι νευστάζειν μ', 194., neque huc pertinet τὸ κινεῖν κάρη, *caput quassare*, ρ', 465 etc. — πέδησε, *praepedivit*, retinuit. cf. Il. ν', 435 etc.

156. ἔγχεϊ ἶφι. ponamus confidenter ἐγχείηφι. v. ann. ad Il. φ', 208.

158—160. ἐπὶ φρεσὶ θῆκε. ε', 427 etc. — πετάσειε, *diffunderet* seu laxaret contractum animum procorum, eosque foveret spe nuptiarum. nostrates id vulgo dicunt, simili tropo, *einem das Herz gross machen.* male Sch.: ἐκπλήξειε. melius Am. B.: ἀναστήσει (ά—ειε) πρὸς ἐπιθυμίαν. codd. A. 2. et 4. in margine: γρ. θέλξειε, quae est interpretatio verbi rarioris isto sensu. Voss.: *dass ganz (?) sie erweitert' in sehnsucht Jeglichem freier das herz.*

162. πρὸς πόσιος. quid? a marito se magis honorari cupit, quem adesse nescit, et qui undeviginti annos abfuit? ferrem πόσιός, si hoc vel quiddam simile adjectum esset εἴ ποθ' ἵκοιτο: nunc haud fero, sed latere aliquid arbitror. inepte enim Am. 2: μᾶλλον πρὸς πόσιος. ἵν' ἐκπλαγεὶς τῷ κάλλει αὐτῆς Ὀδ. μᾶλλον κατὰ τῶν μνηστήρων ἐπιῤῥωσθείη. non pulcritudo Penelopae, qua pulcritudine conspecta fortius dimicet Ulysses, sed agitur ejus astutia, qua dona procorum elicienda sunt. quod si successerit, magno id honori sibi futurum sperat. et apud quos? nempe apud

ἀχρεῖον δ' ἐγέλασσεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·

colloquium ejus cum Eurynome, quae illam lavari atque ungi jubet, antequam se in conspectum det procis.

„Εὐρυνόμη, θυμός μοι ἐέλδεται, οὔτι πάρος γε,
μνηστήρεσσι φανῆναι, ἀπεχθομένοισί περ ἔμπης·
παιδὶ δέ κεν εἴποιμι ἔπος, τό κε κέρδιον εἴη,
μὴ πάντα μνηστῆρσιν ὑπερφιάλοισιν ὁμιλεῖν,
οἵτ' εὖ μὲν βάζουσι, κακῶς δ' ὄπιθεν φρονέουσι."
Τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη πρὸς μῦθον ἔειπε·
„ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες.
ἀλλ' ἴθι, καὶ σῷ παιδὶ ἔπος φάο, μηδ' ἐπίκευθε,
χρῶτ' ἀπονιψαμένη, καὶ ἐπιχρίσασα παρειάς,
μηδ' οὕτω δακρύοισι πεφυρμένη ἀμφὶ πρόσωπα
ἔρχευ, ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί.
ἤδη μὲν γάρ τοι παῖς τηλίκος, ὃν σὺ μάλιστα
ἠρῶ ἀθανάτοισι, γενειήσαντα, ἰδέσθαι."
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
„Εὐρυνόμη, μὴ ταῦτα παραύδα, κηδομένη περ,
χρῶτ' ἀπονίπτεσθαι, καὶ ἐπιχρίεσθαι ἀλοιφῇ·
ἀγλαΐην γὰρ ἔμοιγε θεοί, τοὶ Ὄλυμπον ἔχουσιν,
ὤλεσαν, ἐξ οὗ κεῖνος ἔβη κοίλῃς ἐνὶ νηυσίν.

praesentes. et cognitos, et eos, quorum rationem habet mulier prudentissima, populum et filium. igitur scribendum esse ajo *πρὸς πόλιος*, h. e. *πρὸς πολιτῶν, apud cives.* magnae sunt partes populi apud antiquos, nec obscura ejus jam isto tempore auctoritas. Nestor γ', 214.: *εἰπέ μοι, ἠὲ ἑκὼν ὑποδάμνασαι, ἦ σέ γε λαοὶ Ἐχθαίρουσ' ἀνὰ δῆμον;* cf. ann. ad α', 387, β', 6—8, ϑ', 5. Ithacensibus et filio adulto, cui cura domus paternae jam commissa est, placere consilium suum cupit regina, non Ulyssi, quem incertum erat an viveret et in patriam rediturus esset. *πόλιν* passim dici populum, seu remp., nemo ignorat; λ autem et σ litteras confundi, minus pervulgatum est, vereorque, ne Criticus male feriatus de industria mutaverit genuinam scripturam, cum maritum potius quam populum simul cum filio commemorandum esse sibi persuaderet.

163—168. Am. 2.: *ἀχρεῖον* (Il. β', 269. cf. Odyss. ϑ', 578.). *ἄκαιρον, μηδενὸς προκειμένου, ἀχρειῶδες, οὐδὲ πρὸς χρείαν ἁρμοζόμενον.* Sch.: *οἷον οὐκ ἐκ σπουδῆς.* bene Voss.: *und sie erzwang ein lächeln.* — *ἐέλδεται, cupit.* α', 409, ε', 210 etc. — *οὔτι πάρος γε ἐέλδετο.* sententia subjecta ἀσυνδέτως, tanquam adverbium *tandem, nunc demum.* — *κέρδιον, κέρδος, κερδαλέον.* β', 74 etc. — *πάντα, πάντως.* δ', 654 etc. — Am. Q.: *βάζουσι* (δ', 32 etc.). *εἰς κενὸν λαλοῦσι.* — Sch.: *φρονέουσι. βουλεύονται, ἐννοοῦσι.* — *βάζουσι — φρονέουσι.* v. ann. ad Il. β', 87.

169—176. *τὴν — ἔειπε.* 9, 258 etc. — Am. B.: *ἐπιχρ. παρειάς. ἐλαίῳ λιτῷ, ἢ σκευαστῷ.* cf. ζ, 215—220, Il. γ', 392, Feith. 3, 9. etc. — *ἀμφὶ πρόσωπα, ἐν προσώποις.* v. Matth. §. 583. et, monstrante illo, Il. λ', 706. — *ἐπεὶ — αἰεί.* τ', 120. proverbium. *ἄκριτον, infinite.* — *ὃν — ἰδέσθαι.* ordo: *ὃν* (*quem*, qualem) *σὺ μάλ. ἠρῶ ἀθ. ἰδ.*, (*ἤγουν*) *γενειήσαντα.* gaudere anus jubet Penelopen adulto filio, qui domum gubernare, ipsamque tutari possit.

178—184. Am. Q.: *παραύδα* (λ', 487). *ἔξω τοῦ δέοντος λέγε ἄκρυπτα.* mendose codex: — *λέγει, ἢ κρύπτει.* ceterum est, cum *παραυδᾶν* nihil aliud significat quam *προσαυδᾶν* (ο', 53, π', 279), vel *παραφάναι* (Il. α', 577); qua notione et hic accipi potest. — *κηδομένη περ, quamvis sollicita* de me, et benevola. — Harl. et Sch.: *ἀλοιφῇ, ἐλαίῳ unguento.* ζ', 220, φ', 179. — *ἀγλαΐην, pulcritudinem.* τ', 82, Il. ζ', 510 etc. — *κεῖνος* dicit *ἐμφατικῶς*, *ille* celeber, vel *ille* carus, quem semper cogito. E emend.: *τὸ κεῖνος ἔβη*

ἀλλά μοι Αὐτονόην τε καὶ Ἱπποδάμειαν ἄνωχθι
ἐλθέμεν, ὄφρα κέ μοι παρστήετον ἐν μεγάροισιν.
οἴη δ' οὐκ εἴσειμι μετ' ἀνέρας· αἰδέομαι γάρ."
Ὣς ἄρ' ἔφη· γρηῢς δὲ διὲκ μεγάροιο βεβήκει,
ἀγγελέουσα γυναιξὶ, καὶ ὀτρυνέουσα νέεσθαι.

obdormit Penelope, et per somnum donis divinis donatur a Minerva.

Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
κούρῃ Ἰκαρίοιο κατὰ γλυκὺν ὕπνον ἔχευεν.
εὗδε δ' ἀνακλινθεῖσα, λύθεν δέ οἱ ἅψεα πάντα
αὐτοῦ ἐνὶ κλιντῆρι· τέως δ' ἄρα δῖα θεάων
ἄμβροτα δῶρα δίδου, ἵνα μιν θησαίατ' Ἀχαιοί.
κάλλεϊ μέν οἱ πρῶτα προσώπατα καλὰ κάθηρεν
ἀμβροσίῳ, οἵῳ περ ἐϋστέφανος Κυθέρεια
χρίεται, εὖτ' ἂν ἴῃ Χαρίτων χορὸν ἱμερόεντα·
καί μιν μακροτέρην καὶ πάσσονα θῆκεν ἰδέσθαι,
λευκοτέρην δ' ἄρα μιν θῆκε πριστοῦ ἐλέφαντος.
ἡ μὲν ἄρ' ὣς ἔρξασ' ἀπεβήσατο, δῖα θεάων.
Ἦλθον δ' ἀμφίπολοι λευκώλενοι ἐκ μεγάροιο,
φθόγγῳ ἐπερχόμεναι· τὴν δὲ γλυκὺς ὕπνος ἀνῆκε,
καί ῥ' ἀπομόρξατο χερσὶ παρειάς, φώνησέν τε·

experrecta et fortunas questa suas, descendit in concilium virorum.

„Ἦ με μάλ' αἰνοπαθῆ μαλακὸν περὶ κῶμα κάλυψεν!

κατ' ἐξοχὴν εἶπεν ἡ γυνή· ὄνομα γὰρ Ὀδυσσέως οὐ πρόσκειται. cf. Il. γ', 391, ξ', 250. Elmira apud Götheum: „*Er ist* nicht weit!" — *παρστήετον, παραστῆτον, adstent*, ab latere meo sint, me comitatae. — Harl.: *οὐ κεῖσ' εἶμι. τὸ πλῆρες, ἐκεῖσε (κεῖσε) εἶμι. τινὲς δὲ, εἴσειμι. ἄμεινον δὲ τὸ πρῶτον.* (?) — *μετ' ἀνέρας, ad viros.* π', 151. „Après ce vers, le manuscrit de Vienne 133. (A. 1.) en ajoute un autre qui n'est admis par aucun éditeur; en l'adoptant il faut lire ainsi: *αἰδέομαι γὰρ Μισγεσθαι μνηστῆρσιν ὑπερφιάλοισιν ἀνάγκῃ.* C'est-à-dire: „Car j'ai honte de me mêler par nécessité à l'assemblée des audacieux prétendants." Ce vers est visiblement une glose de quelque scholiaste qui aura voulu donner un régime au verbe *αἰδέομαι*, et qui peut-être se sera rappelé ce passage du 24. chant de l'Iliade (90): *αἰδέομαι δὲ Μίσγεσθ' ἀθανάτοισι.* Ce qu'il y a de certain, c'est que ce verbe n'a pas toujours besoin de régime (Il. ρ', 94—5); mais ces exemples sont rares dans Homère." *Monthel.*

187. δ', 795 etc.

188. *κατὰ — ἔχευεν.* β', 395. cf. Il. ξ', 253.

189. δ', 794.

190 — 196. E: *ὁ κλιντὴρ θρόνου εἶδος καὶ αὐτὸς, περὶ ὃν ἔστιν ἀνακλινθῆναι.* — Am. Q.: *κάλλεϊ. μυθικῶς, θείῳ τινὶ χρίσματι.* cf. Il. γ', 392 et ann. ad Il. ξ', 170. — *πρῶτα, πρῶτον, πρώτως.* α', 284 etc. — *προσώπατα* A. 4. et MS. Thom. Bentleji, Steph., W, B, ut *προσώπασι*, Il. η', 212. formam insolentem mirati ceteri librarii scripserunt *πρόσωπά τε.* — *καί μιν — ἐλέφαντος.* cf. loca similia, quae sunt ζ', 229 — 237, θ', 18 — 22, supra 67, 68 etc. de *ebore* v. θ', 404.

198 — 205. *λευκώλενοι.* ζ', 239. pulcrae et bene vestitae describuntur juniores heroum famulae. cf. ζ', 198, Il. ζ', 372 etc. — Am. B.: *φθόγγῳ ἐπερχ. σὺν φθόγγῳ, οὐ σιωπῇ, βαδίζουσαι πρὸς αὐτήν.* Il. γ', 2.: *Τρῶες μὲν κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν* etc. — *ἀνῆκε, remisit*, reliquit. η', 289 etc. — Ap., h. l. c.: *αἰνοπαθῆ. δεινοπαθῆ. aerumnosam.* — dedi *κῶμα κάλυψεν* pro *κῶμ' ἐκάλυψεν*, quo versus

αἴθε μοι ὣς μαλακὸν θάνατον πόροι Ἄρτεμις ἁγνὴ
αὐτίκα νῦν, ἵνα μηκέτ' ὀδυρομένη κατὰ θυμὸν
αἰῶνα φθινύθω, πόσιος ποθέουσα φίλοιο
παντοίην ἀρετὴν, ἐπεὶ ἔξοχος ἦεν Ἀχαιῶν!"
  Ὣς φαμένη κατέβαιν' ὑπερώϊα σιγαλόεντα,
οὐκ οἴη, ἅμα τῇγε καὶ ἀμφίπολοι δύ' ἕποντο.
ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη.
τῶν δ' αὐτοῦ λύτο γούνατ', ἔρῳ δ' ἄρα θυμὸν ἔθελχθεν,
πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι.
ἡ δ' αὖ Τηλέμαχον προσεφώνεεν, ὃν φίλον υἱόν·

seorsim objurgat filium de injuria hospitis.

  „Τηλέμαχ', οὐκέτι τοι φρένες ἔμπεδοι, οὐδὲ νόημα!
παῖς ἔτ' ἐὼν καὶ μᾶλλον ἐνὶ φρεσὶ κέρδε' ἐνώμας·
νῦν δ', ὅτε δὴ μέγας ἐσσὶ, καὶ ἥβης μέτρον ἱκάνεις,
καί κέν τις φαίη γόνον ἔμμεναι ὀλβίου ἀνδρὸς,
ἐς μέγεθος καὶ κάλλος ὁρώμενος, ἀλλότριος φὼς,
οὐκέτι τοι φρένες εἰσὶν ἐναίσιμοι, οὐδὲ νόημα,
* οἷον δὴ τόδε ἔργον ἐνὶ μεγάροισιν ἐτύχθη,
* ὃς τὸν ξεῖνον ἔασας ἀεικισθήμεναι οὕτως.

asperatur, in re leni. etiam Il. ξ', 359. malim nunc: ἐπεὶ αὐτῷ ἐγὼ μαλακὸν περὶ κῶμα κάλυψα, quae vulgata olim scriptura fuit, mutata illa a nonnullis, ut videtur, propter homoeoteleuton, minime ingratum. v. 206, 210, 228, 230 etc. — αἴθε — νῦν. significatur mors subita et sine dolore. v. γ', 279, ε', 125—135, Il. ω', 758 etc. — Sch.: φθινύθω. (α', 250 etc.) φθείρω. — ἔξοχος, *praestantissimus*. Il. β', 480 etc.

206. ὑπερώϊα σιγ. π', 449, τ', 600, ζ', 26 etc.

207—211. α', 331—335.

212. τῶν — γούνατ', ut eorum, qui nec corpore, nec animo, satis compotes sunt, quales etiam moribundi describuntur. cf. 189, 238 etc. — ἔθελχθεν. α', 57, κ', 326 etc.

213. α', 366. scriptor carminis de Nibelungis, 1197.: *do gedahte manich reche: „Hei, wär mir sam geschehen, Das ich ir gieng an hende, als ich in han gesehen, Oder bi ze ligene! das lies ich ane has.*"

215—220. φρένες ἔμπεδοι, *mens sana*. κ', 493 etc. — καὶ μᾶλλον, *vel magis* quam nunc. — κέρδε' ἐνώμας, ut ν', 255.: αἰεὶ ἐνὶ στήθεσσι νόον πολυκερδέα νωμῶν. cf. υ', 257. Am. B.: κέρδεα νῦν τὰ βουλεύματα. Sch.: κέρδεα. συνέσεις. ἐνώμας. ἐκίνεις, ἀντὶ τοῦ ἐνενόεις. — ἥβης μέτρον ἱκ. λ', 316. E: ὅτι δέ ποτε ἀλλότριός τις φὼς εἰς μέγεθός τινος κ. κάλλος ὁρώμενος, ἤτοι ὁρῶν, ὀλβίσοι ἂν τὸν βλεπόμενον, ἐδήλωσέ που (δ', 62—64) καὶ Μενέλαος, οὕτω χαρακτηρίσας καὶ αὐτὸς ἐκεῖ Πεισίστρατον κ. Τηλέμαχον, γένος εἶναι διοτρεφέων βασιλήων· ἐπεὶ, φησὶν, οὐκ ἂν κακοὶ τοιούσδε τέκοιεν etc. — φρένες ἐ. ἐναίσιμοι. Il. ω', 40.

221, 222 versus turbato ordine perscripti: apparet enim, posteriorem priore loco ponendum esse, siquidem ὃς pertinet ad τοὶ, οἷον autem, h. e. ὡς, ad οὕτως. igitur sic scribamus: — νόημα, Ὃς — οὕτως, Οἷον — ἐτύχθη. οὕτω vulgati libri; sed A. 1. et E: οὕτως, quo correctio nostra confirmatur. miror, ejusmodi menda diu relicta esse in codicibus. sic Il. ξ', 294.: ὥς μιν ἔρος πυκινὰς φρένας ἀμφεκάλυψεν, Οἷον ὅτε πρῶτόν περ ἐμισγέσθην φιλότητι. Il. ι', 40.: οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν Ἀπτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις; cf. Odyss. δ', 148, 485 etc.

πῶς νῦν, εἴ τι ξεῖνος ἐν ἡμετέροισι δόμοισιν
ἥμενος ὧδε πάθοι ῥυστακτύος ἐξ ἀλεγεινῆς,
σοί κ' αἶσχος λώβη τε μετ' ἀνθρώποισι πέλοιτο!"

cui placate respondens Telemachus procos detestatur, et Iri poenam illis optat.

Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„μῆτερ ἐμή, τὸ μὲν οὔ σε νεμεσσῶμαι κεχολῶσθαι·
[αὐτὰρ ἐγὼ θυμῷ νοέω καὶ οἶδα ἕκαστα,
ἐσθλά τε, καὶ τὰ χέρεια, πάρος δ' ἔτι νήπιος ἦα.]
ἀλλά τοι οὐ δύναμαι πεπνυμένα πάντα νοῆσαι·
ἐκ γάρ με πλήσσουσι, παρήμενοι ἄλλοθεν ἄλλος,
οἵδε κακὰ φρονέοντες, ἐμοὶ δ' οὐκ εἰσὶν ἀρωγοί.
οὐ μέντοι ξείνου γε καὶ Ἴρου μῶλος ἐτύχθη
μνηστήρων ἰότητι· βίῃ δ' ὅγε φέρτερος ἦεν.
αἲ γὰρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
οὕτω νῦν μνηστῆρες ἐν ἡμετέροισι δόμοισι
νεύοιεν κεφαλὰς, δεδμημένοι, οἱ μὲν ἐν αὐλῇ,

223—25. ita B. perperam alii: *πῶς νῦν*; quod E tuens: *τὸ δὲ πῶς νῦν*; inquit, *πάνυ ἐλλιπῶς καὶ οὕτω γοργῶς ἠρώτηται· οὐ γὰρ ἀφῆκεν* (permisit) *ὁ θυμὸς ἐντελῆ γενέσθαι τὴν πεῦσιν. λέγει δὲ, πῶς νῦν τὸ πρᾶγμα γέγονεν; ἢ, πῶς οὐκ ἐπεξῆλθες, κ. ἐκώλυσας; ἢ ἄλλοτι ὅμοιον.* paulo melius Ald. 3.: *πᾶς νῦν·* sed ordo hic est: *πῶς νῦν σοί κ' αἶσχος* (h. e. *ποῖον νῦν σοί κ. α.*) — *πέλοιτο, εἴ τι — ἀλεγεινῆς*, *quale nunc dedecus tuum et opprobrium fuerit inter homines, si* etc. Am. Q: *τὸ ἑξῆς· πῶς εἰς τὸ μετέπειτά σοι αἶσχος λώβη τε πέλοιτο, ἐάν τι ὁ* (alienus est articulus, suspicorque, *τι ὁ* primitus fuisse *τισ*, quod habent multi codd.) *ξεῖνος πάθῃ ῥυστ. ἐξ ἀλ. τὸ γὰρ νῦν μέλλοντός ἐστι χρόνου, τὸ δὲ πῶς θαυμαστικὸν μετὰ ἤθους. ῥυστακτύος* (π', 109.). *ἑλκυσμοῦ, αἰκισμοῦ. κήδεται δὲ αὐτοῦ, παρ' Εὐμαίου μαθοῦσα, ὑπάρχειν αὐτὸν Ὀδυσσέως ἑταῖρον.*

227. *τὸ μὲν, τοῦτο μέν.* — *νεμεσσ.* δ', 195 etc. — *κεχολ.* η', 310 etc.

228, 9. versus haud dubie transscripti, paucis mutatis, commissurae causa, ex υ', 309. et 310.: neque enim ejusdem est quaevis intelligere et non intelligere. atqui Harl. ad 229.: *ἠθέτει καὶ Ἀρίσταρχος.* igitur et alii fuere, qui fraudem sentirent. cave autem putes, eos nonnisi 229. damnasse. *ἀσύστατα* sunt verba *νοέω ἕκαστα* et *οὐ δύναμαι — νοῆσαι*, quod cujusvis erat perspicere. dura nec probabilis est Knightii ratio, versus 229—232 delentis. ceterum *χέρεια* hic, ut υ', 310, MSS. A. 2. et 3., et Thomae Bentleji, item Ald. 3., W, B. vulgo: *χέρηα.* v. ann. ad Il. δ', 400, Matth. §. 136., Schn. v. *χερείων.*

230—234. *ἀλλά τοι — νοῆσαι.* Voss: *aber ich kann unmöglich mit klugheit alles bedenken.* — *ἐκ γάρ με — ἄλλος.* perterreri se dicit a procis assidentibus, nec posse omnia dispicere et gubernare solum. E: *οὐ δύνασθαί φησι πεπν. π. νοῆσαι, διότι ἐκπλήσσουσί με ἄλλ. ἄλλος· ὅπερ ἐκ μεταφορᾶς λέγει τῶν ἐπίτηδες διά τινος πληγῆς κ. κρότου συγχεόντων τινά· οἳ καὶ οὕτω κατακρατηθέντες ἔμπληκτοι λέγονται, κ. ἔκπληκτοι· εἰ δὲ καὶ ὑπὸ βροντῆς αὐτὸ πάθοιεν, καὶ ἐμβρόντητοι καλοῦνται. ἀπὸ δὲ τοῦ ἐκπλήσσειν καὶ ἐκκρούεσθαί τις ἔργον λέγεται* etc. — Am. 2: *οὐ μέντοι ξείνου. οὐ κατὰ τὴν βούλησιν τῶν μνηστήρων, οὐδὲ ὡς ἐπεθύμουν αὐτοὶ, ἀπέβη τὰ τῆς μάχης· ὁ γὰρ Ὀδ. κρείσσων ἐγένετο, ἐκείνων βουλομένων τὸν Ἶρον νικῆσαι.* — Am. B.: *μῶλος.* (Il. σ', 188. *μῶλον ἄρηος* dixit eodem carmine, β', 401. et alias.) *νῦν πυγμή.* — *ὅγε, hic quidem,* Ulysses.

235. δ', 341 etc.

237—246. E: *νεύειν δὲ κεφαλὰς ταυτόν ἐστι τῷ νευστάζειν* (240), *ὁποῖόν τι καὶ ἐπὶ Ἀμφινόμου τὸ νευστάζων κεφαλῇ* (154). *τὸ δὲ δεδμημένοι ἐπίτηδες κεῖται, ἵνα*

οἱ δ' ἔντοσθε δόμοιο, λελῦτο δὲ γυῖα ἑκάστου,
ὡς νῦν Ἶρος ἐκεῖνος ἐπ' αὐλείῃσι θύρῃσιν
ἧσται νευστάζων κεφαλῇ, μεθύοντι ἐοικὼς,
οὐδ' ὀρθὸς στῆναι δύναται ποσὶν, οὐδὲ νέεσθαι
οἴκαδ', ὅπῃ οἱ νόστος, ἐπεὶ φίλα γυῖα λέλυνται."

procorum primus Eurymachus honorifice appellat reginam.

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
Εὐρύμαχος δ' ἐπέεσσι προσηύδα Πηνελόπειαν·
„Κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
εἰ πάντες σε ἴδοιεν ἀν' Ἴασον Ἄργος Ἀχαιοὶ,
* πλέονές κε μνηστῆρες ἐν ὑμετέροισι δόμοισιν
ἠῶθεν δαινῦατ', ἐπεὶ περίεσσι γυναικῶν
εἶδός τε, μέγεθός τε, ἰδὲ φρένας ἔνδον ἐΐσας."

δηλοῖ ὄλεθρον τὸ *νεύοιεν κεφ.*· ἄλλως γὰρ νεύει τις κεφαλῇ καὶ προκαλούμενός τινα, ἢ κατανεύων ἐν τῷ ἐρωτηθῆναι. — τὸ δὲ *λέλυτο* (sic) *δὲ γυῖα ἑκάστου* ταυτόν ἐστι τῷ λυθεῖεν, ὁριστικὸν μὲν ὂν, τεθὲν δὲ ἀντὶ εὐκτικοῦ· ἴσως δὲ καὶ ἀπὸ τοῦ λελύοιτο συγκέκοπται. (hoc vere dixit; sed scribendum erat λελῦτο, ut scriptum est in A. 4. et marg. codicis A. 1., siquidem λέλυτο mediam corriperet. quod intellexit Cl. A. 2. et Alterus: λέλυντο pro λελῦντο, λελύοιντο, quod bene habet. v. 242, μ', 204, Il. μ', 159 etc. quod autem quaerat quispiam, cur ita dixerit poëta, cum posset: οἱ δ' ἔντοσθε δόμου, λελύοιτο δὲ γυῖα ἑκάστου, respondeo, eum metro fracto atque enervi (– – – ⏑ | ⏑ – ⏑ | ⏑ – ⏑ | ⏑ – ⏑ | ⏑ – –) rem velut depinxisse. adeo verum est, etiam recta et pulcra perdere gratiam, si sunt inepta. de sensu horum verborum v. ann. ad 212.) — τὸ δὲ *ὅπῃ οἱ νόστος* ἑρμηνεία ἐστὶ τοῦ *νέεσθαι οἴκαδε*· *νόστος* γὰρ ἡ εἰς οἶκον ὑποστροφή. similiter Ap.: νόστος, ἡ εἰς οἶκον ἀνακομιδή. sed prima notione vox haec nihil aliud indicasse videtur quam *itionem*, et νοστεῖν, *ire*, a νέειν: quae significatio ne post quidem obsolevit. Favorinus: νοστῆσαι ἐπὶ τοῦ οἴκαδε ἐπανελθεῖν εἴρηται· κεῖται δὲ παρ' Ὁμήρῳ καὶ ἀντὶ τοῦ ἁπλῶς ἐλθεῖν. v. Soph. Phil. 43, Rhes. 403. cum ann. Musgravei, Aristoph. Ach. 29 etc. — Am. 2 emend.: *Ἴασον Ἄργος*. τὴν Πελοπόννησον, ἀπὸ Ἰάσου, τῆς Ἰοῦς πατρός. (perperam libri: — τῆς Ἰοῦς. πρὸς τὴν etc. fefellit compendium πρς, quod πρὸς legerunt Scholiastae illi, qui Eustathium quoque in suam sententiam traxerunt.) τὴν δὲ καὶ *Ἀχαϊκὸν* (sic, more recentiorum, de quo ad Eurip. El. 1208. E ad γ', 251.: ὅτι *Ἀχαιϊκὸν* μὲν οἱ παλαιοὶ γράφουσιν, *Ἀχαϊκὸν* δὲ οἱ μεθ' Ὅμηρον.) *Ἄργος* φησὶ, *Πελασγικὸν* δὲ Ἄργος τὴν Θεσσαλίαν. v. Il. β', 681, ι', 141 etc. *Ἴασον*, Ἰάσιον, ut *Romula gens* pro *Romulea* etc. Apollodorus 2, 1, 3.: Ἄργου δὲ καὶ Ἰσμήνης, τῆς Ἀσωποῦ, παῖς Ἴασος, οὗ φασιν Ἰὼ γενέσθαι. cf. Hederich. et Crusius *mythol. Lex.* h. v.

247. MSS. adhuc excussi et edd. vett.: πλέονές κεν μνηστῆρες. Stephanianae et E: πλείονές κεν μν. omnes κὲν, non κὲ, quod W et B ponendum censuerunt propter duplicem consonam, quae sequitur. verum sic magis etiam oblitterata esse mihi videtur scriptura vetus haec πλείονεσαν, quam proclive fuit mutari in πλείονέσκεν propter σ et κ, itemque α et ε, litterarum similitudinem in plerisque libris. v. ann. ad β', 68, Il. λ', 368 etc. aut quid causae fuisse dicamus, cur Hom. rhythmum horridum atque inusitatum usurpare mallet quam facilem et apertum, idque in oratione exquisita, qua benevolentiam reginae pulcherrimae captat procus? contracta quidem πλείους et πλεῦνες, quae jactant Barn. et Cl., a poëtae consuetudine abhorrent.

248, 9. Am. B.: *περίεσσι γυν.* ἡ *περὶ* ἀντὶ τοῦ περισσότερον, ἤτοι ὑπερέχεις τῶν γυναικῶν. v. ann. ad α', 66. — Am. 2: *φρένας ἔνδον ἐΐσας*. ἀκλινεῖς. ἀπὸ τῶν ζυγῶν (a jugo librae) ἡ μεταφορά. ἢ ὁμοίας τῷ

Penelopae responsio callida.

Τὸν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
„Εὐρύμαχ', ἤτοι ἐμὴν ἀρετὴν, εἶδός τε, δέμας τε,
ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον
Ἀργεῖοι, μετὰ τοῖσι δ' ἐμὸς πόσις ᾖεν Ὀδυσσεύς.
εἰ κεῖνός γ' ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτω.
νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων.
ἦ μὲν δὴ ὅτε τ' ᾔε λιπὼν κάτα πατρίδα γαῖαν,
δεξιτερὴν ἐπὶ καρπῷ ἑλὼν ἐμὲ χεῖρα προσηύδα·
„ „Ὦ γύναι, οὐ γὰρ ὀΐω ἐϋκνήμιδας Ἀχαιοὺς
ἐκ Τροίης εὖ πάντας ἀπήμονας ἀπονέεσθαι·
καὶ γὰρ Τρῶάς φασι μαχητὰς ἔμμεναι ἄνδρας,
ἠμὲν ἀκοντιστὰς, ἠδὲ ῥυτῆρας ὀϊστῶν,
ἵππων τ' ὠκυπόδων ἐπιβήτορας, οἵ κε τάχιστα

κάλλει. (?) Ap.: — *φρένας ἐ. ἐΐσας.* *εὐκράτους, ἀγαθάς.*

251—258. *ἀρετὴν*, *praestantiam*, dotes. v. δ', 629, Il. ο', 641 etc. modeste de venustate tantum profitetur, sibi non defuisse, cum prudentiam quoque ejus collaudasset Eurymachus. cf. E., et de toto loco τ', 124—129. — *ὅτε* — *Ὀδ.* β', 172, 3. Sch.: *ᾖεν.* (h. e. *ἤϊεν.* v. δ', 427 etc.) *ἀπήει, ἐπορεύετο.* Harl.: *σὺν τῷ ι Ἀρίσταρχος κ. Ἀριστοφάνης, ἀντὶ τοῦ ἦεν.* — Am. B.: *ἀμφιπολεύοι. περιπέσοι, περὶ τὸν ἐμὸν βίον πολοῖτο κ. ἀναστρέφοιτο.* Sch.: *διέποι, θεραπεύοι.* Ap., h. l. c.: *ἀμφιπολεύεις. διέπεις.* quod scribendum est, opinor, *ἀμ — ειν, διέπειν.* sic dii circumire dicuntur locum, quem tuentur: v. ann. ad Il. α', 37. Voss.: *wenn der wiedergekehrt mir schuz darböte des lebens.* malim, magis proprie: *so er, wiedergekehrt, durchwandelte mit mir das Leben.* — *ἐπέσσευεν*, *immisit*, inflixit. — *ἦ μὲν δὴ* etc. fingit haec mulier astuta. — *ἐπὶ καρπῷ*, *in carpo.* manum apprehendendi modus familiarior apud Graecos. Il. σ', 593.: *ἔνθα μὲν ἠΐθεοι καὶ παρθένοι ἀλφεσίβοιαι Ὠρχεῦντ', ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες.* cf. Il. ω', 671. Voss: *fasst' er die rechte hand am knöchel mir.* idem tamen *Krit. Bl.* 1. p. 323.: „*καρπὸς*, wie schon Stefanus anführt, bedeutet manchmal auch die Hand vom Gelenk an, uud zwar *die flache Hand*, samt der Höhlung (*θέναρ*). Hesychius erklärt *πλατεῖαι* durch *καρποὶ τῶν χειρῶν.* Und bei Euripides, Ion 1009 (927), sagt einer: *ἐπὶ καρπῷ γ' αὐτὸ 'γὼ* (imo: *τῷ*) *χερὸς φέρω.*" igitur *καρπὸν* et *carpum* proprie dictum intelligere licet, et *volam*, de qua Serv. ad Virg. Georg. 2, 88.: *vola medietas palmae et pedis.* equidem *volam* dici arbitror, qua prehendere solemus manum. Am. B.: *ἐμὲ χεῖρα. ἀντὶ τοῦ ἐμοῦ χεῖρα. ἢ ἐμὲ προσηύδα.* hoc recte.

260—270. *ἀπήμονας*, *incolumes.* κ', 551 etc. — *ἀκοντιστὰς*, *jaculatores.* Il. π', 328. *ἀκοντιστὺν* dixit Il. ψ', 622. — E: *ῥυτῆρας ὀϊστῶν.* *ἤγουν ὀϊστευτάς.* φ', 173.: *οἷόν τε ῥυτῆρα βιοῦ τ' ἔμεναι, καὶ ὀϊστῶν.* proprie *ῥυτῆρα βιοῦ* seu *τόξου* dicunt. Aristoph. Thesm. 108.: *χρυσέων ῥύτορα τόξων Φοῖβον.* — *ἵππων ὠ. ἐπιβήτορας.* hymn. in Dioscuros 5.: *χαίρετε, Τυνδαρίδαι, ταχέων ἐπιβήτορες ἵππων.* cf. carm. ad Cumaeos 4, ψ', 245 etc. alio sensu *συῶν ἐπιβήτορα* dixit λ', 130.; sed nostra memoria exstitit quidam artifex in Britannia, qui suibus tanquam equis inveheretur. — Am. 2: *οἵ κε — πολέμοιο.* *οἵτινες ἐπιβάται τῶν ἵππων διαχωρίζουσι τὴν φιλονεικίαν τοῦ πολέμου, τέμνοντες συντόμως τὴν μάχην.* plurimum valere dicit equitum impressiones ad occupandam victoriam; nihil amplius, neque hic agitur praestantia per se equitatus. E tamen: *διδάσκει δὲ χάριν πολυπειρίας*, inquit, *καὶ ἀρίστους ἐν ταῖς πολεμικαῖς εἶναι τάξεσι τοὺς ἱππέας. διὸ καὶ παρ' Ἀθηναίοις τὴν πρώτην* (?) *εἶχον μοῖραν αὐτοὶ, ὡς δηλοῖ καὶ ὁ Κωμικός.*

ἔκριναν μέγα νεῖκος ὁμοιΐου πολέμοιο.
τῷ οὐκ οἶδ', εἴ κεν μ' ἀνέσει θεὸς, ἦ κεν ἁλώω
αὐτοῦ ἐνὶ Τροίῃ· σοὶ δ' ἐνθάδε πάντα μελόντων.
μεμνῆσθαι πατρὸς καὶ μητέρος ἐν μεγάροισιν,
ὡς νῦν, ἢ ἔτι μᾶλλον, ἐμεῦ ἀπονόσφιν ἐόντος.
αὐτὰρ ἐπὴν δὴ παῖδα γενειήσαντα ἴδηαι,
γήμασθ', ᾧ κ' ἐθέλησθα, τεὸν κατὰ δῶμα λιποῦσα."
„Κεῖνος τὼς ἀγόρευε, τὰ δὴ νῦν πάντα τελεῖται·
νὺξ δ' ἔσται, ὅτε δὴ στυγερὸς γάμος ἀντιβολήσει
οὐλομένης ἐμέθεν, τῆστε Ζεὺς ὄλβον ἀπηύρα.
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει.
μνηστήρων οὐχ ἥδε δίκη τὸ πάροιθε τέτυκτο·
οἵτ' ἀγαθήν τε γυναῖκα καὶ ἀφνειοῖο θύγατρα
μνηστεύειν ἐθέλωσι, καὶ ἀλλήλοις ἐρίσωσιν,
αὐτοὶ τοίγ' ἀπάγουσι βόας καὶ ἴφια μῆλα
κούρης δαῖτα φίλοισι, καὶ ἀγλαὰ δῶρα διδοῦσιν,
ἀλλ' οὐκ ἀλλότριον βίοτον νήποινον ἔδουσιν."
Ὣς φάτο· γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεὺς,
οὕνεκα τῶν μὲν δῶρα παρέλκετο, θέλγε δὲ θυμὸν
μειλιχίοις ἐπέεσσι, νόος δέ οἱ ἄλλα μενοίνα.

dona promittit Antinous, sed nuptias urget.

Τὴν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·

(v. Schol. Aristoph. ad Equ. 225. et 578.) magis ad rem faciunt, quae addit haec: ὧν ἔπαινος νῦν τὸ τάχιστα κρίνειν, ὅ ἐστι λύειν (decernere, dirimere), τὸ τοῦ πολέμου νεῖκος. ἕτεροι μέντοι κοινὸν εἶπον τοῦτο ἀκοντισταῖς τε, καὶ τοξόταις ὁμοῦ, καὶ ἱππεῦσιν, ὡς τῶν τοιούτων τριῶν ταγμάτων τάχιστα κατορθούντων τὸ ἔργον. — ὁμοιΐου πολ. Il. ί, 440 etc. — Am. 2: εἴ κέν μ' ἀνέσει θεός. ἐκ τοῦ θανάτου ἀφήσει, ἢ ἐκ τῆς ἀλλοδαπῆς εἰς τὴν πατρίδα ἀναπέμψει κ. ἀνακομίσει. — ἁλώω, capiar. Il. λ', 405. — μελόντων. ν', 362 etc. — ἀπονόσφιν. ε', 113 etc. — Am. Q.: γενειήσαντα. ἵνα μὴ ὑπὸ πατρῴου (πατρῴας) ἐξουσίας γένηται ὁ παῖς. καὶ ἄλλως. ἐν ᾧ προτρέπει, ἐν τούτῳ ἀποτρέπει· γραῦς γὰρ τότε ἐγίνετο. — τεχνικῶς. τὸ μὲν γὰρ παντελῶς εἴργειν τὸν γάμον, ἐπαχθές· τὸ δὲ εἰς ἀνεπιτήδειον ἡλικίαν περιστῆσαι, συνετόν. δυσωπητικὸν (deterrens) δὲ καὶ τὸ τεὸν δῶμα.

271—273. τὰ — τελεῖται. v. β', 176, ε', 302, Il. β', 330 etc. — νὺξ δ' ἔσται, crit enim nox etc. Am. Q.: ἐλπίδα πᾶσαν αὐτοῖς ὑποβάλλει τοῦ γάμου, δεδοικυῖα, [ἵνα] μὴ βιασθῇ. quasi inevitabilibus nuptiis, Penelope queritur tantum de more insolito uxorem ducendi, quem proci usurpaverint. — ἀντιβολήσει, obveniet, eveniet. δ', 547, Il. δ', 342 etc. — οὐλομένης, perditae, infelicis.

274. Il. θ', 147, ο', 208 etc. τόδε, quod dictura est.

275—283. οὐχ ἥδε δίκη. ἔθος. ἀντὶ τοῦ, οὐχ οὗτος ὁ τρόπος ὑπῆρχε τῶν μνηστήρων ἐν τῷ προτέρῳ χρόνῳ. — ἀγαθὴν, bonam, nobilem. θ', 143 etc. — ἀπάγουσι, abducunt domo. — Am. Q.: κούρης. τῆς νύμφης. οὐ μόνον δὲ ἡ παρθένος, ἀλλὰ καὶ ἡ γεγαμημένη, κόρη καλεῖται. προσεῖπε δὲ Ὀρέστης Λάκαιναν κόραν (Eurip. Or. 1393.) ἐπὶ τῆς Ἑλένης. sic Proserpina nupta *Κόρη* vocatur κατ' ἐξοχήν: v. Aristoph. Thesm. 293—294 etc. — ἀγλαὰ δῶρα. δ', 589 etc. — ἀλλότριον — ἔδουσιν. α', 160 etc. de homoeoteleuto cf. ζ', 201, κ', 573. — παρέλκετο, *attrahebat*, alliciebat. — θέλγε. α', 57 etc. — μειλ. ἐπέεσσι. ζ', 143 etc. — νόος — μεν. cf. β', 92, ν', 381.

„κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
δῶρα μὲν ὅς κ' ἐθέλῃσιν Ἀχαιῶν ἐνθάδ' ἐνεῖκαι,
δέξασθ' (οὐ γὰρ καλὸν ἀνήνασθαι δόσιν ἐστίν)·
ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα πάρος γ' ἴμεν, οὔτε πῃ ἄλλῃ,
πρίν γέ σε τῷ γήμασθαι Ἀχαιῶν, ὅστις ἄριστος."

afferuntur dona procorum.

Ὣς ἔφατ' Ἀντίνοος, τοῖσιν δ' ἐπιήνδανε μῦθος·
δῶρα δ' ἄρ' οἰσέμεναι πρόεσαν κήρυκα ἕκαστος.
Ἀντινόῳ μὲν ἔνεικε μέγαν περικαλλέα πέπλον,
ποικίλον· ἐν δ' ἄρ' ἔσαν περόναι δυοκαίδεκα πᾶσαι
χρύσειαι, κληῖσιν εὐγνάμπτοις ἀραρυῖαι.
ὅρμον δ' Εὐρυμάχῳ πολυδαίδαλον αὐτίκ' ἔνεικε,
χρύσεον, ἠλέκτροισιν ἐερμένον, ἠέλιον ὥς.
ἕρματα δ' Εὐρυδάμαντι δύω θεράποντες ἔνεικαν,
τρίγληνα, μορόεντα· χάρις δ' ἀπελάμπετο πολλή.
ἐκ δ' ἄρα Πεισάνδροιο Πολυκτορίδαο ἄνακτος
ἴσθμιον ἤνεικεν θεράπων, περικαλλὲς ἄγαλμα·
ἄλλο δ' ἄρ' ἄλλος δῶρον Ἀχαιῶν καλὸν ἔνεικεν.
ἡ μὲν ἔπειτ' ἀνέβαιν' ὑπερώϊα, δῖα γυναικῶν·
τῇ δ' ἄρ' ἅμ' ἀμφίπολοι ἔφερον περικαλλέα δῶρα.

283, 289. cf. β', 127, 8.

289—300. τῷ, τούτῳ, ἐκείνῳ. — κήρυκα. unum omnes miserunt, Medonem. v. π', 252. — Am. 2: περικ. πέπλον. περιβόλαιον τὸ σκέπον τὸν ἀριστερὸν ὦμον ὄπισθεν καὶ ἔμπροσθεν, συνάγον τὰς δύο πτέρυγας εἰς τὴν δεξιὰν πλευρὰν, γυμνὴν ἐῶν τὴν δεξιὰν χεῖρα κ. τὸν ὦμον. ita explicantes haud immerito reprehendens E: εἰ δὲ τοῦθ' οὕτως ἔχει, inquit, τί δή ποτε δώδεκα περόνας ἐχρῆν ἔχειν αὐτὸν, μανδυοειδῆ ὄντα; δοκεῖ δὴ μάλιστα γυναικεῖον ἱμάτιον εἶναι ὁ πέπλος κατὰ τὰ Δωρικὰ, σχιστὸν ἐπὶ μόνα τὰ ἔμπροσθεν, καὶ διὰ τοῦτο περόνας ἐθέλον πολλάς. (Eurip. Hecub. 886.: λέχη δὲ φίλια μονόπεπλος λιποῦσα, Δωρὶς ὡς κόρη. ibi Schol.: αἱ Λακεδαιμόνιαι κόραι διημερεύουσιν ἄζωστοι κ. ἀχίτωνες, ἱματίδιον ἔχουσαι, πεπορπημένον ἐφ' ἑκατέρου τῶν ὤμων. — δυοκαίδεκα πᾶσαι, *in universum duodecim.* v. ε', 244, θ', 258, Vigeri interpp. ann. ad 3, 10, 4 etc.) κληῖδες δὲ ὀπαὶ, λεγόμεναι κατακλεῖδες (germ. *Oesen*), εἰς ἃς αἱ περόναι καθίεντο. εὔγναμπτοι δὲ αὗται, ὡς ἐπικαμπεῖς κ. περιφερεῖς. — ὅρμον. ο', 459. — ἕρματα. v. Il. ξ', 182. et 83. Am. 2 et Sch.: τρίγληνα. τρίκορα κόσμια, ἐνώτια τριόφθαλμα, τρίκοκκα. μορόεντα. τὰ μετὰ πολλοῦ μόρου κ. κακοπαθείας κατεσκευασμένα. — ἐκ — Πεισάνδροιο. intell. δόμον, ellipsi satis nota. — E: ἴσθμιον δὲ τὸ περὶ τὸν ἰσθμὸν, ὅ ἐστι τὸν τράχηλον, ὃς ἰσθμὸς λέγεται πλεονασμῷ τοῦ σ, ὡς οἷον ἰθμὸς, δι' οὗ ἵενται τὰ σιτία. ἐντεῦθεν δὲ καὶ παρίσθμια τὰ περὶ τὸν τοιοῦτον ἰσθμὸν, ὃς οὐκ ἔστιν ἐν χρήσει· ὁ γὰρ περιφερόμενος ἰσθμὸς τοπικόν ἐστιν ὄνομα, παρὰ δὲ τοῖς παλαιοῖς φέρεται, ὅτι καὶ μέρος τι σώματος περὶ τὸν τράχηλον ἴσθμιον· ὅθεν καὶ κόσμος παρίσθμιος, καὶ ποτήριον δὲ, φασὶ, Κύπριον ἐκαλεῖτο ἴσθμιον. ὅτι δὲ ἐκ τοῦ ἰέναι προϋπάρχει τοῦ ἰσθμοῦ παράγωγον ἰθμὸς δίχα τοῦ πρώτου σίγμα, δῆλον καὶ ἐκ τῆς παρὰ τῷ Ὀππιανῷ (et ipso Homero Odyss. ζ', 264) εἰσίθμης. διαφέρει δὲ ἴσθμιον ὅρμου κατὰ τοὺς παλαιοὺς, ὅτι ὁ μὲν ὅρμος κεχάλασται ἐκκρεμάμενος, τὸ δὲ ἴσθμιον, περιτραχήλιος ὂν καὶ αὐτὸ κόσμος, τῷ τραχήλῳ προσέχεται. ἄγαλμα (γ', 438 etc.) δὲ καὶ ἐνταῦθα τὸ ἀγαλλίαμα. v. Valck. ann. ad Ammon. p. 169.

ubi advesperavit, Ulysses Penelopae ancillas, quae faces accendunt, ad dominam redire jubet, seque id officii viris praestiturum esse dicit.

Οἱ δ' εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν
τρεψάμενοι τέρποντο, μένον δ' ἐπὶ ἕσπερον ἐλθεῖν·
τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθεν.
αὐτίκα λαμπτῆρας τρεῖς ἵστασαν ἐν μεγάροισιν,
ὄφρα φαείνοιεν· περὶ δὲ ξύλα κάγκανα θῆκαν,
αὖα πάλαι, περίκηλα, νέον κεκεασμένα χαλκῷ,
καὶ δαΐδας μετέμισγον· ἀμοιβηδὶς δ' ἀνέφαινον
δμωαὶ Ὀδυσσῆος ταλασίφρονος. αὐτὰρ ὁ τῇσιν
αὐτὸς διογενὴς μετέφη πολύμητις Ὀδυσσεύς·
„Δμωαὶ Ὀδυσσῆος, δὴν οἰχομένοιο ἄνακτος,
ἔρχεσθε πρὸς δώμαθ', ἵν' αἰδοίη βασίλεια,
τῇ δὲ παρ' ἠλάκατα στροφαλίζετε, τέρπετε δ' αὐτὴν,
ἥμεναι ἐν μεγάρῳ, ἢ εἴρια πείκετε χερσίν·

304—306. α', 421—423.

307—310. Sch.: *λαμπτῆρας* (342, τ', 63). *μετεώρους ἐσχάρας, ἢ τοὺς χυτρόποδας, ἐφ' ὧν ἔκαιον.* similiter Ambrosiani. Hesych.: *λαμπτήρ. ἐσχάρα, ἐφ' ἧς ἔκαιον ἐν μέσῳ τῶν οἴκων, εἰς τὸ φωτίζειν αὐτοῖς, ξηρὰ ξύλα κ. δᾳδία.* Ammon.: *λυχνοῦχον κ. λαμπτῆρά φασι τὸν νῦν φανόν· φανὸν δὲ τὴν λαμπάδα*, etc. v. ibi Valck. p. 146. et 47. E: *ἰστέον δὲ, ὅτι λαμπτῆρας λέγει, ας νῦν οἱ ἀγροτικοὶ λυχνίας* (Leuchterstühle, francogall. guéridons) *φασὶν, ἐφ' ὧν δᾷδες κείμεναι κατὰ δόρπον ἀνάπτονται, ἢ ξύλα ξηρὰ διὰ τὸ ἄκαπνον, ἢ καὶ ἄμφω ἀναμὶξ, ὡς καὶ ἐνταῦθα γίνεται παρὰ τοῖς λαμπροῖς μνηστῆρσι, κατὰ ἡρωϊκὴν καὶ τοῦτο ἀφέλειαν εἰς ὃ καὶ δμωΐδες ὑπουργοῦσι κατὰ ἔθος ἀρχαῖον. δῆλον δὲ, ὅτι ἁβρότερον οἱ ἐπιδόρπιοι λαμπτῆρες διάκεινται παρὰ Φαίαξι* (η', 100—102), *παρ' οἷς οἱ μὲν δομητοὶ βωμοὶ ἀντὶ λαμπτήρων κεχαλκευμένων εἰσὶν, ἀντὶ δὲ δμωΐδων οἱ χωνευτοὶ χρύσειοι κοῦροι, δαΐδας μετὰ χερσὶν ἔχοντες, κ. φαίνοντες, ὅπερ ἐνταῦθα φαείνειν κεῖται, ταυτὸν ὂν τῷ λάμπειν, ἐξ οὗ οἱ λαμπτῆρες. οἱ δὲ παλαιοὶ καὶ οὕτω φασί· λαμπτῆρες, ἐσχάραι μετέωροι, ἢ χυτρόποδες, ἐφ' ὧν ἔκαιον. ξύλα δὲ κάγκανα* (Il. φ', 364.) *τὰ ξηρὰ, τὰ καινόμενα* (scr. *κειόμενα*, *fissa*) *εἰς τὸ καίεσθαι. ταῦτα δὲ καὶ δανὰ ἐλέγετο, καθὰ προεδηλώθη* (ο', 321). — Am. 2: *αὖα πάλαι, περίκηλα* (ε', 240). *περισσῶς εἰς τὸ καῦσαι εὔθετα. κήλεον γὰρ τὸ καυστικόν· ἐν πυρὶ κηλέῳ* (θ', 435 etc.). *βούλεται οὖν εἰπεῖν τὰ πάνυ ξηρά. καὶ δ. κατέμισγον. κατέμισγον τοῖς ξύλοις, ἵνα ἐκ τῶν δᾴδων ἀνάπτωνται μᾶλλον. — ἀμοιβηδίς* (Il. σ', 506). *ἀνὰ μέρος ἄλλοτε ἄλλη ὑπηρετοῦσα.*

314—319. *ἵν' αἰδ'* (α', 139 etc.) *βασίλεια.* intell. *ἐστί.* — *ἠλ. στροφαλίζετε.* cf. ζ', 53, η', 106. — *πείκετε, πέκετε*, h. e. E. interprete *κτενίζετε, ἀσκεῖτε*, ut *ἤσκειν εἴρια* Il. γ', 388. *ὅρα τὸ χερσὶν*, inquit, *ὡς τοῦ στροφαλίζειν προσεχῶς ἀτράκτοις συντελουμένου.* (?) *ἢ καὶ ἑτέρως τὸ χερσὶ πρὸς διαστολὴν τοῦ ἄλλως πέκειν εἴρηται· πέκονται γὰρ ἔρια καὶ κειρομένων προβάτων ποιμενικῶς, καὶ ἐκ τοῦ τοιούτου πέκειν καὶ ὁ πόκος εἴρηται. καὶ αἶγες δὲ, ὧν εὐγενὲς τὸ ἔριον, ἐργαλείῳ τινὶ ἑτεροίῳ πέκονται.* dicit capras Asiaticas, quas vulgo Angorenses vocant, de quibus Aristot. H. A. 8, 27, Plin. H. N. 8, 50 etc. ceterum non modo lanificium agitur hisce versibus, quae videtur Eustathii sententia, sed etiam lintearum vestium fabricatio, cui pariter operam dedisse feminas tempore illo constat. eam scilicet fabricationem indicant verba *ἠλ. στοφαλίζετε*, quemadmodum vates commemoravit *ὀθόνας* η', 107, Il. γ', 141 et ibidem σ', 595, quas falli videntur qui alias quam linteas vestes intelligunt. Euripides Or. 1387. de Helena: *ἁ δὲ λίνου ἠλακάτᾳ δακτύλοις ἕλισσε* etc. Voss. *Mythol. Forschungen* p. 264.: „Homer, Hesiod und die folgenden Schriftsteller bis zu der Perserherrschaft kennen nicht andere Gewebe als von Schafwolle oder

αὐτὰρ ἐγὼ τούτοισι φάος πάντεσσι παρέξω.
ἤνπερ γάρ κ' ἐθέλωσιν ἐΰθρονον Ἠῶ μίμνειν,
οὔτι με νικήσουσι· πολυτλήμων δὲ μάλ' εἰμί."

quem ceterae derident, Melantho exagitat convicio.

Ὣς ἔφαθ'· αἱ δ' ἐγέλασσαν, ἐς ἀλλήλας δὲ ἴδοντο.
τὸν δ' αἰσχρῶς ἐνένιπε Μελανθὼ καλλιπάρῃος,
τὴν Δολίος μὲν ἔτικτε, κόμισσε δὲ Πηνελόπεια,
παῖδα δὲ ὣς ἀτίταλλε, δίδου δ' ἄρ' ἀθύρματα θυμῷ·
ἀλλ' οὐδ' ὣς ἔχε πένθος ἐνὶ φρεσὶ Πηνελοπείης,
ἀλλ' ἥγ' Εὐρυμάχῳ μισγέσκετο, καὶ φιλέεσκεν.

Lein" etc. igitur πέκειν ἔρια χερσὶ nihil aliud significat quam ἐριουργεῖν, oppositum illud τῷ λινουργεῖν, nec proprio sensu accipiendum est πείκετε, sed figurato, quo et simile verbum κείρειν usurpari solet, ut sit *tondete, carpite,* quod faciunt nentes. — εὔθρονον Ἠῶ. Il. θ', 564 etc. — νικήσουσι, *vincent* lassitudine, fatigabunt. — πολυτλήμων, πολύτλας, πολλὰ ὑπομένων. Il. η', 152.

320—325. ἐς ἀλλήλας δὲ ἴδοντο. mos irridentium (cf. υ', 373); itemque admirantium, ut Il. ω', 483.: ὡς Ἀχιλεὺς θάμβησεν, ἰδὼν Πρίαμον θεοειδέα· θάμβησαν δὲ καὶ ἄλλοι, ἐς ἀλλήλους δὲ ἴδοντο. — ἐνένιπε. sic E aliique apud Cl. et hic, et 326. A. 2.: ἐνένειπεν pro eodem. vulgo: ἐνένιπτε, ἐνένιπτεν. v. 78. — κόμισσε, *fovit,* dilexit. — ἀτίταλλε. ξ', 41 etc. — Am. 2: ἀθύρματα (ο', 415, Il. ο', 363.). — τὰ τῶν νηπίων παίγνια. — Πηνελοπείης. genit. causae. E: ἤγουν οὐκ ἐλυπεῖτο κατ' ἐκείνην. — φιλέεσκεν αὐτόν. ellipsis frequens. v. λ', 143, π', 276. — E: πεπαταγμένος φρένας ὁ ἐκπεπληγμένος καὶ ἐμβρόντητος, ὁποῖοι πολλοὶ ἀπὸ πατάγων, ὅ ἐστι κτύπων, γίνονται. cf. 230. — Sch.: χαλκήϊον. χαλκέως οἶκον. Am. Q.: εἰς ἐργαστήριον χαλκέως, ὅ φησιν Ἡσίοδος (O. et D. 491), παρὰ δ' ἴθι χάλκεον θῶκον. E: χαλκ. δὲ δόμος τὸ τῶν χαλκέων ἐργαστήριον, ἔνθα εἰσιόντες ἀκωλύτως πτωχοὶ ἐκοιμῶντο παρὰ τῷ πυρί· ὃ δὴ καὶ ἐν τοῖς βαλανείοις ἐγίνετο, καθὰ δηλοῖ καὶ ὁ Κωμικός (Equ. 1301.). — Am. 2: ἐς λέσχην. τόπον ἀθύρωτον δημόσιον, ἔνθα συνιόντες λόγοις κ. διηγήμασιν ἀλλήλους ἔτερπον. ὠνόμασται δὲ παρὰ τὸ λέχος, ἐπεὶ ἐκεῖ ἐκοιμῶντο οἱ πτωχοὶ παρὰ τὸ πῦρ. Sch.: λέσχην. δημόσιον οἴκημα, οἷον λέχην, παρὰ τὸ ἐν αὐτῷ τοὺς μὴ ἔχοντας οἰκήματα λέχη ποιεῖσθαι. ἢ παρὰ τὸ λεσχαίνειν ἐν αὐτῷ, ὅ ἐστιν ὁμιλεῖν. similiter E; et sane fieri potest, ut et a cubando, et a colloquendo, quod utrumque verbo λέγειν significatur, appellata fuerit λέσχη: sed tamen placet prae altera posterior harum notationum propterea, quod nusquam λέσχη dicitur λέχος per tropum, saepius autem λόγος, ὁμιλία, velut apud Tragicos (v. Soph. Oed. Col. 153, Eurip. Hipp. 362, Schn. h. v. etc.), quemadmodum et ἀδόλεσχος non vocatur is, qui immodice cubat, sive somnolentus, sed garrulus. hinc Ap.: λέσχην, ὁμιλίαν: Hesych.: λέσχη καὶ ἡ φλυαρία, καὶ ὁ δημόσιος τόπος, ἐν ᾧ διέτριβον οἱ πτωχοί, κ. διελέγοντο ἀλλήλοις etc.; Berglerus: *in coetum confabulantium.* sensu latiore Cl. λέσχην reddidit *diversorium,* Voss. *Volksherberge.* Montbel.: „*Toi qui refuses d'aller dormir dans une forge ou dans quelque taverne.* χαλκ. ἐς δόμον ἐλθὼν, *en allant dans une maison d'airain,* c'est-à-dire dans une forge, endroit où l'on travaille l'airain. C'était là que se réfugiaient les pauvres, parce qu'ils y trouvaient du feu (Eust. p. 1848, l. 60). Quant au mot λέσχη, tous les interprètes l'expliquent par *un lieu public, où l'on allait causer, et passer son temps.* (Sch. ed. a Buttm.; Eust. p. 1849, 1; Hesych. et Suid. v. λέσχη.) Ce devait être en général les gens d'une basse classe et les vagabonds qui s'y rendaient, puisque c'est là que l'insolente Mélantho renvoie Ulysse, qu'elle prend pour un mendiant. Aussi Hésiode (O. et D. 491. ed. Gaisf.) recommande-t-il de fuir ces sortes de réu-

ἣ ῥ' Ὀδυσῆ' ἐνένιπεν ὀνειδείοις ἐπέεσσι·
„Ξεῖνε τάλαν, σύγε τις φρένας ἐκπεπαταγμένος ἐσσὶ,
οὐδ' ἐθέλεις εὕδειν, χαλκήϊον ἐς δόμον ἐλθὼν,
ἠέ που ἐς λέσχην, ἀλλ' ἐνθάδε πόλλ' ἀγορεύεις.
[θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν, οὐδέ τι θυμῷ
ταρβεῖς. ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.]

nions; et plus loin (498. cf. Schol. in v. 491 ejusd. ed.) il ajoute qu'on n'a pas grande espérance à concevoir de celui qui y passe sa vie. Voilà pourquoi j'ai cru devoir employer ici le mot de *taverne*. Plus tard il est probable que ces lieux-là devinrent le rendez-vous d'un meilleur monde, puisque Pausanias (10, 25) donne la descriptione d'une *lesché*, où se trouvaient de fort belles peintures. Knight (Prolog. §. 43 seqq.) observe qu'il n'est jamais fait mention de ces lieux de réunion dans l'Iliade; il en conclut que ce poëme appartient à une époque où cet usage n' existait pas encore. La raison n'est pas suffisante; car il est plusieurs détails domestiques que le poète n'avait pas occasion de rappeler dans un camp. J'ai déja parlé de cette opinion de Knight; (voy. les obss. sur le v. 78 du second chant de l'Odyssée.) voici les autres raisons qu'il donne pour la justifier. (ea quoque adscribemus, quo plenius lectores cognoscant argumenta, quibus viri docti impugnare solent Homeri ἑνότητα. quae argumenta solvere studui in annotationibus cum passim ad loca singula addubitata, tum ad Vitam Homeri, vol. 1. Iliadis, p. 6.) On trouve dans l'Odyssée (φ', 390—1) une *corde de byblos* (βύβλινον ὅπλον), plante d'Egypte inconnue à l'auteur de l'Iliade, de même que le verbe θητεύω, exprimant l'idée de servir sans être pourtant esclave. (Odyss. λ', 489 et σ', 357. L'expression θητεύσαμεν se trouve dans l'Iliade, φ', 444, mais le passage est supprimé par Knight.) Les noms de *Messène* et de *Messéniens*, qui sont cités dans l'Odyssée, ne se trouvent pas dans l'Iliade parmi les villes du Péloponnèse. Dans l'Iliade les servantes sont toujours nommées δμωαὶ, θεράπαιναι, et jamais δοῦλαι, comme dans l'Od., à moins que ce ne soit dans les passages interpolés. (voy. les obss. sur le v. 395 du 3. ch. de l'Il.) Knight observe en outre que dans l'Od. les mots commencent à se contracter, et que déja les formes élégantes de l'Attique remplacent l'antique majesté de la langue primitive. Ainsi dans l'Il. on trouve toujours νώνυμνος (voy. les obss. sur le v. 70 du 12. ch. de l'Il.), et dans l'Od. νώνυμος avec la pénultième brève (ν', 239, ξ', 182. On trouve aussi νώνυμνος dans l'Od. α', 222.); θέσπις, dans l'Od. (α', 328, θ', 498), pour θεσπέσιος (Il. β', 670 et millies); ἀγρόται (Od. π', 218), pour ἀγροιῶται (Il. λ', 548, 676, ο', 272 etc.), etc. Knight trouve aussi des différences de syntaxe et de mythologie. L'auteur de l'Iliade ne suppose pas que Mercure soit le messager des dieux, que Délos soit consacrée à Apollon, ni que cette divinité y rende des oracles; (cf. Od. ζ', 162, θ', 79—81). Il observe dans l'Il. (σ', 570) que les cordes de la lyre sont en lin, dans l'Od. (φ', 406 seqq.) qu'elles sont en boyaux, comme aujourd'hui, avec des chevilles pour les tendre plus ou moins; que les maisons, selon l'auteur de l'Il., n'ont point de colonnes, et que l'auteur de l'Od. en fait souvent mention. (α', 127, ρ', 29, τ', 38.) Dans les arts d'un usage plus familier, l'Od. laisse apercevoir l'origine de la chasse à l'oiseau (χ', 302) et de la pêche au filet (χ', 386); ce qui indique une civilisation plus avancée. Sur les différences qui existent entre les 2 poëmes, et qui semblent indiquer que l'Od. est plus moderne, on peut consulter l'ouvrage de Benjamin Constant intitulé *De la Religion* (t. 3., l. 8, p. 409—72.). Je pense aussi que les chants dont se compose l'Od. appartiennent en général à une époque plus récente que ceux de l'Il. Voyez l'hist. des poésies homér. p. 38, 41 et suiv."

330—332. Am. Q. et Harl.: θαρσαλέος (sic Harl. et A. 3., sed Am. Q.: θαρσαλέως) πολλ. ἀθετοῦνται τρεῖς, ὡς ἐκ τῶν ἑξῆς (390—392) μετατιθέμενοι, (hic schol. Harl. finitur ap.

ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας, τὸν ἀλήτην;
μήτις τοι τάχα Ἴρου ἀμείνων ἄλλος ἀναστῇ,
ὅστις σ' ἀμφὶ κάρη κεκοπὼς χερσὶ στιβαρῇσι
δώματος ἐκπέμψῃσι, φορύξας αἵματι πολλῷ."

Minis Ulysses terret mulieres.

Τὴν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
„ἦ τάχα Τηλεμάχῳ ἐρέω, κύον, οἷ' ἀγορεύεις,
κεῖσ' ἐλθὼν, ἵνα σ' αὖθι διὰ μελεϊστὶ τάμῃσιν."
Ὣς εἰπὼν ἐπέεσσι διεπτοίησε γυναῖκας·
βὰν δ' ἴμεναι διὰ δῶμα. λύθεν δ' ὑπὸ γυῖα ἑκάστης
ταρβοσύνῃ· φὰν γάρ μιν ἀληθέα μυθήσασθαι.
αὐτὰρ ὁ πὰρ λαμπτῆρσι φαείνων αἰθομένοισιν
εἱστήκειν, ἐς πάντας ὁρώμενος· ἄλλα δέ οἱ κῆρ
ὥρμαινε φρεσὶν ᾗσιν, ἅ ῥ' οὐκ ἀτέλεστα γένοντο.

Minerva instigante, proci Ulyssem dicteriis et contumeliis verborum lacessunt.

Μνηστῆρας δ' οὐ πάμπαν ἀγήνορας εἴα Ἀθήνη
λώβης ἴσχεσθαι θυμαλγέος, ὄφρ' ἔτι μᾶλλον
δύῃ ἄχος κραδίην Λαερτιάδεω Ὀδυσῆος.
τοῖσιν δ' Εὐρύμαχος, Πολύβου πάϊς, ἦρχ' ἀγορεύειν,
κερτομέων Ὀδυσῆα, γέλων δ' ἑτάροισιν ἔτευξε·

Porsonum.) καὶ ὅτι ἐνθάδε μηδὲν ἐθρασύνθη. recte; itaque W haec seclusit a genuinis. cf. ann. ad 393.

333—335. Am. Q.: ἦ ἀλύεις. ἀλύεις νῦν ἀντὶ τοῦ χαίρεις, γαυριᾷς. ἔνιοι δὲ, ἐν ἄλῃ κ. θορύβῳ τῆς διανοίας καθέστηκας, οἷον οὐκ ἔχεις σαυτὸν ὑπὸ πολλῆς χαρᾶς. generatim verbum ἀλύειν significat mentem de statu dejectam. v. ann. ad Il. ε', 352, ω', 12, Boissonadeo laudatum Wyttenbach. ad Plut. t. 1., p. 231, ipsumque B ann. ad Philostr. Her. p. 232., qui hisce quidem adscripsit verba illa parasiti inedia morientis ap. Liban. t. 4., p. 158.: ἀλύω γὰρ ἤδη, καὶ νάρκης αἰσθάνομαι. — E: κεκοπὼς, ἤτοι πλήξας. — τὸ δὲ φορύξας αἵματι ταυτὸν τῷ φύρσας (21). — χ', 21.: σῖτός τε, κρέα τ' ὀπτὰ, φορύνετο. — ἐκπέμψῃσι dixit per μείωσιν ironicam pro ἐκβάλλῃ, quo sensu et nostrates vulgo dicere solent *Jemand heimschicken.*

338—343. κύον. convicium, quod impudentibus facere solebant, quibus itidem acclamabant κυνῶπα, κυνῶπις. v. ann. ad δ', 145, locisque ibi laudatis adde τ', 91, Il. θ', 423, λ', 362 etc. — E: κεῖσε ἐλθὼν, ἔνθα δηλαδὴ κάθηται. — αὖθι, *hic*, vel *illico*. v. Schn. h. v. — διὰ μελ. τάμῃσιν. tmesis. v. ι', 291. — Am. B.: διεπτοίησε. διεσκόρπισε. auget τὸ διὰ significationem, ut saepe alias: v. ξ', 39 etc. χ', 297.: δὴ τότ' Ἀθηναίη φθισίμβροτον αἰγίδ' ἀνέσχεν Ὑψόθεν ἐξ ὀροφῆς· τῶν δὲ φρένες ἐπτοίηθεν. — βὰν δ' ἴμεναι. ε', 475 etc. — λύθεν δ' ὑπὸ γυῖα ἑκ. v. ann. ad 212. — ταρβοσύνῃ, τάρβει, ut dixit η', 51. et alias. — φαείνων τοὺς λαμπτῆρας.

344. sic Harl. vulgo: εἱστήκει vel ἑστήκει, ut W et B. E: τὸ δὲ εἱστήκει εὕρηται καὶ εἱστήκειν κατὰ τὸ ἤσκειν εἴρια καλά. v. Il. ψ', 691, γ', 388. — πάντας λαμπτῆρας, *omnes lychnos intuens*, h. e. observans et curans. — ἄλλα — ᾗσιν. v. δ', 120 etc.

346—355. ἀγήνορας. α', 106 etc. — ἴσχεσθαι, ἀπίσχεσθαι. v. λ', 250 etc. — θυμαλγέος. υ', 285, quo loco versus 346—48 iterum leguntur. cf. ι', 387 etc. — E: δύῃ (53 etc.), ὑπεισέρχηται. *subiret*, penetraret. — κερτομέων. β', 323 etc. — ἔτευξε fere codd. ἔτευχε Ald. 3, W, B, quam scripturam

„*Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,*
ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει!
οὐκ ἀθεεὶ ὅδ' ἀνὴρ Ὀδυσήϊον ἐς δόμον ἵκει·
ἔμπης μοι δοκέει δαΐδων σέλας ἔμμεναι αὐτοῦ
καὶ κεφαλῆς, ἐπεὶ οὔ οἱ ἔνι τρίχες, οὐδ' ἠβαιαί.“
Ἦ ῥ', ἅμα τε προσέειπεν Ὀδυσσῆα πτολίπορθον·
„*ξεῖν', ἦ ἄρ κ' ἐθέλοις θητευέμεν, εἴ σ' ἀνελοίμην,*
ἀγροῦ ἐπ' ἐσχατιῆς (μισθὸς δέ τοι ἄρκιος ἔσται),
αἱμασιάς τε λέγων, καὶ δένδρεα μακρὰ φυτεύων;
ἔνθα κ' ἐγὼ σῖτον μὲν ἐπηετανὸν παρέχοιμι,
εἵματα δ' ἀμφιέσαιμι, ποσίν θ' ὑποδήματα δοίην.
ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθες, οὐκ ἐθελήσεις
ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσειν κατὰ δῆμον
βούλεαι, ὄφρ' ἂν ἔχῃς βόσκειν σὴν γαστέρ' ἄναλτον.“

audacissime Ulysses respondet Eurymacho.

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„*Εὐρύμαχ', εἰ γὰρ νῶϊν ἔρις ἔργοιο γένοιτο*
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ' ἤματα μακρὰ πέλονται,

commemorat Schol. Harl. — *οὐκ ἀθεεὶ*, *non sine dîs*, ut ait Flaccus; divinitus. — *αὐτοῦ καὶ κεφ.* h. e. *καὶ κεφ. αὐτοῦ.* etiam caput Ulyssis splendere ait, ut faces, propter calvitiem, quam nostrates joco simili dicere audivi *Mondschein.* id prodigii loco se habere fingit Eurymachus, quale fuit illud, de quo Livius 1, 39.: *Eo tempore*, inquit, *in regia prodigium visu eventuque mirabile fuit: puero dormienti, cui Servio Tullio nomen fuit*, caput arsisse *ferunt multorum in conspectu.* cf. Il. ε', 1—7. — *οὐδ' ἠβαιαί.* γ', 14, φ', 288 etc.

357—364. *θητευέμεν*, *mercede servire.* λ', 488. — *εἴ σ' ἀνελοίμην*, *si te auferrem*, h. e. abducerem. E: *περιττὴ συνήθως ἡ ἀνὰ πρόθεσις, ὡς καὶ πρὸ ὀλίγων (88) ἐν τῷ ἄναγον τὸν Ἶρον. κυρίως μέντοι ἀνελέσθαι τὸ κάτωθέν τι λαβεῖν, ὃ διάφορόν ἐστι πρὸς τὸ καθελεῖν.* — Sch.: *ἄρκιος* (Il. β', 393 etc.). *ἱκανός.* — *ἀγροῦ ἐπ' ἐσχ.* δ', 519, ε', 489. cf. ι', 280 etc. — *αἱμασιάς*, *sepes.* ω', 223.: *τοίγε Αἱμασιὰς λέξοντες, ἀλωῆς ἔμμεναι ἕρκος, Ὤιχοντ'.* — Am. 2: *αἱμ. τοὺς ἐκ χαλίκων φραγμοὺς χωρίων. χάλικες δὲ οἱ τεθραυσμένοι κ. μικροὶ λίθοι· καὶ ἔστιν ἡ εὐθεῖα ὁ χάλιξ τοῦ χάλικος. λέγων δὲ ἀντὶ τοῦ οἰκοδομῶν ἐκ πολλῶν κ. λογάδων λίθων.* E: — *ἰστέον δὲ, ὅτι δοκεῖ ἐξ ἀκανθῶν ποτε ἡ αἱμασιὰ οὖσα ἐκεῖθεν σχεῖν τοὔνομα, παρὰ τὸ αἱμάσσειν· καὶ παρέμεινεν ἡ κλῆσις ἐκείνη καὶ ὕστερον τοῖς ἐκ χαλίκων κτίσμασι, καθὰ, σὺν ἄλλαις πολλαῖς ὁμοιότησι, καὶ τοῖς βιβλίοις ὁ πύξος* (nomen *πύξος, πυξίον, pugillares*) *ἐνέμεινε διὰ τὸ πάλαι ποτὲ πυξία κυρίως αὐτὰ εἶναι* etc. Sch.: *λέγων. οἰκοδομῶν ἐκ συλλέκτων λίθων.* Buttmann. *Lexil.* 78, 8.: „Im physischen Sinn des Worts *λέγειν* ist merkwürdig der Ausdruck *αἱμασιὰς λέγειν* Odyss. σ', 359, *Zaūne*, *Umzaūnungen errichten* (*anlegen*), weil dies in der einfachsten Art durch blosses Zusammensuchen, Anhaūfen und Ordnen von Steinen geschah: s. den Scholiasten und Möris, der *αἱμασιὰ* durch *λιθολογία* erklärt.“ B: „Theopompus, cujus hicce fertur versiculus, *Ὃς αἱμασιολογεῖν ἄριστ' ἠπίστατο*, ex Homeri loco profecerat.“ — E: *δένδρεα δὲ μακρὰ οὐ τὰ τοιαῦτα ὄντα ἐν τῷ φυτεύεσθαι, ἀλλ' ὕστερον.* — *ἐπηετανὸν*, *annuum*, perpetuum. v. δ', 89. — *ἔργον ἐποίχεσθαι*, *aggredi opus*, operari. α', 358. cf. locum similem ρ', 226—228.

366—386. *εἰ γὰρ*, *utinam.* cf. Il. ο', 570, π', 559, Matth. §. 513. — Am. B: *πέλονται. ἀντὶ τοῦ γίνονται πρὸς*

ἐν ποίῃ, δρέπανον μὲν ἐγὼν εὐκαμπὲς ἔχοιμι,
καὶ δὲ σὺ τοῖον ἔχοις, ἵνα πειρησαίμεθα ἔργου,
νήστιες ἄχρι μάλα κνέφαος, ποίη δὲ παρείη!
εἰ δ' αὖ καὶ βόες εἶεν ἐλαυνέμεν, οἵπερ ἄριστοι,
αἴθωνες, μεγάλοι, ἄμφω κεκορηότε ποίης,
ἥλικες, ἰσοφόροι, τῶντε σθένος οὐκ ἀλαπαδνὸν,
τετράγυον δ' εἴη, εἴκοι δ' ὑπὸ βῶλος ἀρότρῳ,
τῷ κέ μ' ἴδοις, εἰ ὦλκα διηνεκέα προταμοίμην.
εἰ δ' αὖ καὶ πόλεμόν ποθεν ὁρμήσειε Κρονίων
σήμερον, αὐτὰρ ἐμοὶ σάκος εἴη, καὶ δύο δοῦρε,
καὶ κυνέη πάγχαλκος, ἐπὶ κροτάφοις ἀραρυῖα,
τῷ κέ μ' ἴδοις πρώτοισιν ἐνὶ προμάχοισι μιγέντα,
οὐδ' ἄν μοι τὴν γαστέρ' ὀνειδίζων ἀγορεύοις.
ἀλλὰ μάλ' ὑβρίζεις, καί τοι νόος ἐστὶν ἀπηνής·
καί πού τις δοκέεις μέγας ἔμμεναι ἠδὲ κραταιὸς,
οὕνεκα πὰρ παύροισι καὶ οὐκ ἀγαθοῖσιν ὁμιλεῖς.
εἰ δ' Ὀδυσεὺς ἔλθοι, καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν,
αἶψά κέ τοι τὰ θύρετρα, καὶ εὐρέα περ μάλ' ἐόντα,
φεύγοντι στείνοιντο διὲκ προθύροιο θύραζε."

τὴν παρουσίαν τοῦ θέρους. — ἐν ποίῃ, *in herba*, gramine, prato. ι', 449, Il. ξ', 347. ἄγκεα ποιήεντα dixit δ', 337 etc. E: — ποίη ὁ κατὰ τὸ ἔαρ δρεπόμενος ἢ κειρόμενος χόρτος. — δρέπανον, δρεπανην, ut dixit Il. σ', 551, ubi v. ann. — νήστιες, *jejuni*. Il. τ', 156, 207. — ἄχρι μάλα κνέφαος, *penitus usque ad caliginem*, ad ipsam noctem. E: ἄχρι βαθείας ἑσπέρας. — Am. 2.: αἴθωνες (α', 184). πυῤῥοὶ, ἢ μέλανες. — ἥλικες, ὁμήλικες. ο', 197 etc. — E: ἰσοφόροι ἢ εἰς ἴσον φερόμενοι κ. ὡς εἰπεῖν ἰσοφαρίζοντες, (Il. ζ', 101 etc. id esset ἰσόφοροι.) ἢ ἶσον ἄχθος φέρειν δυνάμενοι etc. (τῶντε σθ. οὐκ ἀλαπαδνόν. *quorum haud infirmum est robur*, validorum. v. Il. ε', 783 etc.) τετράγυον (η', 113) δὲ διάστημά τι, ὅσον ἦν ἀροτριᾶν, ὡς εἰκὸς, δι' ἡμέρας τοὺς ἀγαθοὺς ἐργάτας, κ. χρωμένους βουσὶν ὁμοίοις. — εἴκοι — ἀρότρῳ. descriptio soli arabilis, nec lapidosi. — Am. B.: τῷ. διὰ τοῦτο (*hoc*, per hoc, ita. v. Il. δ', 410 etc.). — (Ap: ὦλκα, αὔλακα. *sulcum*. Il. ν', 707.) διηνεκέα (v. 836 etc.), ἀντὶ τοῦ διηνεκῶς, ὑπὸ μιᾶς ὁρμῆς. — προταμοίμην, *proscinderem*. ψ', 196, Il. ι', 489: minus bene E: τὸ προτ. ἀντὶ τοῦ πρὸ σοῦ ἀροτριάσαιμι, καὶ ὡς εἰπεῖν προκόψαιμι, καὶ, τὰ πάντα ἔχων ἴσα, ὅμως προβαλοίμην τῇ ἀρετῇ. neque enim hic agitur certamen, sed solus Ulysses araturus, solus dimicaturus, quibus operibus ne parem quidem putat Eurymachum ignavum. cf. Cl. — δύο δοῦρε. μ', 228. — νόος — ἀπηνής. Il. π', 35 etc. — καί πού τις — ὁμιλεῖς. acerbe, sed juste, exagitat Eurymachum, hominem imperitum, qui paucorum (v. ann. ad 390) eorumque improborum commercio, procorum scilicet, fretus superbiebat. cui nebuloni se ipsum magnifice opponit, virum fortissimum ac prudentissimum, qui *mores hominum* multorum *vidit et urbes*, amicus Atridarum et principum Graeciae, dilectusque deabus Palladi, Calypsoni, Circae. cum pessimi isti proci ne uni quidem Penelopae accepti essent, feminae mortali. — στείνοιντο. ita Sch. praeterquam editione antiqua illa, quam Buttmannus adhibuit; qui cum exclamat *Male*, fugit eum ratio. est enim vetus probusque ille modus dicendi, quem tantum non ubique oblitteraverunt librarii. velut Harl. codex habet vulgatum στείνοιτο, sed Schol.: στενὰ γένοιτο, ex quo intelligas, in ipso ordine scriptum fuisse primitus στείνοιντο, sed mutatum post esse lemma, ut centies. praeterea in Stephanianis edd. legitur στείνοντο pro στείνοιντο. recte igitur hoc restituit Cl., W bis excudi jussit. Am. Q.: οὕτως ταραχθήσεσθαι (ταραχθήσεται), ὡς δοκεῖν τὰς θύρας στενὰς εἶναι.

iratus Eurymachus etiam ipse scabellum jacit in Ulyssem, sed aberrans pocillatorem ferit.

Ὣς ἔφατ'· Εὐρύμαχος δ' ἐχολώσατο κηρόθι μᾶλλον,
καί μιν ὑπόδρα ἰδὼν ἔπεα πτερόεντα προσηύδα·
„Ἆ δείλ', ἦ τάχα τοι τελέω κακὸν, οἷ' ἀγορεύεις
θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν, οὐδέ τι θυμῷ
ταρβεῖς! ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
τοιοῦτος νόος ἐστὶν, ὃ καὶ μεταμώνια βάζεις."
[ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας, τὸν ἀλήτην;]
Ὣς ἄρα φωνήσας σφέλας ἔλλαβεν· αὐτὰρ Ὀδυσσεὺς
Ἀμφινόμου πρὸς γοῦνα καθέζετο Δουλιχιῆος,
Εὐρύμαχον δείσας· ὁ δ' ἄρ' οἰνοχόον βάλε χεῖρα
δεξιτερήν. πρόχοος δὲ χαμαὶ βόμβησε πεσοῦσα·
αὐτὰρ ὅγ' οἰμώξας πέσεν ὕπτιος ἐν κονίῃσι.
μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα·
ὧδε δέ τις εἴπεσκεν, ἰδὼν ἐς πλησίον ἄλλον·

mala Ulyssi imprecantur proci.

„Αἴθ' ὤφελλ' ὁ ξεῖνος ἀλώμενος ἄλλοθ' ὀλέσθαι,
πρὶν ἐλθεῖν! τῷ κ' οὔτι τόσον κέλαδον μετέθηκε.

387, 8. ρ', 458, 9.

389—393. ἆ δειλέ. λ', 617, Il. λ', 441 etc. — τελέω. τελέσω. δ', 485 etc. — πολλοῖσι. multi esse videntur proci Eurymacho, quos paucos dixit Ulysses 383., magnum ille cogitans Graecorum exercitum, quocum Trojam profectus est. — ἦ ῥά σε οἶνος ἔχει φρ. α', 95, θ', 344 etc. — μεταμώνια, μάταια. v. ann. ad Il. δ', 363. — ἦ ἀλύεις — ἀλήτην; „Ou bien enfin serait-ce la joie d'avoir terrassé le mendiant Irus? Wolf renferme entre 2 parenthèses ce vers, qui ne se trouve point dans le manuscrit de Vienne 133. (A. 1.). Il ne se trouve point non plus dans l'édition de Florence. (v. Var. lect. in ed. Ernest.) Knight supprime ce vers et les 3 précédents que Mélantho adresse à Ulysse (330—332). Wolf, au contraire, supprime les 3 vers dans le discours de Mélantho, en laissant subsister le quatrième, qu'il retranche ici. La leçon de Wolf est la meilleure; il est tout simple qu' après le discours d' Ulysse Eurymaque lui reproche de parler avec audace, tandis que la servante Mélantho, comme l'observent les scholies ambrosiennes, n'est pas en droit de lui faire ce reproche." *Montbel.*

394—398. σφέλας, *scabellum.* ρ', 231. — Am. Q.: καθέζετο. Τηλέμαχον γὰρ οὐχ ἱκανὸν ἐπίκουρον δοκεῖ εἶναι. — ὁ δὲ Ἀμφίνομος εἰ καὶ προσέκρουσε τοῖς λοιποῖς, ἐλυσιτέλει τῷ Ὀδυσσεῖ τῷ στασιάζειν πρὸς ἀλλήλους τοὺς μνηστῆρας. similiter E: ἰστέον δὲ, ὅτι δεξιώτατα Ὀδ. δοκεῖ προσφεύγειν τῷ Ἀμφινόμῳ, εἴ πως σχοίη συγκροῦσαι τοὺς μνηστῆρας ἀλλήλοις, ἐπικουρήσαντος μὲν ἐκείνου τῷ ξένῳ, ἀπαρεσθέντων (perperam liber ἀπαρασθ.) δὲ τῶν (ἄλλων) μνηστήρων. — πρόχοος. α', 136 etc. — βόμβησε. θ', 190, Il. ν', 530 etc. — πέσεν — κονίῃσι. ι', 371, Il. π', 289 etc.

399. α', 365, δ', 768 etc.

400. θ', 328 etc.

402—404. μετέθηκε W et B. vulgo: μεθέηκεν. sed Harl.: πᾶσαι, μετέθηκεν, ἀντὶ τοῦ ἐν ἡμῖν ἔθηκεν. alterum ita explicat E: ἤγουν οὐκ ἂν τοσοῦτον θόρυβον ἐνῆκεν ἡμῖν. verum non illo sensu, sed remittendi, μεθιέναι dictum reperias aliis in locis utriusque carminis, velut ε', 471, Il. ν', 118, ρ', 539 etc; similiter autem poëta Il. γ', 321.: ὁππότερος τάδε ἔργα μετ' ἀμφοτέροισιν ἔθηκε, Τὸν δὸς ἀποφθίμενον δῦναι δόμον Ἄϊδος εἴσω. Sch.: μεθέηκεν. ἐποίησεν. vereor, ne is quo-

νῦν δὲ περὶ πτωχῶν ἐριδαίνομεν, οὐδέ τι δαιτὸς
ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ."

quiescere illos et domum abire jubet Telemachus, Amphinomus ad frugem corrigere studet. itaque libatione facta discedunt.

Τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἲς Τηλεμάχοιο·
„δαιμόνιοι, μαίνεσθε, καὶ οὐκέτι κεύθετε θυμῷ
βρωτὺν, οὐδὲ ποτῆτα! θεῶν νύ τις ὔμμ' ὀροθύνει.
ἀλλ' εὖ δαισάμενοι κατακείετε οἴκαδ' ἰόντες,
ὁππότε θυμὸς ἄνωγε· διώκω δ' οὔτιν' ἔγωγε."
"Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες, ὀδὰξ ἐν χείλεσι φύντες,
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευεν.
τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο, καὶ μετέειπεν·
[Νίσου φαίδιμος υἱὸς, Ἀρητιάδαο ἄνακτος·]
„Ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ
ἀντιβίοις ἐπέεσσι καθαπτόμενος χαλεπαίνοι.
μήτε τι τὸν ξεῖνον στυφελίζετε, μήτε τιν' ἄλλον
δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
ἀλλ' ἄγετ', οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν,
ὄφρα σπείσαντες κατακείομεν οἴκαδ' ἰόντες·
τὸν ξεῖνον δὲ ἐῶμεν ἐνὶ μεγάροις Ὀδυσῆος
Τηλεμάχῳ μελέμεν· τοῦ γὰρ φίλον ἵκετο δῶμα."
"Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ἑαδότα μῦθον ἔειπε.
τοῖσιν δὲ κρητῆρα κεράσσατο Μούλιος ἥρως,

que dederit *μετέθηκεν*, siquidem Grammatici *τιθέναι* interpretari solent *ποιεῖν*. — *ἐριδαίνομεν*. β', 206. Il. β', 342.: *αὔτως γὰρ ἐπέεσσ'* (ita nunc scribam, libris adjuvantibus, pro *α. γάρ ῥ' ἐπ.*) *ἐριδαίνομεν* etc. — *ἦδος*, *voluptas*. Il. σ', 80.: *ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ φίλος ὤλεθ' ἑταῖρος;* v. ibi ann., et cf. Il. α', 572., ubi verba *οὐδέ τι — νικᾷ* iterum leguntur.

405. β', 409. cf. supra 59, φ', 101 etc.

406—409. *δαιμόνιοι*. 15. — *καὶ — ποτῆτα*. non amplius eos occultare ait animo cibum ac potum, h. e. effectum cibi et potus, praesertim immodici, ebrietatem insaniamque. paulo aliter Am. 2 emend.: *κεύθετε θυμῷ*. *ἀντὶ τοῦ ὑπὸ θυμοῦ, ὡς* (?) *Ἀχιλλῆϊ δαμασθεὶς* (Il. χ', 55) *ὅ ἐστιν, ὑπὸ ἀλόγου κινήσεως οὐ κρατεῖτε τῆς τροφῆς, ἀλλ' αὕτη μᾶλλον ὑμῶν ἐπικρατεῖ, κ. παρασκευάζει ὑμᾶς ἐξάγεσθαι εἰς ἀταξίας*. — *ὀροθύνει*, *concitat*, irritat. ε', 292 etc. — *ὁππότε — ἔγωγε*. civiliter eos domum ire jubet, ne imperare videatur liberis; quemadmodum Latini solent dicere *si vis*, *si tibi placet* etc. v. ann. ad Plaut. Capt. 273. ed. 1., et indicem Terentii Unger. v. *si*. — *διώκω*, *pello*, ejicio foras aedibus.

410, 11. α', 381, 82.

413. versus omissus in A. 1., quem versum transscripsisse videntur ex π', 395. uncis inclusit W.

414—417. υ', 322—325. *ἀντιβ. ἐπέεσσι*. Il. α', 304 etc. — *καθαπτ.* β', 39 etc. — *χαλεπ.* β', 189 etc. — *στυφελίζετε*. π', 108 etc. — *οἵ εἰσι*.

418. φ', 263. cf. γ', 340 etc.

419—421. *σπείσαντες*. γ', 334 etc. — *μελέμεν*, *μέλειν*, *curae esse*.

422. Il. ι', 173.

423. *κρητῆρα κερ.* γ', 393 etc. — *Μούλιος*. Augiae generum cognominem memorat Il. λ', 739. et alias. — Am. B.: *ἥρως. ὅτι πάντας ἥρωας ἔλεγον*. cf. ann. ad Il. α', 4.

κήρυξ Δουλιχιεύς· θεράπων δ' ἦν Ἀμφινόμοιο.
νώμησεν δ' ἄρα πᾶσιν ἐπισταδόν· οἱ δὲ θεοῖσι
σπείσαντες μακάρεσσι, πίον μελιηδέα οἶνον.
αὐτὰρ ἐπεὶ σπεῖσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμός,
βάν ῥ' ἴμεναι κείοντες ἑὰ πρὸς δώμαθ' ἕκαστος.

425. ν', 54.
426. σπείσαντες — οἶνον. 151. sequ.
427, 28. cf. γ', 395, η', 228; et cf. ι', 208 etc.

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΙΔΙΑ Τ.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ Τ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Σὺν Τηλεμάχῳ ἔκθεσιν ποιεῖται τῶν ὅπλων Ὀδυσσεὺς, καὶ πρὸς Πηνελόπην φησὶ ψευδῶς ἐκ Κρήτης εἶναι. γίνεται δὲ αὐτοῦ δι' οὐλῆς ἀναγνωρισμὸς πρὸς Εὐρύκλειαν, νίπτουσαν αὐτοῦ τοὺς πόδας, καὶ κατὰ παρέκβασιν ὁ ποιητὴς διηγεῖται, ὡς ἐν Παρνασῷ ὑπὸ συὸς ἐπλήγη κυνηγῶν.

ΟΔΥΣΣΕΙΑΣ Τ.

ΟΔΥΣΣΕΩΣ ΚΑΙ ΠΗΝΕΛΟΠΗΣ ΟΜΙΛΙΑ. ΑΝΑΓΝΩΡΙΣΜΟΣ ΥΠΟ ΕΥΡΥΚΛΕΙΑΣ.

Postquam discesserunt proci, Ulysses Telemachum arma in superiorem partem aedium seponi jubet.

Αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο, δῖος Ὀδυσσεὺς,
μνηστήρεσσι φόνον ξὺν Ἀθήνῃ μερμηρίζων,
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα·
„Τηλέμαχε, χρὴ τεύχε' ἀρήϊα κατθέμεν εἴσω
πάντα μάλ'· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσι
παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες.
„„[ἐκ καπνοῦ κατέθηκ', ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει
οἷά ποτε Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεὺς,
ἀλλὰ κατῄκισται, ὅσσον πυρὸς ἵκετ' ἀϋτμή.
πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶν ἔμβαλε δαίμων,
μή πως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
ἀλλήλους τρώσητε, καταισχύνητέ τε δαῖτα
καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.]““
Ὣς φάτο· Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρὶ,
ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρύκλειαν·

Telemachi ea de re colloquium cum Euryclea.

„Μαῖ', ἄγε δή μοι ἔρυξον ἐνὶ μεγάροισι γυναῖκας,
ὄφρα κεν ἐς θάλαμον καταθείομαι ἔντεα πατρὸς
καλὰ, τά μοι κατὰ οἶκον ἀκηδέα καπνὸς ἀμέρδει·

Annotationes. Vers. 1. et 2. Haec frustra repetuntur inferius 51., nec dubie hinc transscripta sunt. quare ibi uncinis inclusi. Am. Q.: *σὺν Ἀθήνῃ.* ἤτοι παρούσῃ σιωπωμένως, ἢ προνοίᾳ τῆς θεοῦ, ὡς ἐπὶ τοῦ δουρίου ἵππου, ὃν Ἐπειὸς ἐποίησε σὺν Ἀθήνῃ (θ', 493). E: ἀγαθὴ γὰρ ἐν νυκτὶ βουλὴ κατὰ παροιμίαν· ὅθεν καὶ εὐφρόνη λέγεται ἡ νύξ etc.

7—13. ne haec quidem genuina esse arbitror, sed π', 288. sublecta, cui loco apta sunt, hic vero quamvis haud inepta, tamen minime necessaria. tribus verbis nunc Ulysses dicit, quid faciendum sit, properatque ad eventum.

16—18. *ἔρυξον*, *cohibe*, conclude. v. 30. — *καταθείομαι*, *seponam.* φ', 260, Il. χ', 111 etc. — *ἀκηδέα*, *neglecta.* ζ, 26 etc. — *ἀμέρδει*,

[πατρὸς ἀποιχομένοιο, ἐγὼ δ' ἔτι νήπιος ἦα·]
νῦν δ' ἐθέλω καταθέσθαι, ἵν' οὐ πυρὸς ἵξετ' ἀϋτμή."
Τὸν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
„αἲ γὰρ δή ποτε, τέκνον, ἐπιφροσύνας ἀνέλοιο,
οἴκου κήδεσθαι, καὶ κτήματα πάντα φυλάσσειν.
ἀλλ' ἄγε, τίς τοι ἔπειτα μετοιχομένη φάος οἴσει;
δμωὰς δ' οὐκ εἴας προβλωσκέμεν, αἵ κεν ἔφαινον."
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„ξεῖνος ὅδ'· οὐ γὰρ ἀεργὸν ἀνέξομαι, ὅς κεν ἐμῆς γε
χοίνικος ἅπτηται, καὶ τηλόθεν εἰληλουθώς."

auferunt arma pater et filius, Minerva praelucente.

Ὣς ἄρ' ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος,
κλήϊσσεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων.
τὼ δ' ἄρ' ἀναΐξαντ' Ὀδυσεὺς καὶ φαίδιμος υἱὸς
ἐσφόρεον κόρυθάς τε, καὶ ἀσπίδας ὀμφαλοέσσας,

corrumpit. θ', 64 etc. mire E: τὸ καπνὸς ἀμ. ἀντὶ τοῦ σκοτίζει, στερίσκει τοῦ μέρδειν, ὅ ἐστι λάμπειν. (?)

19. versiculus ex laciniis, opinor, aliorum (α', 135, β', 313 etc.) consutus, quem suspectum reddit brevi intervallo et sine emphasi repetita vox πατρὸς, frigusque totius sententiae.

22—25. Am. Q.: ἐπιφροσύνας ἀνέλοιο. ἀντὶ τοῦ φρόνιμος γενήσῃ. ἐπιφροσύνας dixit, ut εὐφροσύνῃσιν ζ', 156., ἐπιφροσύνην ε', 437., ἐπίφρονα μῆτιν inferius 326. cf. γ', 128, π', 242. E: ἔστι δὲ ἐπιφροσύνη ἢ ἡ ἁπλῶς φρόνησις, πλεοναζούσης τῆς προθήσεως, ὡς καὶ ἐν τῷ ἐπιβουκόλος (γ', 422 etc.), καὶ ἐπίουρος (ν', 405 etc.) ἢ (?) ἡ πλείων φρόνησις, οἱονεὶ ἡ ἐπὶ τῇ προτέρᾳ ἐπιτιθεμένη [ἢ] ὕστερόν ποτε, καθ' ὁμοιότητα τοῦ Ἐπιμηθέως (quem dicas *Nachverstand*, ὀψιμαθῆ), ὃς ἀντίκειται τῷ Προμηθεῖ, καθὰ (?) καὶ ὁ ἐπίφρων τῷ πρόφρονι. τὸ δὲ ἀνέλοιο ἢ περιττὴν καὶ αὐτὸ ἔχει τὴν πρόθεσιν, ἢ (?) κατὰ τὴν περὶ ψυχῶν ἑλληνικὴν δόξαν (metempsychosin dicit) ἀντὶ τοῦ ἀναλάβῃς εἴτουν ἀναμνησθείης εἴληπται. — προβλωσκέμεν, προβλώσκειν, προμολεῖν, *prodire.* φ', 239, 385. π', 466: ἄστυ καταβλώσκοντα. Buttmann. *Lexil.* 34, 9.: „Die der ältern griech. Sprache so natürliche Metathesis verwandelte μορτὸς in βροτὸς, wie μολεῖν βλώσκω (proprie μλοΐσκω, pro μολίσκω), μέλι βλίττω, μαλακὸς βλάξ."

27, 28. ἀεργὸν, *otiosum.* Il. ι', 320. ἀεργίην dixit ω', 250. Hesiodus O. et D. 309.: ἐργαζόμενος πολὺ φίλτερος ἀθανάτοισιν Ἔσσεαι, ἠδὲ βροτοῖς· μάλα γὰρ στυγέουσιν ἀεργούς· Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος. Am. 2: ἀεργὸν ἀνέξομαι. Ἀττικὴ ἡ σύνταξις ὥστε ἀνέχομαί σε, αἰτιατικὴ ἀντὶ γενικῆς. η', 32.: οὐ γὰρ ξείνους οἵδε μάλ' ἀνθρώπους ἀνέχονται. — Am. Q.: χοίνικος ἅπτηται. ἀντὶ τοῦ δαπάνης, τροφῆς. ἅπαξ ἐνταῦθα ἡ φωνὴ, καὶ οὐ διὰ τοῦτο χωριστέον τῆς Ἰλιάδος τὴν Ὀδύσσειαν etc. E: χοῖνιξ δὲ νῦν ἡ τροφή. δίσημος γὰρ ἡ λέξις, ἐπί τε σκεύους τοῦ μετροῦντος, καὶ τοῦ μετρουμένου πράγματος. οὕτω δὲ καὶ ὁ μέδιμνος, καὶ τὸ τάλαντον, καὶ ὁ ξέστης, καὶ ἕτερα πολλά. (similiterque aliae nationes in hoc genere.) χοῖνιξ δὲ σκεῦός τι μετρητικὸν σπορίμων, μεῖζον τοῦ παρὰ τοῖς παλαιοῖς καλουμένου μέτρου. ἐκ τούτου παρὰ τοῖς ὕστερον καὶ δεσμὸς ποδῶν ἐκαλεῖτο χοῖνιξ, καθ' ὁμοιότητα ἴσως τῆς κατὰ τὸ σκεῦος στρογγυλότητος. — ἰστέον δὲ, ὅτι τὸ ἐπὶ χοίνικος μὴ καθῆσθαι τὸ Πυθαγόρειον, ἤγουν μὴ τρέφεσθαι ἀργὸν, ἐκ τοῦ ῥηθέντος Ὁμηρικοῦ χωρίου ὥρμηται. de hoc proverbio Montbel. evolvi jussit Anecdota graeca ed. Boissonad. t. 1. p. 113. et Duporti Gnomolog. p. 258. — καὶ, καίπερ. quamvis hospes non sit familiaris, aut Ithacensis, sed e longinquo advenerit, tamen se illum negat gratis nutriturum.

29, 30. φ', 386, 87. cf. ρ', 57.

32, 33. ὀμφαλοέσσας, *umbone instructas.* v. ann. ad Il. δ', 448 et cf.

ἔγχεά τ' ὀξυόεντα· πάροιθε δὲ Παλλὰς Ἀθήνη,
* χρύσεον λύχνον ἔχουσα, φάος περικαλλὲς ἐποίει.
δὴ τότε Τηλέμαχος προσεφώνεεν ὃν πατέρ' αἶψα·

deam haud conspicatus, insolitumque splendorem aedium mirans, Telemachus edocetur, quid rei sit.

„Ὦ πάτερ, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
ἔμπης μοι τοῖχοι μεγάρων, καλαί τε μεσόδμαι,
εἰλάτιναί τε δοκοὶ, καὶ κίονες ὑψόσ' ἔχοντες,
φαίνοντ' ὀφθαλμοῖς ὡσεὶ πυρὸς αἰθομένοιο.

Il. θ', 62, π', 214 etc. — ὀ ξ υ ό ε ν τ α, *abiegna.* v. ann. ad Il. ε', 50.

34. significavimus ann. ad λ', 91., ponendum videri χρυσοῦ λύχνον, eleganti modo dicendi, metro expeditiore, denique vitato homoeoteleuto. idem remedium et huic versui faciendum putem, et Hesiodo O. et D. 109., ubi χρυσοῦ ποίησαν dixerit itidem atque hic noster χρυσοῖο τέτυκτο inferius 226. omnibus hisce locis adjectivum, in margine ab explicatoribus scriptum, irrepserit. — Am. Q.: λ ύ χ ν ο ν. ἀπὸ τοῦ λύειν τὸ νύχος. (?) λέγει δὲ τὴν δᾷδα κυρίως· τοῦ δὲ παρ' ἡμῖν καλουμένου λύχνου τοὺς ἥρωας χρωμένους ὁ ποιητὴς οὐκ εἰσάγει, καὶ οὔτε (scrib. οὐδέ) Ἡσίοδος μέμνηται. Montbel.: „*Devant eux la déesse Pallas, portant un flambeau d'or, répandait une vive lumière.* Le mot *λύχνον*, que je rends par le mot générique de *flambeau*, ne doit pas s'entendre ici d'une lampe proprement dite, signification qu'il n'a eue que beaucoup plus tard (v. Paus. 1, 26.); les lampes n'étaient point encore en usage dans les siècles héroïques. (Schol. Buttmann. in τ', 34, Eust. p. 1840, l. 50.) Nous voyons en effet au chant 18 (307 seqq.), qu'on avait coutumé alors de mettre du bois sec dans des espèces de réchauds (*Kohlenbecken*) pour éclairer les appartements. C'est sans doute un de ces réchauds que prend Minerve pour éclairer les deux héros. Quelques Critiques, pensant qu'il n'était pas convenable de faire porter à Minerve un flambeau, disent que la déesse répandit la lumière comme si elle portait un flambeau d'or. (Am. 2: λείπει τὸ ὡ ς, ὡς χ ρ ύ σ ε ο ν λ ύ χ ν ο ν ἔ χ ο υ σ α· ὅ ἐστιν, ἀμαυρὸν φῶς ἐποίει, ὡς ἀπὸ ἐκλάμψεως χρυσοῦ. δουλοπρεπὲς κ. λίαν εὐτελὲς τὸ τῆς διανοίας· πολλῷ γὰρ ἦν ἄμεινον, ἐπιδημησάσης τῆς δαίμονος αὐτόματον ἐπιλάμψαι πολυτελὲς φῶς. οὕτως οὖν ὁ λόγος ἐχέτω· ἡ δ' Ἀθηνᾶ φάος ἐποίει, ὡς χρύσεον λύχνον ἔχουσα. καὶ γὰρ οὐκ ἐχρῆν δαψιλὲς ἐπιλάμψαι τὸ φῶς πρὸς τὸ μὴ γνωσθῆναι κατὰ τὴν αὐλὴν τὴν μετακομιδὴν τῶν ὅπλων. ellipseos hujus alia est ratio: v. ann. ad Aeschyl. Agam. 355 et poëtas scenicos. quod autem bonus vir indignum putat dea et servuli officium praelucere Ulyssi dilecto in tali discrimine, oblitus est loci similis 8. libri 193., quo loco, eidem gratificata, Pallas signa discorum posuisse dicitur. intellexit errorem hominis nescio quis alius, qui haec superioribus subscripsit: εἴωθε δὲ ὁ π. μὴ ἀποδοκιμάζειν τῶν ὀνομάτων τὰ εὐτελῆ, ὡς τὸ μ υ ῖ α ν [Il. δ', 131], κ υ ά μ ο υ ς τε, καὶ ἐ ρ ε β ί ν θ ο υ ς [Il. ν', 589].) D'autres expliquent ce passage allégoriquement, et disent qu'ici Minerve est la prudence qui répand une pure lumière. (ita Sch. E Minervam φωσφόρον significari putat μυθικῶς, cujus mentionem fieri ait in Iliade; dicit autem, ni fallor, Il. δ', 4—7. ἐθέλει γὰρ, inquit, Ὅμ. μεγάλου ἔργου τοῦ κατὰ τῶν μνηστήρων καινά τινα προηγήσασθαι. ἡ δὲ ἀλληγορία τὴν τοῦ Ὀδυσσέως λέγει ἐν τούτοις δηλοῦσθαι φρόνησιν etc.) C'est prêter beaucoup trop d'esprit au poète" etc. Apage Grammaticos, qui sui similem esse volunt Homerum! *Ingenium Grajis dedit Musa*, ut ait Lyricus. recte Berangerius: *Que l'on montre dans chaque écrit* Plus de génie et moins d'esprit, *Laissant tout jargon puéril. Ainsi soit-il.*

36—39. ὦ π ά τ ε ρ, — ὁ ρ ῶ μ α ι. similiter Il. ν', 99, ο', 286 etc. — μ ε σ ό δ μ α ι. υ', 354. Sch.: τὰ μεταξὺ τῶν κιόνων διαφράγματα, οἵτινες ἦσαν περὶ τοὺς τοίχους, τὰ ἄκρα βαστάζοντες τῶν δοκῶν. Hesych. h. v.: τὰ τῶν δοκῶν διαστήματα. *intercolumnia.* cf. ann. ad β', 424. — δ ο κ ο ὶ, *trabes.* χ', 176, 193, Il. ρ', 744. — π υ ρ ό ς. ge-

ἦ μάλα τις θεὸς ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσι."
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„σίγα, καὶ κατὰ σὸν νόον ἴσχανε, μηδ' ἐρέεινε·
αὕτη τοι δίκη ἐστὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν.
ἀλλὰ σὺ μὲν κατάλεξαι· ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ,
ὄφρα κ' ἔτι δμωὰς καὶ μητέρα σὴν ἐρεθίζω·
ἡ δέ μ' ὀδυρομένη εἰρήσεται ἀμφὶς ἕκαστα."

dormitum it Telemachus; Penelope autem venit in colloquium cum Ulysse.

Ὣς φάτο· Τηλέμαχος δὲ διὲκ μεγάροιο βεβήκει,
κείων ἐς θάλαμον, δαΐδων ὕπο λαμπομενάων,
ἔνθα πάρος κοιμᾶθ', ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι·
ἔνθ' ἄρα καὶ τότ' ἔλεκτο, καὶ Ἠῶ δῖαν ἔμιμνεν.
[αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο, δῖος Ὀδυσσεύς,
μνηστῆρεσσι φόνον ξὺν Ἀθήνῃ μερμηρίζων.]
Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
* Ἀρτέμιδι ἰκέλη, ἠὲ χρυσέῃ Ἀφροδίτῃ.
τῇ παρὰ μὲν κλισίην πυρὶ κάτθεσαν, ἔνθ' ἄρ' ἔφιζε,
δινωτὴν ἐλέφαντι καὶ ἀργύρῳ, ἥν ποτε τέκτων
ποίησ' Ἰκμάλιος, καὶ ὑπὸ θρῆνυν ποσὶν ἧκε,
προσφυέ' ἐξ αὐτῆς, ὅθ' ἐπὶ μέγα βάλλετο κῶας.
* ἔνθα καθέζετ' ἔπειτα περίφρων Πηνελόπεια·

nit. causae. ο', 354 etc. serva Plautina Amph. 5, 1, 44.: *aedes totae confulgebant tuae, quasi essent aureae.*

42—48. ἴσχανε, *contine*, compesce. Il. ξ', 387 etc. — Am. Q.: αὕτη — θεῶν. οὗτος ὁ τρόπος τῶν θεῶν, τὸ καταφωτίζειν τοὺς τόπους, ἐν οἷς τυγχάνουσι. cf. 168 etc. — κατάλεξαι, *decumbe*. γ', 353, ο', 393. — ἐρεθίζω, *irritem*, servas quidem ad maledicendum; Penelopen autem ad concipiendum spes novas de reditu mariti. — ἀμφίς, χωρίς, *seorsim*, sola cum solo. cf. Il. ν', 706, ψ', 393, Ap. h. v. minus bene Am. 2.: ἀντὶ τοῦ χωρίς, ὅ ἐστι κατὰ τάξιν. — κείων, *cubiturus*. 340, ξ', 532. — δαΐδων ὕπο λαμπ. ψ', 290, Il. σ', 492, ubi Sch.: ἀντὶ τοῦ μετὰ λαμπάδων. Il. ν', 795.: οἱ δ' ἴσαν ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλλῃ, Ἥ ῥά θ' ὑπὸ βροντῆς πατρὸς Διὸς εἶσι πέδονδε. v. Matth. §. 592.

51, 52. versus temere repetiti ex initio hujus libri. relinqui enim Ulyssem, et per se intelligitur, et ipse dixit, ita futurum esse, 44.; quod autem attinet ad verba μνηστ. — μερμηρίζων, id nunc quidem non est ejus consilium, sed ancillas et Penelopen irritare; id quod significavit v. 45.

54, 55. ρ', 36, 37. apparet, post haec inserendum esse versum 60. alioqui sola venire videretur Penelope, quod nusquam fit; et obscuri quid haberet τὸ κάτθεσαν, nisi memoratae essent in superioribus ancillae. sic igitur scribamus: — Ἀφροδίτῃ· Ἦλθον — μεγάροιο. Τῇ etc.

56—58. E: δινωτὴ ἴσως μὲν καὶ ἡ τορευτικὴ κατά τινα μέρη, μάλιστα δὲ ἡ κύκλῳ κεκοσμημένη ἐλεφαντίνοις ὀστοῖς κ. ἀργύρῳ, καθά που (θ', 405) καὶ κολεὸν ἐλέφαντος ἀμφιδεδινῆσθαι εἶπεν ὁ π. δινωτὰ λέχη dixit Il. γ', 391, δινωτὴν ἀσπίδα ibidem ν', 407. — ὑπὸ — ἧκε. tmesis. *summisit*, subdidit. — rursum E: προσφυέα ἐξ αὐτῆς. ἤγουν προσπεφυκυῖαν κ. ἡνωμένην τῇ κλισίῃ. ὅθι — κῶας, ἤτοι ἐπετίθετο. ἔνθα καθέζετο, οὐ λῖτα δαιδάλεον (α', 130) ὑπεστρωμένον ἔχουσα, οὐδὲ τάπητα μαλακοῦ ἐρίου (δ', 124), κατὰ τὴν τρυφερὰν Ἑλένην. κῶας (π', 47 etc.) δὲ μέγα κατὰ ἡρωϊκὴν καὶ τοῦτο ἀφέλειαν.

59. malim et hic, et 102.: ἔνθ' ἐκαθέζετ' ἔπειτα. v. ann. ad π', 48.

* ἦλθον δὲ δμωαὶ λευκώλενοι ἐκ μεγάροιο.
αἱ δ' ἀπὸ μὲν σῖτον πολὺν ᾕρεον, ἠδὲ τραπέζας,
καὶ δέπα, ἔνθεν ἄρ' ἄνδρες ὑπερμενέοντες ἔπινον·
πῦρ δ' ἀπὸ λαμπτήρων χαμάδις βάλον, ἄλλα δ' ἐπ' αὐτῶν
νήησαν ξύλα πολλὰ, φόως ἔμεν, ἠδὲ θέρεσθαι.

quem iterum increpat Melantho.

ἡ δ' Ὀδυσῆ' ἐνένιπε Μελανθὼ δεύτερον αὖτις·
„Ξεῖν', ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις διὰ νύκτα
δινεύων κατὰ οἶκον, ὀπιπτεύσεις δὲ γυναῖκας;
ἀλλ' ἔξελθε θύραζε, τάλαν, καὶ δαιτὸς ὄνησο·
ἢ τάχα καὶ δαλῷ βεβλημένος εἶσθα θύραζε."

Ulyssis responsum.

Τὴν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
„δαιμονίη, τί μοι ὧδ' ἐπέχεις κεκοτηότι θυμῷ;
ἦ ὅτι δὴ ῥυπόω, κακὰ δὲ χροῒ εἵματα εἶμαι,
πτωχεύω δ' ἀνὰ δῆμον; ἀναγκαίη γὰρ ἐπείγει.

61—64. *ἀπὸ — ᾕρεον*, ἀφῄρεον. — *ὑπερμενέοντες*, ἀγήνορες, ut E explicat. cf. ν', 205, Il. β', 116 etc. — *πῦρ*, *ignem*, h. e. semiusta ligna, quae sumtu haud parcentes famulae projiciunt, integra accumulaturae. ο', 321.: πῦρ τ' εὖ νηῆσαι, διά τε ξύλα δανὰ κεάσσαι. — E: *νήησαν*. ἐσώρευσαν. — *θέρεσθαι* (ϱ', 23, Il. ζ', 331.), θερμαίνεσθαι. ἔσονται δὲ τὰ τοιαῦτα ξύλα *φῶς* μὲν ἐπὶ λαμπτῆρος, *θέρεσθαι* δὲ ἐπ' ἐσχάρας, ἧς ἐγγὺς κείσεται ὁ δίφρος τῷ Ὀδυσσεῖ. imo etiam ipsi Penelopae. v. 55, et cf. ε', 59, η', 153, λ, 189, 90 etc.

65. *ἐνένιπε*. sic A. 2. vulgo libri: ἐνένιπτε. v. 90, π', 417, σ', 321. — *δεύτερον αὖτις*. pleonasmus Atticus. cf. γ', 161, λ', 148 etc.

66—69. *ἀνιήσεις* ἡμᾶς. β', 115.: εἰ δ' ἔτ' ἀνιήσει γε πολὺν χρόνον υἷας Ἀχαιῶν. frequens ellipsis ejusmodi: v. λ', 143 etc. ἀνιήσεις, notante E., ut πτωχὸν ἀνιηρὸν ϱ', 220, δαιτὸς ἀνίην ibidem 446. Am. B.: *δινεύων*. δινούμενος, ἀναστρεφόμενος. (*ἀλλ' ἔξελθε*.) ἵνα πέψῃς, ἐπεὶ μεθύεις. cf. Il. ω', 12. Eurip. Phoen. 737.: οὐδ' ὑπὸ θυρσομανεῖ νεβρίδων μέτα δινεύεις. — dedi ὀπιπεύσεις pro vulgato ὀπιπτεύσεις. A. 2.: ὀπιπεύεις, ut Lips. codex Il. δ', 371, ubi v. ann. — *τάλαν*, *miser*, pessime. — *καὶ δαιτὸς ὄνησο*, *et gaude convivio*, cujus particeps fuisti; eo contentus esto. — *εἶσθα θύραζε*. specta infantiam mulieris illiberalis!

71—74. *ἐπέχεις*, *instas*, inveheris in me. alio sensu, abstinendi scil. sive cessandi, dixit φ', 186.: Ἀντίνοος δ' ἔτ' ἐπεῖχε: rursusque alio Il. ψ', 190.: ὅσσον ἐπεῖχε νέκυς, *quantum terrae occupabat cadaver*. E: τὸ δὲ *ἐπέχεις* (*μοι*) ἀντὶ τοῦ κατ' ἐμοῦ ἔχεις. ἐναντιότητα γάρ ποτε καὶ ἡ ἐπὶ πρόθεσις δηλοῖ, ὡς καὶ ἐν τῷ Ἑπτὰ *ἐπὶ Θήβας*, ἤγουν κατὰ Θηβῶν, καὶ ἐν τῷ *ἐπιχαίρειν*, ἤγουν κατά τινος χαίρειν ἐχθρωδῶς, καὶ ἐν τῷ *ἐπιβόητος*, ὁ μοχθηρὰν ἔχων φήμην, καθ' οὗ δηλαδὴ βοαὶ γίνονται, ὃν *ἐπίβωτον* Ἀνακρέων φησίν· οὗ ἑτεροῖος ὁ *διαβόητος*, ὡς ἐπ' ἀρετῇ ἐγνωσμένος, — καὶ ἐν τῷ *ἐπάρατος*, καθ' οὗ ἀραὶ γίνονται. — δηλοῖ δέ ποτε ἡ λέξις καὶ τὸ προσέχειν. καὶ ἄλλως δὲ καταστοχασμὸν σημαίνει, ὁμοίως τῷ *ἔπεχε σκοπῷ τόξον*. Ἡρόδοτος δὲ διαλελυμένως φησίν· *ἐπὶ σφίσιν ἔχοντας τοὺς Αἰγινήτας*, ἤγουν ἐπέχοντας. — οἱ δὲ λεγόμενοι Σκεπτικοὶ φιλόσοφοι *ἐπέχειν* φασὶ τὸ ὑποκρατεῖν (imo ἀποκρ., *retinere*) τὴν διαλεκτικὴν ἀπόφανσιν, — ὅθεν καὶ Ἐφεκτικοὶ ἐλέγοντο etc. — *κεκ. θυμῷ*. ι', 501 etc. — *ἦ ὅτι δὴ ῥυπόω*, *num propterea quia nunc squaleo?* sic A. 4., W, B. A. 2. et 3.: ἦ ὅ. οὐ ῥυπόω, quod ineptum est. Ald. 3. mendose: ἢ ὅτι τι ῥυοπόω. aliae quaedam edd. apud Barn.: ἦ ὅ. τοι ῥυπόω. vulgo:

τοιοῦτοι πτωχοὶ καὶ ἀλήμονες ἄνδρες ἔασι.
καὶ γάρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
ὄλβιος ἀφνειὸν, καὶ πολλάκι δόσκον ἀλήτῃ
τοίῳ, ὁποῖος ἔοι, καὶ ὅτευ κεχρημένος ἔλθοι·
ἦσαν δὲ δμῶες μάλα μυρίοι, ἄλλα τε πολλὰ,
οἷσίν τ' εὖ ζώουσι, καὶ ἀφνειοὶ καλέονται.
ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων· ἤθελε γάρ που.
* τῷ νῦν μήποτε καὶ σὺ, γύναι, ἀπὸ πᾶσαν ὀλέσσῃς
* ἀγλαΐην, τῇ νῦν γε μετὰ δμωῇσι κέκασσαι,
ἤν πώς τοι δέσποινα κοτεσσαμένη χαλεπήνῃ,
ἢ Ὀδυσεὺς ἔλθῃ· ἔτι γὰρ καὶ ἐλπίδος αἶσα.
εἰ δ' ὁ μὲν ὣς ἀπόλωλε, καὶ οὐκέτι νόστιμός ἐστιν,
ἀλλ' ἤδη παῖς τοῖος Ἀπόλλωνός γε ἕκητι,
Τηλέμαχος, τὸν δ' οὔτις ἐνὶ μεγάροισι γυναικῶν
λήθει ἀτασθάλλουσ', ἐπεὶ οὐκέτι τηλίκος ἐστίν."

verbis castigat Penelope famulam impudentem.

Ὣς φάτο· τοῦ δ' ἤκουσε περίφρων Πηνελόπεια.

ἢ ὅτι οὖ λιπόω; quam διττογραφίαν ita explicant Am. Q. et Sch.: ἤτοι τῇ πιμελῇ λελίπασμαι. — ἀλήμονες, ἀλῆται. ξ', 126 etc.

75 — 80. ρ', 419 — 424.

81, 82. πᾶσαν. quidam libri, teste Barn.: πάμπαν, Ap. autem: ἀγλαΐας. τὰς καλλονὰς κ. τοὺς κόσμους· ἀγλαΐας, τῆς νῦν γε μετὰ δμωῇσι κέκασται. voluit τῆς — κέκασσαι. minime mala est haec scriptura, modo accipias πάμπαν ex illis codicibus, quos dixi. sic ρ', 244.: τῷ κέ τοι ἀγλαΐας γε διασκεδάσειεν ἁπάσας, Τὰς νῦν ὑβρίζων φορέεις, quod fortius et magis sonorum quam si dixisset ἀγλαΐην — ἅπασαν, similiterque aliis in locis habet εὐφροσύνας, ἱπποσύνας, ἀφραδίας etc. cf. 523. — κέκασσαι. δ', 725 etc.

83. vulgo: μήπως τοι δέσποινα. sed Harl.: μήπως. ἤν πως ἡ γραφή· (scriptum κατ' ἐξοχὴν dictum, h. e. liber quidam praestans, cui Scholiastes opponit deteriores codices, τὰ εἰκαιότερα, quemadmodum scripta sacra vulgo appellari solent αἱ γραφαὶ [Evang. Matth. 21, 42 etc.], *die Schrift, l'écriture.*) τὰ δὲ εἰκαιότερα, μήπως. ita haec cohaerent, quae ante ἀσύστατα erant, verbis μήποτε et μήπως male collisis. quod qui excusabit versu 20. superioris libri, ei respondeam, ne illum quidem versum videri nunc mihi incorruptum, sed scribendum μήτε χολώσῃς pro μή με χ., quae quam sit facilis emendatio, sciunt codicum gnari. quemadmodum et η, μ et ν litteras commutari inter se, tralaticium est; quod hic factum esse fatebimur, nec horridum modum dicendi mordicus tenebimus, oblato meliore optimi libri, quamvis reperiantur exempla quaedam duplicis apodoseos, sed vel alius generis, vel iis in locis, in quibus, consentientibus libris, ferenda sunt. v. inferius 121, 122, 143 — 146, 239, 240, Il. ο', 31 — 33 etc.

84—88. ἔτι — αἶσα. π', 101. — νόστιμος, *redux.* — τοῖος —, τὸν δὲ, τοῖος, ὃν δή. — Am. Q.: Ἀπόλλωνός γε ἕκητι. ἐπειδὴ τῶν ἀῤῥένων κουροτρόφος ὁ θεός. τοὺς γὰρ κτεῖναι δυναμένους καὶ σώζειν εἰκός. διὸ κουροθάλεια καλεῖται ἡ δάφνη, διὰ τὸ κουροτρόφον τοῦ Ἀπόλλωνος. eadem fere habet E. quibus haec subjecit: καθὰ καὶ ὁ Ποσειδῶν σεισίχθων τέ ἐστι (v. α', 74 etc.), κ. τὸ ἐναντίον γαιήοχος (α', 68 etc.) κ. ἀσφάλιος, κ. Ἄρτεμις δὲ, ἀγανοῖς καὶ αὐτὴ βέλεσι (ε', 124.) κτείνουσα, καὶ αὖθις λοχεία, ὡς ἐπιστατοῦσα ταῖς λεχοῖς. hoc quidem seriore demum tempore, velut apud Euripidem non uno loco, et Callimachum hymno in Dianam 22. Ἐλειθυίας hic noster novit, Junonis filias: v. Il. λ', 270. — ἀτασθάλλουσα, *praevaricata.* σ', 57. — Am. B.: τηλίκος. τοιοῦτος τῆς ἡλικίας, ὡς ἀγνοεῖν τὰ γινόμενα. v. ann. ad α', 297.

ἀμφίπολον δ' ἐνένιπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
„Πάντως, θαρσαλέη, κύον ἀδδεὲς, οὔτι με λήθεις
ἔρδουσα μέγα ἔργον, ὃ σῇ κεφαλῇ ἀναμάξεις!
πάντα γὰρ εὖ ᾔδησθ', ἐπεὶ ἐξ ἐμεῦ ἔκλυες αὐτῆς,
ὡς τὸν ξεῖνον ἔμελλον ἐνὶ μεγάροισιν ἐμοῖσιν
ἀμφὶ πόσει εἴρεσθαι, ἐπεὶ πυκινῶς ἀκάχημαι."
Ἦ ῥα, καὶ Εὐρυνόμην ταμίην πρὸς μῦθον ἔειπεν·
„Εὐρυνόμη, φέρε δὴ δίφρον καὶ κῶας ἐπ' αὐτοῦ,
ὄφρα καθεζόμενος εἴπῃ ἔπος ἠδ' ἐπακούσῃ
ὁ ξεῖνος ἐμέθεν· ἐθέλω δέ μιν ἐξερέεσθαι."
Ὣς ἔφαθ'· ἡ δὲ μάλ' ὀτραλέως κατέθηκε φέρουσα
δίφρον ἐΰξεστον, καὶ ἐπ' αὐτῷ κῶας ἔβαλλεν.
* ἔνθα καθέζετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·

colloquuntur Ulysses et Penelope.

τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
„* Ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή·

90. ita codd. A. 2 et 3. vulgo: *ἐνένιπτεν*. A. 4.: *ἐνένισπεν*, ut 65.

91—95. *κύον ἀδδεές*. σ', 337, Il. ϑ', 422, φ', 481. E: *ἀδεὴς μὲν ὡς οἷον εἰπεῖν ἡ ἄφετος καὶ ἄδετος· τοιοῦτος γὰρ ἅπας ὁ μὴ δέος ἔχων. ἡ δ' αὐτὴ καὶ θερμὴ κ. θερμὸν ἔργον δρῶσα κατὰ τὸν Κωμικόν*. (Plut. 411. — *μέγα ἔργον*. h. e. *δεινὸν*, ut λ', 271, ubi v. ann.) — *τὸ δὲ ἀναμάξεις ἀντὶ τοῦ προστρίψεις, σαφέστερον δὲ ἀντὶ τοῦ προσκολληθῆναι ποιήσεις αὐτῇ τῇ σῇ κεφαλῇ. καὶ ἔστιν εὑρεῖν τοιαύτην ἔννοιαν καὶ παρὰ τῷ Σοφοκλεῖ* (El. 421, 22.), *ἔνθα φαίνεται ταῖς πεφονευμένων κεφαλαῖς ἐναπομάττεσθαι τὸ ἐν τοῖς ξίφεσιν αἷμα, ὡς εἰς κεφαλὴν δῆθεν ἐκείνοις τρεπομένου τοῦ κακοῦ* etc. Montbel.: „*Tu le paieras de ta tête.* Mot à mot, *tu l'essuieras*, ou *tu le frotteras avec ta tête.* Eustathe dit que cette métaphore est tirée de l'usage qu'avaient les meurtriers d'essuyer leurs glaives à la tête de celui qu'ils avaient tué, comme l'indique un passage de Sophocle. (Eust. p. 1857, 3.) Peut-être vaut-il mieux dire tout simplement que cette métaphore est particulière à la langue grecque, et qu'on en trouve de semblables dans toutes les langues. C'est ainsi que nous disons en français *essuyer un affront*, *se laver d'un crime* (germ. *einen Schimpf abwaschen*, *sich von einem Verbrechen reinigen.*) Clarke cite un passage d'Hérodote (1, 155., ubi v. Bähr. et, quem laudavit, Creuzer. ann. ad Procli Comment. in Plat. Alcib., t. 1., pag. 300.) où la même expression est employée, et dans le même sens (*τὰ μὲν γὰρ πρότερον ἐγώ τε ἔπρηξα, καὶ ἐγὼ ἐμῇ κεφαλῇ ἀναμάξας φέρω.*); Ernesti un passage de Josèphe (Antiqu. Jud. 18, 6, 10)." Soph. l. c. de Agamemnone: *ἐμασχαλίσθη, κἀπὶ λουτροῖσιν κάρᾳ Κηλῖδας ἐξέμαξεν*, et *lustrationis causa* Clytaemnestra *capite* ejus *abstersit guttas* sanguinis. ibi Musgrav.: „fecisse hoc videntur homicidae, velut testantes, eum, quem occiderant, proprii sceleris debitas poenas dedisse; unde phrasis *tuo capite absterges*. Hom. Od. τ', 92.: ὃ *σῇ κεφαλῇ ἀναμάξεις*" etc. Evang. Matth. 27, 24. et 25.: *ἰδὼν δὲ ὁ Πιλάτος, ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου, λέγων· Ἀθῶός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε. Καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπε· Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν!* — *πάντα*, *omnem hanc rem*, quod convenire volui hospitem, quem tu expellere conaris domo. — Sch.: *πυκινῶς. ἀντὶ τοῦ πάνυ.* v. Schn. v. *πυκνός.* — *ἀκάχημαι.* ϑ', 314.

102. v. 59.

104. *τὸ μὲν, τοῦτο μέν.* — *αὐτὴ* quam vim habeat, non intelligo, malimque et hic et 509. *ἄντην*, *coram*, ut Il. ο', 247.: *τίς δὲ σύ ἐσσι, φέριστε θεῶν, ὅς μ' εἴρεαι ἄντην;* et saepius *νεικεῖν, εἰσιδεῖν, ἀγαπάζειν, τινὰ ἄν-*

τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;“

genus et patriam dicere Ulysses recusat, ne dolori indulgens molestus sit ancillis et ipsi Penelopae.

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ὦ γύναι, οὐκ ἄν τίς σε βροτῶν ἐπ' ἀπείρονα γαῖαν
νεικέοι· ἦ γάρ σευ κλέος οὐρανὸν εὐρὺν ἱκάνει,
* ὥστε τευ ἢ βασιλῆος ἀμύμονος, ὅστε, θεουδὴς
ἀνδράσιν ἐν πολλοῖσι καὶ ἰφθίμοισιν ἀνάσσων,
εὐδικίας ἀνέχησι· φέρησι δὲ γαῖα μέλαινα
πυροὺς, καὶ κριθὰς, βρίθησι δὲ δένδρεα καρπῷ,
τίκτει δ' ἔμπεδα μῆλα, θάλασσα δὲ παρέχει ἰχθῦς,
ἐξ εὐηγεσίης, ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ.

την. v. Il. κ', 158, τ', 15 etc. proclive fuit librariis permiscere haec vocabula propter similitudinem ν et υ litterarum in codd., de qua Porsonus ann. ad Orestem et Phoenissas. idem ad Hecubam, 333.: „Omnes τολμᾷ, cui literulam addidi. *Facillime enim ν omittitur, cum in MSS. saepe per tenuem lineolam significetur.*“ ea lineola cum vel evanuisset, vel forte neglecta esset, ex industria mutaverint ἄντη, posuerintque, quod certe sensum haberet, αὐτή: vel etiam αὔτην scriptum invenientes αὐτὴ requiri sibi persuaserint librarii et correctores.

105. α', 170, κ', 325 etc.

107, 8. ἐπ' ἀπείρονα γαῖαν, ἐν ἀπείρονι γαίῃ, ut ρ', 386.: οὗτοι γὰρ κλητοί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν, et Il. η', 446.: Ζεῦ πάτερ, ἦ ῥά τίς ἐστι βροτῶν ἐπ' ἀπείρονα γαῖαν, Ὅστις ἔτ' ἀθανάτοισι νόον κ. μῆτιν ἐνίψει; quod alias dicit κατ' ἀπ. γ., velut ρ', 418. — E: νεικέοι. τουτέστι φιλονείκως μέμφοιτο, ἀλλὰ δηλαδὴ ἐν πολλῷ ἐπαίνῳ θείη. sapientiam laudat uxoris, quam regi praestanti comparat; cupitque, pari nunc illam se praeditam ostendere temperantia modestiaque, ne exquirat ea, quibus contristetur hospes, cujus querelae atque lamentationes et ipsi et ancillis taedium sint allaturae.

109. locus depravatus. nam quis audiat Am. Q., ita haec exponentem: τὸ ἢ ἀντὶ τοῦ καὶ, ὡς εἶναι, ὥσπερ καί τινος ἀμώμου? vel Eustathium, qui sic: εἰ δὲ ἦν εἰπεῖν, ὥστε τευ ἢ βασιλῆος ἀμύμονος, ἠὲ θεοῖο, ἀλλὰ τοῦτο μέγα (h. e. δεινὸν) κρίνας, κ. οὐδὲ ἔξω κολακείας ἀκαίρου, ἀφῆκε μὲν οὕτω ποιῆσαι, ἠγάπησε δὲ παραμίξαι τῷ ἀγαθῷ βασιλεῖ τὸν θεὸν ἐν τῷ ὅστε θεουδής (!)? imo hoc, ni fallor, dixit poëta: ὥστ' ἐτεὸν βασιλῆος ἀμύμονος, i. e. ἐτεὸν ἀμύμονος, *vere irreprehensi*, vere probi; vel potius, quoniam ἀμύμων est ex iis epithetis, quae fere non sunt proprie intelligenda, sed dignitatem significant, ἐτεὸν βασιλῆος, *vere regis*, h. e. ejus, qui rex sit, reprehensione carens, nec nomine tantum regis appellatus. poterat id uno verbo dicere ἐτεοβασιλῆος, ut Ἐτεόκρητες inferius 176, ubi v. annotata ab Eustathio, Ἐτεοβουτάδαι ap. Schol. Aristophanis Concion. 18., ἐτεοδμὼς apud Hesychium, ἐτεόκριθον ap. Theophrastum; sed bene se habet ἐτεὸν βασιλῆος, intellecto ὄντος, cujus participii ellipsin haud insolitam illustrarunt Matth. §. 563. et Grammatici. — θεουδής. 364, ζ', 121.

111—114. εὐδικίας, εὐδικίην, ut ἀγλαΐας etc. v. ann. ad 82. Am. B: δικαίας κρίσεις. τὸ δὲ ἀνέχησι (sic, ut vulgo libri et E; sed Ald. 3., Steph., Bergler., W, B: ἀνέχησι, φέρησι, βρίθησι. v. Il. ε', 6, Matth. §. 195, 7.) αὔξει, ἀνυψοῖ. — βρίθησι, *gravatur*, exuberat. ι', 219 etc. — τίκτει δ' ἔμπεδα μῆλα. ordo: μῆλα δὲ τ. ἔμπεδα, *pecudesque pariunt robusta*, h. e. robustam sive incolumem prolem. *maturos partus* simili sensu dixit Horatius carm. sec. 13. E: τὸ δὲ ἔμπεδα διαστέλλει τὴν ἀγαθὴν γέννησιν τῶν μήλων πρὸς τὰ ἀμβλούμενα· ἐκεῖνα γὰρ πίπτει νεκρὰ κ. οὐχ οἷα, περὶ γῆν πεσόντα, εἶτα ἔμπεδα στάντα ὑποσκιρτᾶν. maluit Rhianus ἄσπετα, quod reddidit Voss.: *haüfig gebiert auch das vieh.* — Sch.: εὐηγεσίης. τῆς εὐδαιμονίας. ἢ τῆς εὐαρχίας, παρὰ τὸ εὖ ἡγεῖσθαι. κακῶς δ' οἱ σὺν τῷ ρ γράφοντες (ut Am. Q.) εὐηργεσίης. A. 2.: εὐεργασίης. ali-

τῷ ἐμὲ νῦν τὰ μὲν ἄλλα μετάλλα σῷ ἐνὶ οἴκῳ,
μηδ' ἐμὸν ἐξερέεινε γένος καὶ πατρίδα γαῖαν,
μὴ μᾶλλόν μοι θυμὸν ἐνιπλήσῃς ὀδυνάων,
μνησαμένῳ· μάλα δ' εἰμὶ πολυστόνος. οὐδέ τί με χρὴ
οἴκῳ ἐν ἀλλοτρίῳ γοόωντά τε, μυρόμενόν τε,
ἧσθαι, ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί·
μήτις μοι δμωῶν νεμεσήσεται, ἠὲ σύγ' αὐτὴ,
φῇ δὲ δακρυπλώειν βεβαρηότα με φρένας οἴνῳ."

quot edd.: εὐεργ., ut A. 3.; sed ibi superscriptum est εὐηγεσίης. Porsonus ex Harlejano ultima tantum illa protulit: κακῶς δὲ οἱ — εὐηργεσίης. — Am. 2: ἀρετῶσι (θ', 329). ἐν ἀρετῇ ὦσι, (hoc dederunt pro εἰσὶ, quoniam legebant in libris suis conjunctivos ἀνέχῃσι, φέρῃσι, βρίθῃσι, quemadmodum A. 4. habet etiam παρέχῃ.) καλῶς προύχοντος ἡγεμόνος. ἢ, ἐν ἀρετῇ κ. εὐδαιμονίᾳ διάγουσι. Sch., apud quem legitur posterior harum interpretationum: διάγωσι. Montbel.: „*Vous êtes comme un prince irréprochable, qui, plein de respect envers les dieux*, etc. Platon (Reip. 2., t. 6, p. 218 ed. Bipont.), qui veut qu'on n'aime la justice que pour elle-même, blâme notre poète de ce qu'il nous représente les biens matériels comme la conséquence de la justice d'un roi. C'est être bien rigoriste. Homère ne dit pas ici qu'on doive être juste à cause du bien qui peut en revenir; il peint seulement les avantages, même matériels, qui résultent d'une administration juste. Or il est très-moral de prouver qu'une conduite selon la justice est non seulement la meilleure, mais encore la plus avantageuse. Platon lui-même, en donnant la justice pour base à sa ville (république) imaginaire, qu'a-t-il voulu, sinon procurer à ses habitants le plus de bonheur possible? — Horace (Od. 4, 5, 17) semble avoir voulu imiter ce passage dans sa description du règne d'Auguste: *Tutus bos etenim rura* (imo: *tuta*. v. nos ann. ad h. l. et Od. 1, 1, 17. in Feana ed. Horatii.) *perambulat; Nutrit rura Ceres, almaque Faustitas; Pacatum volitant per mare navitae.*" manifesto haec imitatus est Hesiodus Op. et D. 225.: οἳ δὲ δίκας ξείνοισι καὶ ἐνδήμοισι διδοῦσιν Ἰθείας, καὶ μήτι παρεκβαίνουσι δικαίου, Τοῖσι τέθηλε πόλις, λαοὶ δ' ἀνθεῦσιν ἐν αὐτῇ. — Τοῖσι φέρει μὲν γαῖα πολὺν βίον· οὔρεσι δὲ δρῦς Ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας· Εἰροπόκοι δ' ὄϊες μαλλοῖς καταβεβρίθασι etc. quae itidem Plato posuit l. c., ut Cl. annotavit. superioribus haec subjecit Montbel.: „Au reste, je soupçonne un peu les vers 111—4 d'être d'une composition moderne. On conçoit bien que sous un règne paisible les vaisseaux marchands parcourent la mer, comme le dit Horace, mais non que la mer renferme plus ou moins de poissons, θάλασσα δὲ παρέχει ἰχθῦς." ingeniosius quam verius hoc dixit vir praestans, cum minus animadverteret, τὸ τὴν θάλασσαν παρέχειν ἰχθῦς consequens esse ejus, quod intelligendum est κατὰ τὸ σιωπώμενον, ut multa apud hunc nostrum, tuta esse littora sub justo eodemque sapiente rege, mareque navigatum a piscatoribus atque mercatoribus, qui undique afferant merces suas. neque enim justitiam modo regis eximii celebrat, sed etiam sapientiam gubernandi, τὴν εὐηγεσίαν. delectatus autem copiis marinis est Homerus, insulanus homo vel littoreus, non item mediterraneus poëta Ascraeus, qui navigare negat populos regum proborum l. c. 236.: θάλλουσιν δ' ἀγαθοῖσι διαμπερὲς, οὐδ' ἐπὶ νηῶν Νείσονται, καρπὸν δὲ φέρει ζείδωρος ἄρουρα. — παρέχει primam producit, ut ἀπονέεσθαι β', 195, propter ictum metricum, ρ quoque littera adjuvante. cf. 155 etc.

177. libri παρηχήσει inepta et cum homoeoteleuto, minusque ἐμφατικῶς, numeris autem deterioribus: μή μοι μᾶλλον θυμὸν ἐν. ὀδ.

118—122. πολύστονος, *multum gemens.* passivo sensu dixit Ἔριν πολύστονον Il. λ', 73, ἰὸν πολύστονον ibidem ο', 451 et πολύστονα κήδεα α', 445. quare accentum mutavimus. — γοόωντά τε, μυρ. τε. similiter Il. χ', 427.: κλαίοντέ τε, μυρομένω τε. — ἐπεὶ — αἰεί. σ', 173. — μήτις — οἴνῳ. apodosis duplex. v. 83. δμωῶν. mendose A. 2.: δαναῶν. — φῇ — οἴνῳ. hoc est illud, quod in potore quodam dixit epigrammatarius nostras, Hau-

queritur regina fortunas suas; dein pergit exquirere, cujatis sit.

Τὸν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
„ξεῖν', ἦτοι μὲν ἐμὴν ἀρετὴν, εἶδός τε, δέμας τε,
ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον
Ἀργεῖοι, μετὰ τοῖσι δ' ἐμὸς πόσις ἦεν Ὀδυσσεύς.
εἰ κεῖνός γ' ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτω.
νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων.
ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε, Σάμῃ τε, καὶ ὑλήεντι Ζακύνθῳ,
οἵ τ' αὐτὴν Ἰθάκην εὐδείελον ἀμφινέμονται,
οἵ μ' ἀεκαζομένην μνῶνται, τρύχουσι δὲ οἶκον.
τῷ οὔτε ξείνων ἐμπάζομαι, οὔθ' ἱκετάων,
οὔτε τι κηρύκων, οἳ δημιοεργοὶ ἔασιν,
ἀλλ', Ὀδυσῆ ποθέουσα, φίλον κατατήκομαι ἦτορ.
οἱ δὲ γάμον σπεύδουσιν· ἐγὼ δὲ δόλους τολυπεύω.
φᾶρος μέν μοι πρῶτον ἐνέπνευσε φρεσὶ δαίμων,
στησαμένῃ μέγαν ἱστὸν, ἐνὶ μεγάροισιν ὑφαίνειν,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ' αὐτοῖς μετέειπον·
„„κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεὺς,
μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰσόκε φᾶρος
ἐκτελέσω, μή μοι μεταμώνια νήματ' ὄληται,
Λαέρτῃ ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
Μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο·

gius: *er schlägt sein Wasser durch die Augen ab.* memoriter Aristoteles Problem. sect. 30.: *καί μέ φησι δακρυπλύνειν βεβαρημένον οἴνῳ*, ne quis requirat conjunctivum, et numeros restituendos putet ita scribendo: *καί με δακρ. φῆσιν βεβ. ο.* Am. 2: *δακρυπλώειν. σύνθετον τὸ δακρ.* (scripserunt scil. nonnulli: *δάκρυ πλώειν.*), *οἷον δάκρυσι πληθύνειν. τὸ δὲ πλώω πολλάκις τὸ πλήθειν σημαίνει.*

124—129. σ', 250—255.

130—133. α', 245—248, π', 123, 124. — *ἀμφινέμονται.* Il. σ', 186. — *ἀεκαζ.* υ', 277. „Harl. ad 130.: *ἠθέτηνται λ'. ἐν δὲ τοῖς πλείστοις οὐδὲ ἔφερον (ἐφέροντο).* sed miram stragem edere voluerunt quicunque tot versus ejecere. praeterea non coït sententia 30 tantum versibus expulsis, sed duo praeterea, 160, 161, abigantur necesse est, et legamus *λβ'*. praeterea 136 et 139 agnoscit Aristarchus. quare puto *Λ* mutandum in *Δ*, et suspectos tantum habendos 130—133.“ *Porson.* ne id quidem concedo, siquidem, his versibus inductis, pendebit *οἱ* 137., vel inepte referetur ad hospites suppliceque etc. quare delevi uncinos Wolfianos.

134—138. *ἐμπάζομαι*, *rationem habeo*, curam ago. — Am. 2. *οἱ δημιοεργοὶ* (ρ', 383) *ἔασιν. οἱ δημοσίαν μοι χρείαν ἀγγέλλουσι.* — Harl.: *Ὀδυσῆα ποθεῦσα.* (sic libri praeter Wolfii et Boissonadei.) *Ἀρίσταρχος, Ὀδυσσῆα* (imo *Ὀδυσῆ*, ut *Τυδῆ* Il. δ', 384, *Μηκιστῆ* ib. ο', 339. v. Porson.) *ποθέουσα.* — *κατατήκομαι.* proprie dixit *χιὼν κατατήκετο* 205, *τήκεσθαι* autem figurate 204, θ', 522 etc. — *τολυπεύω*, *struo*, *κατεργάζομαι.* α', 238. — *ἐνέπνευσε.* ι', 381, Il. ρ', 456 etc.

139—156. cf. β', 94—110 cum annotatis, quibus hoc addo, suspicionem nunc mihi movere versum 152. propter conjuncta *ἦλθεν* et *ἐπήλυθον.* quidni enim poëta dixerit, variata oratione: *ἀλλ' ὅτε τέτρατον ἦεν ἔτος?* id sane malim, putoque, librarios per oscitationem scripsisse *ἦλθεν*, ut *ἐπήλυθον.* v. similia loca λ', 294, ξ', 294, α', 16 etc. *ἦεν* hic non significat *actum erat*, ut κ', 469: *ἀλλ' ὅτε δή ῥ' ἐνιαυτὸς ἔην*, sed *agebatur*, ut β', 89.: *ἤδη γὰρ τρίτον ἐστὶν*

μήτις μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσῃ,
αἴ κεν ἄτερ σπείρου κεῖται, πολλὰ κτεατίσσας.““
ὣς ἐφάμην· τοῖσιν δ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκον μέγαν ἱστὸν,
νύκτας δ' ἀλλύεσκον, ἐπὴν δαΐδας παραθείμην.
ὣς τρίετες μὲν ἔληθον ἐγὼ, καὶ ἔπειθον Ἀχαιούς·
ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος, καὶ ἐπήλυθον ὧραι,
μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
καὶ τότε δή με διὰ δμωὰς, κύνας οὐκ ἀλεγούσας,
εἷλον ἐπελθόντες, καὶ ὁμόκλησαν ἐπέεσσιν.
ὣς τὸ μὲν ἐξετέλεσσα, καὶ οὐκ ἐθέλουσ', ὑπ' ἀνάγκης·
νῦν δ' οὔτ' ἐκφυγέειν δύναμαι γάμον, οὔτε τιν' ἄλλην
μῆτιν ἔθ' εὑρίσκω. μάλα δ' ὀτρυνουσι τοκῆες
γήμασθ'· ἀσχαλάᾳ δὲ πάϊς βίοτον κατεδόντων,
γιγνώσκων· ἤδη γὰρ ἀνὴρ, οἷός τε μάλιστα
οἴκου κήδεσθαι, τῷ τε Ζεὺς κῦδος ὀπάζῃ.
ἀλλὰ καὶ ὥς μοι εἰπὲ τεὸν γένος, ὁππόθεν ἐσσί·
οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου, οὐδ' ἀπὸ πέτρης.“

(agitur) ἔτος, τάχα δ' εἶσι (veniet) τέταρτος etc. cf. ω', 288. eandem maculam eluere conati sumus ξ', 290. — μηνῶν — ἐτελέσθη. v. ann. ad κ', 470. — οὐκ ἀλεγούσας, *nihil curantes*, impudentes. cf. 91 etc. — Sch.: ὁμόκλησαν (ξ', 37). ὁμοῦ πάντες ἐπέπληξαν.

158, 59. μῆτιν. γ', 18 etc. — ἀσχαλάᾳ. 534, α', 304. — κατεδόντων. genit. causae.

160, 61. οἷος κήδεσθαι, ut οἷος τελέσαι ἔργον τε, ἔπος τε β', 272. cf. Matth. §. 532. respondent sibi τὲ et τὲ, nec scribendum est, pace egregiorum virorum dixerim, τῷτε Ζεὺς κῦδος ὀπάζει, siquidem hoc dicit regina, virum talem jam esse Telemachum, qualis vel maxime curam rei familiaris gerere possit, et quem Jupiter mactet honoribus. id orator ita dixisset: jam enim is est, qui bene gubernet domum. neque enim revera juvenis jam gubernat domum paternam, nec honore debito fruitur, procis impedientibus. ὀπάζῃ A. 2., Harl.: ὀπάζῃ (η superscripto οι). A. 3.: ὀπάζει. A. 4.: ὀπάζοι. A. 1.: ὀτάζοι pro eodem. vulgo: ὀπάζει, solito errore. E: τὸ ἤδη γὰρ ἀνὴρ, οἷος οἴκου ὀλβίου κήδεσθαι, ἐπαινετικώτερον τοῦ (86.) ἤδη παῖς τοῖος Ἀπόλλωνός γε ἕκητι, κ. ἑξῆς. idem: κῦδος, ἢ ὄλβον. hoc quidem habet MS. Thomae Bentleji. Harl. quoque Schol.: ὄλβον γρ. κῦδος.

162, 3. καὶ ὧς, *etiam sic*, quamvis tam oppressa sim propriis curis molestiisque, ut non videar teneri desiderio, tuas quoque miserias audiendi. cf. 171, 224 etc. — Am. B.: οὐ γὰρ ἀπὸ δρυός. ἐξ ὧν ἐφάτιζον, τουτέστιν ἐνόμιζον, οἱ παλαιοὶ σφὰς αὐτοὺς γεγονέναι. Am. Q.: παλαιφάτου. παλαιὰ φατιζομένης. οἱ γὰρ παλαιοὶ ὑπελάμβανον τοὺς πρὸ αὐτῶν ἐκ δρυῶν κ. πετρῶν γεγενῆσθαι, διὰ τὸ τὰς τικτούσας εἰς τὰ στελέχη κ. σπήλαια ἐκτιθέναι τὰ παιδία. ἔστι δὲ ὁ λόγος, οὐ γὰρ ἐκείνων εἶ σύ. (ἀλλ' ἀνδρῶν γένος ἐσσὶ, quod his subjecit Clemens Alex. Admon. ad Gentes, ut Cl. notavit. Cic. Tuscul. Disp. 3, 6.: *non enim silice nati sumus.* et Acad. Qu. 4.: *non enim est e saxo sculptus, aut e robore dolatus.* E: παροιμιώδης ὁ λόγος, κ. καταφατικῶς (asseveranter) μὲν ἀπὸ δρυὸς ἢ ἀπὸ πέτρης εἶναί τις λέγεται, ὅτε οὐκ ἔστι γένος αὐτοῦ εἰπεῖν· ἀποφατικῶς δέ φαμεν, ὡς οὐκ ἔστι τις ἀπὸ δρυὸς παλαιφάτου ἢ ἀπὸ πέτρης, ὅτε οὐκ ἂν ἔχοι σιγῆσαι, πόθεν ἐστίν. —) εἰς πιθανὸν δὲ (h. e. πιθανῶς: v. Eurip. Or. 696, Viger. 9, 2, 15 etc.), τοὺς πάλαι ἀνθρώπους ἐν ταῖς ἐρημίαις τὰς μίξεις ποιεῖσθαι πλησίον πετρῶν κ. δένδρων. τινὲς δὲ, παλαιφάγου, ἐπειδὴ οἱ παλαιοὶ ἐβαλανοφάγουν· παρὸ καὶ φηγὸς, ὡς φαγός τις οὖσα. similiter Harl. et Sch. quod attinet ad variantem illam scripturam, Ap. quoque emendatus: παλαιφάγου. ὁ Ἀπίων, πάλαι ἐσθιομένης. qui tamen et παλαιφά-

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
οὐκέτ' ἀπολλήξεις τὸν ἐμὸν γόνον ἐξερέουσα;
ἀλλ' ἔκ τοι ἐρέω· ἦ μέν μ' ἀχέεσσί γε δώσεις
πλείοσιν ἢ ἔχομαι. ἡ γὰρ δίκη, ὁππότε πάτρης
ἧς ἀπέῃσιν ἀνὴρ τόσσον χρόνον, ὅσσον ἐγὼ νῦν,
πολλὰ βροτῶν ἐπὶ ἄστε' ἀλώμενος, ἄλγεα πάσχων.
ἀλλὰ καὶ ὣς ἐρέω, ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς."

itaque Ulysses ludit eam ex tempore ficta narratione, itidem se Cretensem esse dicens, Idomenei fratrem, qui Ulyssem, tempestate illuc delatum, hospitio exceperit, cum Trojam proficisceretur.

„Κρήτη τις γαῖ' ἔστι, μέσῳ ἐνὶ οἴνοπι πόντῳ,
καλὴ καὶ πίειρα, περίρρυτος· ἐν δ' ἄνθρωποι
πολλοὶ, ἀπειρέσιοι, καὶ ἐννήκοντα πόληες.
ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη· ἐν μὲν Ἀχαιοὶ,
ἐν δ' Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες,
Δωριέες τε τριχάϊκες, δῖοί τε Πελασγοί.

του habet v. ἀπό. Villoison. priore loco: „quidam legunt παλαιφάγου, quod recte exponi potest πάλαι ἐσθιομένης: alii vero παλαιφάτου, quod Sangermanense lex. MS. explicat: παλαιᾶς κ. ἀρχαίας, περὶ ἧς ἔφασαν ἔκπαλαι μύθους." — alium sensum habent illa Il. χ', 126.: οὐ μέν πως νῦν ἔστιν ἀπὸ δρυὸς, οὐδ' ἀπὸ πέτρης, Τῷ ὀαριζέμεναι, ἅτε παρθένος ἠΐθεός τε. Eichhoff. 162. et 63. adscripsit illis Virgilii, Aen. 8, 314.: *haec nemora indigenae Fauni Nymphaeque tenebant, Gensque virûm truncis et duro robore nata*, ubi v. Heyn. editorem Nicetae Eugeniani p. 79, 441, de locutione ἀπὸ δρυὸς adhiberi jussit B.

166—171. τὸν ἐμὸν γόνον, *illud genus meum; illud*, de quo ante dixisti. haec vis articuli. — ἦ μὲν, ἦ μὴν, *profecto*. Virg. Aen. 2, 3.: *Infandum, regina, jubes renovare dolorem.* — δίκη. 43. — ἀνείρεαι ἠδὲ μετ. α', 231, η', 243 etc.

172—182. „Κρήτη — πόντῳ. Virg. Aen. 3, 104.: *Creta Jovis magni medio jacet insula ponto.*" Cl. — πίειρα, *pinguis*, fertilis. β', 328, Il. σ', 541 etc. — ἐν μὲν, ἐν μέν εισι. E: κάλλους (elegantiae) σχῆμα τὸ ἐν μὲν Ἀχαιοὶ κ. ἑξῆς, καθὰ καὶ τὸ ἐν δ' ἵμερος, ἐν δ' ὀαριστὺς, Πάρφασις (Il. ξ', 216), κ. τὰ τοιαῦτα. Sch.: πολλοὶ, ἀπειρέσιοι. ἐπήνεγκε τῷ πολλοὶ τὸ ἀπειρέσιοι αὐξήσεως ἕνεκεν. E: ἐνενηκοντάπολις δὲ νῦν Κρήτη, ἡ ἐν Ἰλιάδι (β', 649) ἑκατόμπολις, κατὰ περιπέτειαν (ab eventu). ἀναστατωθῆναι γάρ φασι δέκα πόλεις ὑπὸ Ἰδομενέως ἐπανελθόντος ἐξ Ἰλίου, ὅτε Λεῦκος αὐτὸν ἀπήλαυνεν, ὃν, θετὸν παῖδα (adoptivum filium) ὄντα, φύλακα τῆς βασιλείας κατέλιπε, δράκοντα θρεπτὸν, ὡς ὁ Λυκόφρων φησί. τὰς δὲ τοιαύτας δέκα πόλεις προσκτισθῆναί φασιν ὕστερον μετὰ τὰ Τρωϊκά. — ἕτεροι δὲ οὐχ ὁρισμένως ἐκεῖ νοοῦσι τὴν ἑκατόμπολιν, ἀλλ' ἁπλῶς τὴν πολύπολιν· καὶ εἴωθεν οὕτω ποτὲ λαμβάνεσθαι τὸ ἑκατὸν διὰ τὸ πρεσβεῖον τοῦ ἐντελοῦς ἀριθμοῦ κατὰ τὸ ἑκατὸν θύσανοι (Il. β', 448) κ. ἑκατὸν πόλεων πρυλέεσσιν (Il. ε', 744. cf. ann. ad Il. β', 649.) — γλῶσσα. τὴν διάλεκτον γλῶσσαν λέγει. — Μυκηναίους δέ τινες (Sch.) ἐνταῦθά φασι τοὺς Ἀχαιοὺς, εἰπόντες, ὡς μετὰ τὰ Ἰλιακὰ Ταλθύβιος ἐκ Μυκηνῶν ἤγαγεν ἐκεῖ ἀποικίαν. Ἐτεόκρητες δὲ οἱ ἀληθῶς ἢ ἀληθεῖς Κρῆτες. — αὐτόχθονες οὖν οἱ Ἐτ., ἰθαγενεῖς, γνήσιοι τῆς χώρας, λεχθέντες Ἐτεόκρητες ὡς πρὸς τοὺς ἐπήλυδας, καθὰ καὶ τῷ Γεωγράφῳ (Strab. 10, 4., vol. 2. p. 371 ed. Tauchn.) δοκεῖ. — μεγαλήτορας δὲ τοὺς Ἐτεόκρητας λέγει διὰ τὸ ἀνδρείους εἶναι, ὡς ἡ συχνὴ πεῖρα ἐδήλωσε. — de *Cydonibus* v. γ', 292. Am. B: [οἱ] αὐτόχθονες Κύδωνες, ἀπὸ Κύδωνος, τοῦ Ἀπόλλωνος. v. Paus. Arcad. c. 53, Steph. Byz. v. Κυδωνία, et de urbe Cydonia Cellar. 1. p. 1262, 1268. — Sch.: τριχάϊκες. τριχῇ διαιρεθέντες. οἱ μὲν γὰρ Εὔβοιαν κατῴκησαν, οἱ δὲ Πελοπόννησον, οἱ δὲ Κρήτην. Ἀπολλώνιος

τῇσι δ' ἐνὶ Κνωσός, μεγάλη πόλις, ἔνθα τε Μίνως
ἐννέωρος βασίλευε, Διὸς μεγάλου ὀαριστής,
πατρὸς ἐμοῖο πατήρ, μεγαθύμου Δευκαλίωνος·
Δευκαλίων δ' ἐμὲ τίκτε, καὶ Ἰδομενῆα ἄνακτα.
ἀλλ' ὁ μὲν ἐν νήεσσι κορωνίσιν Ἴλιον εἴσω
* ᾤχεθ' ἅμ' Ἀτρείδῃσιν· ἐμοὶ δ' ὄνομα κλυτὸν Αἴθων,
ὁπλότερος γενεῇ, ὁ δ' ἄρα πρότερος καὶ ἀρείων.

δὲ (h. v.) τοὺς πολεμικοὺς λέγει, ἀπὸ τοῦ ἀΐσσοντας κ. ἐπισείοντας τὰς κόμας (τρίχας) ἐν τῇ περικεφαλαίᾳ πολεμεῖν, ἴσον τῷ κορυθάϊκι (Il. χ', 132) etc. Wesseling. ann. ad Diod. Sic. 11, 79.: „a quibusdam 4," inquit, „ab aliis 3, Doricae hae urbes (respublicae) memorantur, uti Thucydide 1, 107. et Nostro cum hic, tum l. 4, 67." Mannert. 8., p. 679. de Eteocretibus: „Vermuthlich kamen sie, sowie ihre Anführer, (? v. Diod. 5, 64.) die Daktylen, aus Phrygien, und der Völkerstamm, zu welchem sie gehörten, ist der thracische. Die *Kydonier*, welche Homer neben ihnen ansetzt, darf man wohl nur als eine Abtheilung der Eteokretes betrachten. (?) Zu diesem Urvolke waren 5 Menschenalter vor dem trojanischen Kriege (sic etiam Bredow. *Handb. der alten Gesch.* p. 281) Achäer, Pelasger und Dorer eingewandert. — Als Anführer der vereinigten, von den Gegenden des Bergs Olympus in Thessalien einwandernden, Haufen wird Tektamus, der Sohn des Dorus und Hellens Enkel, angegeben (Diod. 4, 60); wiewohl andere Nachrichten (Diod. 5, 80) ihn nur zum Anführer der hellenischen Zweige machen, die Pelasger aber als frühere Einwanderer erklären" etc. Diod. Sic. 5, 80: — μετὰ δὲ τούτους (Eteocretes dicit, quorum rex fuisse dicitur Cres, Jovis ex nympha Idaea filius: v. Hederich. *myth. Lex.* v. Cres.) πολλαῖς γενεαῖς ὕστερον Πελασγοὶ πλανώμενοι, διὰ τὰς συνεχεῖς στρατείας κ. μεταναστάσεις καταντήσαντες εἰς τὴν Κρήτην, τῆς νήσου μέρος κατῴκησαν. τρίτον δὲ γένος φασὶ τῶν Δωριέων παραβαλεῖν εἰς τὴν νῆσον, ἡγουμένου Τεκτάμου, τοῦ Δώρου. τούτου δὲ τοῦ λαοῦ μέρος μὲν πλεῖον ἀθροισθῆναι λέγουσιν ἐκ τῶν περὶ τὸν Ὄλυμπον τόπων, τὸ δέ τι μέρος ἐκ τῶν κατὰ τὴν Λακωνικὴν Ἀχαιῶν, διὰ τὸ τὴν ἀφορμὴν τὸν Δῶρον ἐκ τῶν περὶ Μαλέαν τόπων ποιῆσαι. τέταρτον δὲ γένος συμμιγῆναί φασιν εἰς τὴν Κρήτην μιγάδων βαρβάρων, τῶν διὰ τὸν χρόνον ἐξομοιωθέντων τῇ διαλέκτῳ τοῖς ἐγχωρίοις Ἕλλησι etc. v. omnino scriptores rerum Creticarum, quos laudavi ann. ad Il. β', 645. nimis confidenter Knight. ad 177.: „E posterorum," inquit, „pravo amplificandi studio profectus: Dores enim non nisi multa post secula in Cretam venerunt." v. Bredow. l. c. p. 281—285. — Sch.: δῖοι. οἱ εὐγενέστατοι. (?) v. inferius 199, Il. ε', 451, 663, α', 4 etc. — τῇσι. oppidis. — Κνωσός. Il. β', 646. — ἐννέωρος. Ap.: ἐννέωροι (λ', 310). ἐνναετεῖς. ὅταν δὲ λέγει (soloecismus, de quo v. Jacobs. praef. Anthol. Pal. p. 48. et sequ.) ἐν τῇ τ τῆς Ὀδυσσείας ἔνθα τε — ὀαριστής, δι' ἐννέα ἐτῶν λέγων (λέγει) τῷ Διῒ προσομιλεῖν (adde *Μίνωα*, quod rapuerit simile —μιλεῖν), ἢ ἐννέα ἔτη βασιλεύων (—ειν). λέγεται γὰρ ὁ Μίνως δι' ἐννέα ἐτῶν συμμίσγειν τῷ Διῒ κ. ὀαρίζειν, ὅ ἐστι προσομιλεῖν, εἴτε μυθικῶς τοῦ, οὐδὲ διδομένου (scrib. εἴτε μυθ. τοῦδε ᾀδομένου [ΑΙΔΟ . ΕΝΟΥ, ΔΙΔΟΜΕΝΟΥ], ut v. ἄειδε: ᾄδοντα μῦθον, ἀντὶ τοῦ λέγοντα etc.), εἴτε καὶ τῷ ὄντι, καθώς τινες παραδεδώκασι τὸν Μίνωα προσποιούμενον πρὸς τοὺς ἀρχομένους, ὅτι παρὰ τοῦ Διὸς φέροι τὰ προστάγματα κ. τοὺς λόγους αὐτοῖς, ὡς μᾶλλον πείθωνται. ὀαριστὴς δὲ ὁμιλητής. similiter E et Sch., apud quem delenda sunt verba οἱ δὲ ὅτι — ἐπαιδεύθη propter ταυτολογίαν. — κορωνίσιν. 193, Il. α', 170 etc.

183. ita vulgati codd. et E.; sed A. 2.: κλυτός. Sch. quoque: κλυτός. ᾧ ἐκλυόμην κ. ἐκαλούμην ὀνόματι. item Am. B. emend.: ὄνομα κλυτός. ὡς ἐκλυόμην κ. ἐκαλούμην ὀνόματι. quid dubitemus ponere ἐγὼ δ' ὄνομα κλυτὸς Αἴθων, quibus verbis conveniunt subjecta ὁπλότερος γενεῇ? similiter apud Soph. Oed. Col. 844. A Paris. et priscae edd.: ἐμῷ, sed meliores libri: ἐγώ, nec alia harum litterarum permixtarum exempla desunt.

184, 5. ὁπλότερος γενεῇ. Il. β',

ἔνθ' Ὀδυσῆα ἐγὼν ἰδόμην, καὶ ξείνια δῶκα.
καὶ γὰρ τὸν Κρήτηνδε κατήγαγεν ἲς ἀνέμοιο,
ἱέμενον Τροίηνδε, παραπλάγξασα Μαλειῶν·
στῆσε δ' ἐν Ἀμνισῷ, ὅθι τε σπέος Εἰλειθυίης,
ἐν λιμέσιν χαλεποῖσι, μόγις δ' ὑπάλυξεν ἀέλλας.
αὐτίκα δ' Ἰδομενῆα μετάλλα, ἄστυδ' ἀνελθών·
ξεῖνον γάρ οἱ ἔφασκε φίλον τ' ἔμεν, αἰδοῖόν τε.
τῷ δ' ἤδη δεκάτη ἢ ἑνδεκάτη πέλεν ἠὼς,
οἰχομένῳ ξὺν νηυσὶ κορωνίσιν Ἴλιον εἴσω.
τὸν μὲν ἐγὼ πρὸς δώματ' ἄγων εὖ ἐξείνισσα,
ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων·
καὶ οἱ, τοῖς τ' ἄλλοις ἑτάροις, οἳ ἅμ' αὐτῷ ἕποντο,
δημόθεν ἄλφιτα δῶκα καὶ αἴθοπα οἶνον ἀγείρας,
καὶ βοῦς ἱρεύσασθαι, ἵνα πλησαίατο θυμόν.
ἔνθα δυώδεκα μὲν μένον ἤματα δῖοι Ἀχαιοί·
εἴλει γὰρ βορέης ἄνεμος μέγας, οὐδ' ἐπὶ γαίῃ
εἴα ἵστασθαι, χαλεπὸς δέ τις ὤρορε δαίμων.
τῇ τρισκαιδεκάτῃ δ' ἄνεμος πέσε· τοὶ δ' ἀνάγοντο."
Ἴσκε ψεύδεα πολλὰ λέγων, ἐτύμοισιν ὁμοῖα·

707 etc. — ξείνια. ι', 229, Il. κ', 269 etc.

187—202. παραπλάγξασα Μαλειῶν (γ', 287), *postquam illum aberrare fecit, sive depulit, a Malea.* — Am. B.: στῆσε (β', 391 etc.) δ' ἐν Ἀμνισῷ. προσώρμισε. Κνωσσοῦ δὲ ἐπίνειον Ἀμνισός. ἔστι δὲ καὶ ποταμὸς Κρήτης. (cujus ad ostium sita fuit urbs cognominis.) E: Ἀμνισσὸς δὲ Μίνωος ἐπίνειον, ὡς ὁ Γεωγράφος φησί (Strab. 10, 4., vol. 2. p. 372. ed. Tauchn.)· ἕτεροι δὲ Κνωσσοῦ etc. haec non sunt ἀσύστατα. Strabo ibidem: διαφερόντως τὴν Κνωσσὸν καὶ Ὅμηρος ὑμνεῖ, μεγάλην καλῶν (178), καὶ βασίλειον τοῦ Μίνω. — Εἰλειθυίης. Paus. Atticis 18., notante Cellario 1. p. 1276.: Κρῆτες χώρας τῆς Κνωσίας ἐν Ἀμνισῷ γενέσθαι νομίζουσιν Εἰλείθυιαν. cf. Il. λ', 270. — ὑπάλυξεν, *evasit.* δ', 512, ε', 430 etc. — αἰδοῖον. ι', 271 etc. — Sch.: δεκ. ἢ ἑνδεκάτη. ψευδόμενοι ἐπὰν λέγωσί τι μὴ εἰδέναι ἀληθῶς, πιθανώτεροι δοκοῦσιν εἶναι. — ἐνδυκέως, ἐπιμελῶς. η', 256, Il. ψ', 90 etc. — δημόθεν, *de publico.* E: τὸ δὲ δημόθεν δοῦναι ἄλφιτα καὶ οἶνον, κ. ἑξῆς, δηλοῖ, ἔθος εἶναι ξενίζεσθαι δημοσίᾳ τοὺς ἀξίους. οὕτω καὶ Ἀλκίνοος (ν', 13—15) κ. οἱ σὺν αὐτῷ ἄριστοι, ἄνδρακὰς δόντες δῶρα τῷ Ὀδυσσεῖ, ὕστερον ἀγειρόμενοι κατὰ δῆμον ἐποίησαν τὰ ῥηθέντα ἐκεῖ. βοῦς δ' ἱερεῦσαι (β', 56 etc.) καὶ νῦν τὸ σφαγιάσαι. τὸ δὲ πλησαίατο θυμὸν (*explerent animum*) ἴσόν ἐστι τῷ κορέσαιντο. — εἴλει, *urgebat,* coërcebat. λ', 572, μ', 210, Il. θ', 214 etc. — E emend.: τὸ ἄνεμος πέσεν ἀντὶ τοῦ ἐπαύσατο, καινότερον φρασθὲν ἀφελῶς πρὸς ἀκολουθίαν τοῦ ἐστόρεσε δὲ θεὸς πόντον (γ', 158)· ἔνθα γὰρ τὸ στορέσαι κ. στρῶσαι οἰκεῖον, ἐκεῖ καὶ τὸ πεσεῖν. ἀνάγοντο, *solverunt.* Il. α', 478.

203—208. Sch. emend.: ἴσκε (δ', 279, χ', 31, Il. λ', 799 etc.) τινὲς βούλονται τὸ ἔλεγε σημαίνειν· ἄλλοι δὲ τὸ ἤϊσκε, εἴκαζεν, ὡμοίου. (sic Hesych. et Ap. h. v.) τὸ γὰρ ὅλον, πολλὰ ψευδῆ λέγων εἴκαζεν, ὥστε ὅμοια εἶναι ἀληθέσιν. ἀπὸ τοῦ εἴδω, ὁ μέλλων εἴσω. (?) E: τὸ ἴσκεν οἱ μὲν γλωσσογράφοι ἀντὶ τοῦ ἔλεγεν ἐκδέχονται, οἱ δὲ ἀκριβέστεροι ἀντὶ τοῦ ἤϊσκεν, ὅ ἐστιν εἴκαζεν ἀπεικονίζων πρὸς ἀλήθειαν. Apollonius Rhod. 1, 834. de Hypsipyle, quae Jasoni falso narravit, Lemnias mulieres viros insula expulisse, non interfecisse, ut revera fecerant: ἴσκεν, ἀμαλδύνουσα φόνου τέλος, οἷον ἐτύχθη Ἀνδράσιν. ibi Schol. ἴσκεν interpretatur ἔλεγε, sed male: est enim *assimulabat,* fingebat, mentiebatur, caedem virorum extenuans. cui notioni similis est *conjiciendi* sive *suspicandi,* quam habet ap. Simonidem Anthol. Pal. 2. p. 785.: ἢ σεῦ καὶ φθιμένας λεύκ' ὀστέα τῷδ' ἐνὶ τύμβῳ Ἴσκω ἔτι τρομέειν θῆρας,

τῆς δ' ἄρ' ἀκουούσης ῥέε δάκρυα, τήκετο δὲ χρώς.
ὡς δὲ χιὼν κατατήκετ' ἐν ἀκροπόλοισιν ὄρεσσιν,
ἥντ' Εὖρος κατέτηξεν, ἐπὴν Ζέφυρος καταχεύῃ,
τηκομένης δ' ἄρα τῆς ποταμοὶ πλήθουσι ῥέοντες,
ὣς τῆς τήκετο καλὰ παρήϊα δακρυχεούσης,
κλαιούσης ἑὸν ἄνδρα παρήμενον. αὐτὰρ Ὀδυσσεὺς
θυμῷ μὲν γοόωσαν ἑὴν ἐλέαιρε γυναῖκα,
ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἕστασαν, ἠὲ σίδηρος,
ἀτρέμας ἐν βλεφάροισι· δόλῳ δ' ὅγε δάκρυα κεῦθεν.
ἡ δ' ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
ἐξαῦτίς μιν ἔπεσσιν ἀμειβομένη προσέειπε·

veracitatem ejus expertura Penelope quaerit, quo tum habitu atque vestitu fuerit Ulysses.

„Νῦν μὲν δή σευ, ξεῖνέ γ', ὀΐω πειρήσεσθαι,
εἰ ἐτεὸν δὴ κεῖθι σὺν ἀντιθέοις ἑτάροισι
ξείνισας ἐν μεγάροισιν ἐμὸν πόσιν, ὡς ἀγορεύεις.
εἰπέ μοι, ὁπποῖ' ἄσσα περὶ χροῒ εἵματα ἕστο,
αὐτός θ' οἷος ἔην, καὶ ἑταίρους, οἵ οἱ ἕποντο."

vera et de hoc refert Ulysses, et Eurybatis praeconis, qui cum ipso fuerat in bello, speciem describit.

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ὦ γύναι, ἀργαλέον, τόσσον χρόνον ἀμφὶς ἐόντα

ἀγρῶστι Λυκάς. itidemque χ', 31. verba ἴσκεν ἕκαστος ἀνὴρ hoc significant, procos dubitantes varie de facinore Ulyssis conjecisse ac suspicatos esse. ceterum idem est ἴσκειν atque ἐΐσκειν (v. ann. ad Il. λ', 799), nec aliud ἴσκεν h. l. quam *confingebat*. „Virg. Aen. 6, 100.: *obscuris vera involvens.* Plautus Pseud. 1, 4, 8.: *quasi poëta, tabulas cum cepit sibi, Quaerit, quod nusquam gentium est, reperit tamen; Facit illud verisimile, quod mendacium est.* Aristot. Poët. 24.: δεδίδαχε δὲ μάλιστα Ὅμηρος καὶ τοὺς ἄλλους ψευδῆ λέγειν, ὡς δεῖ." E Cl. — τήκετο, κατατήκετο etc. v. 136. — ἀκροπόλοισιν. Il. ε', 523. E emend.: τὸ ἀκρ. ὄρ. ταυτόν ἐστι τῷ κορυφαῖς ὀρῶν, ὡς δῆλον ἐκ τῶν παλαιῶν, παραδόντων, εἰς τρία διαιρεῖσθαι τὸ ὄρος, εἰς ἀκρώρειαν, εἰς ὑπώρειαν, κ. εἰς τέρμα, ὧν τὸ μὲν κορυφὴ, τὸ δὲ πλευρὰ ὄρους, τὸ δὲ τελευταῖον, ὃ καὶ πόδες etc. Ap.: ἀκροπόλοις. ἐρήμοις. ὧν περὶ τὰ ἄκρα πολεῖ τὰ ζῶα. quae mutila sunt, et supplenda atque scribenda in hunc modum: ἀκροπόλοις. ὧν — ζῶα. οἰοπόλοις δὲ (λ', 573) ἐρήμοις. — ποταμοὶ — ῥέοντες. Il. π', 389. — παρήϊα. χ', 404, Il. π', 159, ubi v. ann. alio sensu dixit παρήϊον ἵππων Il. δ', 142.

210—218. ordo: θυμῷ μὲν ἐλέαιρε γυναῖκα etc., non θυμῷ γοόωσαν. opponit animo commoto immotos, velut cornu aut ferrum, oculos Ulyssis. Sch.: κέρα. τόξα, (?) ἵνα ᾖ τεταμμένους εἶχε τοὺς ὀφθαλμοὺς, ὥσπερ τόξα. ἢ ἄλλως (idque rectius), τὴν φύσιν τοῦ κέρατος περιέλαβε· σκληρὸν γάρ. B: „Opportune contulit Caecilius Metellus hunc versum de arcu, ex hispanico anglicum factum: *her hair is white as silver; like horn her glazed eye.*" Eichh. haec subscripsit illis Maronis Aen. 4, 331: *dixerat; ille Jovis monitis immota tenebat Lumina, et obnixus curam sub corde premebat.* cf. et inferius 494. — τάρφθη. significatur voluptas illa, quae satietatem comitari solet, quasi dicas germanice *nachdem sie sich sattgeweint.* v. ann. ad ζ, 99. — γόοιο. genit. causae. — ἄσσα. ita W et B. vulgo: ἅσσα, ut ε', 188 etc.; nec aliter Ap. v. ἅσσα, ubi haec laudavit. v. Matth. §. 151, ann. 2.

221—233. ἀμφὶς ἐόντα Ὀδυσσέα, h. e. χωρὶς, separatum a me, profectum; vel ἐόντα με, separatum me ab illo. —

εἰπέμεν· ἤδη γάρ οἱ ἐεικοστὸν ἔτος ἐστὶν,
ἐξ οὗ κεῖθεν ἔβη, καὶ ἐμῆς ἀπελήλυθε πάτρης.
ἀλλὰ καὶ ὥς ἐρέω, ὥς μοι ἰνδάλλεται ἦτορ.
χλαῖναν πορφυρέην οὔλην ἔχε δῖος Ὀδυσσεὺς,
διπλῆν· αὐτάρ οἱ περόνη χρυσοῖο τέτυκτο
αὐλοῖσιν διδύμοισι. πάροιθε δὲ δαίδαλον ἦεν·
ἐν προτέροισι πόδεσσι κύων ἔχε ποικίλον ἐλλὸν,
ἀσπαίροντα λάων. τὸ δὲ θαυμάζεσκον ἅπαντες,
ὡς οἱ χρύσεοι ὄντες ὁ μὲν λάε νεβρὸν ἀπάγχων,
αὐτὰρ ὁ ἐκφυγέειν μεμαὼς ἤσπαιρε πόδεσσι.
τὸν δὲ χιτῶν' ἐνόησα περὶ χροῒ σιγαλόεντα,
οἷόν τε κρομύοιο λοπὸν κάτα ἰσχαλέοιο,
τὼς μὲν ἔην μαλακός· λαμπρὸς δ' ἦν, ἠέλιος ὥς·
ἦ μὲν πολλαί γ' αὐτὸν ἐθηήσαντο γυναῖκες.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
οὐκ οἶδ', εἰ τάδε ἕστο περὶ χροῒ οἴκοθ' Ὀδυσσεὺς,
ἤ τις ἑταίρων δῶκε θοῆς ἐπὶ νηὸς ἰόντι,
ἤ τίς που καὶ ξεῖνος, ἐπεὶ πολλοῖσιν Ὀδυσσεὺς
ἔσκε φίλος· παῦροι γὰρ Ἀχαιῶν ἦσαν ὁμοῖοι.

καὶ ὥς. 162. A. 2. et 3.: *αὐτάρ τοι ἐρέω*, quae *διττογραφία* placuit Altero. Ald. 3: *α. ἐγὼν ἐρέω.* E: *ἰνδάλλεται. φαντάζεται, ἀνειδωλοποιεῖται. ἅπερ εἴποι ἂν ὁ δυσχερῶς μεμνημένος τινός.* — *οὔλην, διπλῆν*, *villosam, duplicem.* δ', 50 etc. Il. κ', 133.: *ἀμφὶ δ' ἄρα χλαῖναν περονήσατο φοινικόεσσαν, Διπλῆν, ἐκταδίην, οὔλη δ' ἐπενήνοθε λάχνη.* v. et ibi ann., et ad Il. γ', 126, item inferius 246. E: *τὸ δὲ διπλοῦν αὐτῆς κ. ἡ μία περόνη μανδυοειδῆ αὐτὴν εἶναι δηλοῖ, οὐ κύκλῳ ἀμπέχουσαν, ἀλλὰ διπλουμένην* (*umgeschlagen*) *κατὰ τὸ ἔμπροσθεν κ. ὄπισθεν διὰ τῶν ἀριστερῶν, ἀφιεῖσαν δὲ ἄνετα τὰ δεξιά.* (v. ann. ad Il. β', 183.) — *αὐλοὶ δὲ, φασὶν, ἐνταῦθα ῥαβδοειδεῖς τινες ἀνατάσεις εὐθεῖαι, εἰς ἃς κατακλείονται αἱ περόναι, ἃς διὰ τοῦτο καὶ κληῖδας εὐγνάμπτους ἔφη πρὸ μικροῦ* (σ', 293). — *ποικίλον*, *variegatum*, maculosum. Voss.: *und vorn war prangendes stickwerk: Zwischen den vorderklauen des wild anstarrenden hundes Zappelt' ein fleckiges rehchen.* idem *Myth. Forsch.* p. 295.: „Stickarbeit war gewiss Aarons Gürtel Exod. 28, 39. — Es darf nicht auffallen, dass das Wort רָקַם, *bunt*, oder *vielfach* machen, wie *ποικίλλειν*, auch die Bedeutung *kunstreich* bilden annahm, Psalm. 139, 15. Bunt wirkten auch Homers Heldinnen, Il. 22, 441; aber des Odysseus Purpurmantel, vorn mit Lebensbildungen von Goldfäden, war doch wahrscheinlich gestickt, Odyss. 19, 228—231; sicher war es der buntfarbige Gürtel der Afrodite, Il. 14, 214—217" u. s. w. — *λάων*, *intuens*, a verbo obsoleto *λάειν*, *videre*, unde *ὀξὺ λάων* hymno in Merc. 360. Sch.: *λάων. ὁ μὲν Ἀρίσταρχος ἀπολαύων, ἀπολαυστικῶς ἔχων· ὁ δὲ Κράτης λάων, φησὶν, ἀντὶ τοῦ βλέπων, ὅθεν κατὰ στέρησιν ἀλαὸς ὁ τυφλὸς* etc. Cratetis interpretationem merito probat Ap. v. *λάων*, sed perperam dicit *τὴν ἐντετορνευμένην πόρπην τοῦ Ὀδυσσέος.* — *ἀπάγχων*, *suffocans. ἄγχειν, angere*, dixit Il. γ', 371. — *ἤσπαιρε*, *palpitabat.* χ', 473, Il. ν', 571, 573. — *σιγαλόεντα.* ζ, 26. — *κρομύοιο*, *cepae.* Il. λ', 630. E emend.: *κρομύου δὲ λοπὸς λέπυρον* (tunicam), *παρὰ τὸ λέπω· καὶ τούτου οὐ χλωροῦ, παχὺς γὰρ ὁ τοιοῦτος, ἀλλὰ ἰσχαλέου* (aridi). *τοῦτο δὲ, φασὶ, πρὸς τὸ εὔτονον ἐῤῥέθη* (imo a mollitie: *τὼς μὲν ἔην μαλακός.*) *τοῦ χιτῶνος κ. ἰσχνόν* (tenuitatem)· *ὁ γὰρ χλωρὸς λοπὸς οὐκ εὐτόνως ἔχει.* (Sch.: — *εἴρηται δὲ πρὸς τὸ ἰσχνὸν κ. εὔτονον, παρὰ τὸν ὑμένα τοῦ λεπίσματος.*) *ἰστέον δὲ, ὅτι τὸ ῥηθὲν λέπυρον καὶ λεπύχανόν φασιν εὑρῆσθαι παρὰ Θεοπόμπῳ τῷ Κωμικῷ, εἰπόντι ὡς ἐκ προσώπου τοῦ Ὀδυσσέως τὸ, χιτῶνά μοι φέρων δέδωκας δαίδαλον, Ὃν*

* καί οἱ ἐγὼ χάλκειον ἄορ καὶ δίπλακα δῶκα
καλὴν, πορφυρέην, καὶ τερμιόεντα χιτῶνα,
αἰδοίως δ' ἀπέπεμπον ἐϋσσέλμου ἐπὶ νηός.
καὶ μέν οἱ κῆρυξ ὀλίγον προγενέστερος αὐτοῦ
εἵπετο. καὶ τόν τοι μυθήσομαι, οἷος ἔην περ·
γυρὸς ἐν ὤμοισιν, μελανόχροος, οὐλοκάρηνος.
Εὐρυβάτης δ' ὄνομ' ἔσκε· τίεν δέ μιν ἔξοχον ἄλλων
ὧν ἑτάρων Ὀδυσεὺς, ὅτι οἱ φρεσὶν ἄρτια ᾔδη."

his signis persuasa mulier flet, amiciusque etiam habet hospitem.

Ὣς φάτο· τῇ δ' ἔτι μᾶλλον ὑφ' ἵμερον ὦρσε γόοιο,
σήματ' ἀναγνούσῃ, τά οἱ ἔμπεδα πέφραδ' Ὀδυσσεύς.
ἡ δ' ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
καὶ τότε μιν μύθοισιν ἀμειβομένη προσέειπε·
„Νῦν μὲν δή μοι, ξεῖνε, πάρος περ ἐὼν ἐλεεινὸς,
ἐν μεγάροισιν ἐμοῖσι φίλος τ' ἔσῃ, αἰδοῖός τε·
αὐτὴ γὰρ τάδε εἵματ' ἐγὼ πόρον, οἷ' ἀγορεύεις,
πτύξασ' ἐκ θαλάμου· περόνην τ' ἐπέθηκα φαεινὴν,
κείνῳ ἄγαλμ' ἔμεναι. τὸν δ' οὐχ ὑποδέξομαι αὖτις,
οἴκαδε νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν.

"Ομηρος ἤκασ' ἄριστα (ἀμέτρως libri: ὃν ἤκασεν ἄριστα Ὅμ. malim quoque εἴκασ'.) κρομύου λεπυχάνῳ. τὸ δ' αὐτὸ καὶ λόπισμα εἴρηται etc.

241. A. 1: καὶ τότ' ἐγώ. sordet prae hoc vulgatum illud κακόφωνον. facile autem pronomen, interpretandi gratia adscriptum, expulerit τότε. — δίπλακα. v. ann. ad v. διπλῆν 226.

242—48. Am. B. emend.: τερμιόεντα. ποδήρη, ὡς ἀσπὶς σὺν τελαμῶνι χαμαὶ πέσε τερμιόεσσα (Il. π', 803, ubi v. ann.). — ἐϋσσέλμου. ι', 127 etc. — καὶ μὲν, καὶ μήν. — γυρὸς — οὐλ. συναθροισμὸς, ut Terent. Hec. 3, 4, 26: *magnus, rubicundus, crassus, crispus, caesius, Cadaverosa facie.* Am. B.: γυρός. οὐκ ἐπιμήκης, ἀλλὰ στρογγύλος. Sch.: περιφερεῖς κ. στρογγύλους ἔχων τοὺς ὤμους. ἢ κυρτός (gibbosus). ὁ τρόπος εἰκονισμός. — ἐν ὤμοισιν pro ὤμοισιν. v. Il. θ', 116, ψ', 246. — μελανόχροος. Il. ν', 589. — E: οὐλοκάρηνος δὲ ὁ παρὰ Ἡροδότῳ οὐλόθριξ, καὶ ἔστιν ἐκεῖνο τοῦ παρ' Ὁμήρῳ σαφέστερον. τοῦτο γὰρ διὰ τοῦ ὅλου τὸ μέρος ἔφρασεν· (v. de hac figura Il. η', 238, ρ', 51.) οὐ γὰρ τὸ κάρηνον οὖλον, ἀλλ' αἱ περὶ τὸ κάρηνον τρίχες. „*Il avait de larges épaules, la peau basanée et les cheveux crépus.* Thomas Blackwell, qui a fait des recherches sur la vie et les écrits d'Homère, s'exprime ainsi à l'occasion de ce portrait d'Eurybate (Traduct. de Quatremer de Boissy, p. 355): „„Ses épaules rondes et ramassées, son teint hâlé, ses cheveux bouclés et courts, promettent cette sorte d'intelligence et d'aptitude pour le travail et les affaires qui sont nécessaires dans un second rôle de la société, et donnent l'idée d'un homme qui sait subordonner ses passions et ses goûts à ceux de son maître."" Certes c'est prêter des intentions bien fines à Homère. Ulysse fait ici le portrait d'Eurybate, comme, quelques vers plus haut, il a fait la déscription de son vêtement, pour donner à Pénélope une idée de la sincérité de ses paroles." *Montbel.* — ὅτι — ᾔδη. — ὅτι ἀρτίφρων (ω', 261) ἦν. τοιοῦτος γὰρ ὁ φρεσὶν ἄρτια εἰδώς. cf. θ', 240, et ann. ad Il. ε', 326. etiam hic ἄρτια potius intelligenda sunt ἡρμοσμένα, *congruentia*, ut inter amicos.

249. v. δ', 113, 183, Il. ψ', 108 etc.

250, 51. cf. ψ', 206, ω', 345 et seqq. E: τὸ σήματα ἀν. ἀντὶ τοῦ ἀναγνωρισάσῃ. ἔμπεδα δὲ σήμ. τὰ μὴ εἰκότα κ. κατά τινα στοχασμὸν, ἀλλὰ τεκμηριώδη κ. ἀληθῆ.

252, 3. 213, 4.

254—256. φίλος τ' ἔ., αἰδοῖός τε. 191. — πόρον, *dedi.* δ', 130, 745 etc. — πτύξασ'. α', 439 etc.

τῷ ῥα κακῇ αἴσῃ κοίλης ἐπὶ νηὸς Ὀδυσσεὺς
ᾤχετ', ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν."

consolatur eam Cres personatus, et brevi Ulyssem e Thesprotia multis cum opibus adventurum esse, sancte adjurat.

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
μηκέτι νῦν χρόα καλὸν ἐναίρεο, μηδέ τι θυμὸν
τῆκε, πόσιν γοόωσα! νεμεσσῶμαί γε μὲν οὐδέν·
καὶ γάρ τίς τ' ἀλλοῖον ὀδύρεται ἄνδρ' ὀλέσασα
κουρίδιον, τῷ τέκνα τέκῃ φιλότητι μιγεῖσα,
ἢ Ὀδυσῆ', ὅν φασι θεοῖς ἐναλίγκιον εἶναι.
ἀλλὰ γόου μὲν παῦσαι, ἐμεῖο δὲ σύνθεο μῦθον·
νημερτέως γάρ τοι μυθήσομαι, οὐδ' ἐπικεύσω,
ὡς ἤδη Ὀδυσῆος ἐγὼ περὶ νόστου ἄκουσα
ἀγχοῦ Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ,
ζωοῦ· αὐτὰρ ἄγει κειμήλια πολλὰ καὶ ἐσθλά,
αἰτίζων ἀνὰ δῆμον. ἀτὰρ ἐρίηρας ἑταίρους
ὤλεσε, καὶ νῆα γλαφυρὴν, ἐνὶ οἴνοπι πόντῳ,
Θρινακίης ἄπο νήσου ἰών. ὀδύσαντο γὰρ αὐτῷ
Ζεύς τε, καὶ Ἠέλιος· τοῦ γὰρ βόας ἔκταν ἑταῖροι.
οἱ μὲν πάντες ὄλοντο πολυκλύστῳ ἐνὶ πόντῳ·
τὸν δ' ἄρ' ἐπὶ τρόπιος νεὸς ἔκβαλε κῦμ' ἐπὶ χέρσου,
Φαιήκων ἐς γαῖαν, οἳ ἀγχίθεοι γεγάασιν.
οἳ δή μιν πέρι κῆρι, θεὸν ὥς, τιμήσαντο,
καί οἱ πολλὰ δόσαν, πέμπειν τέ μιν ἤθελον αὐτοὶ
οἴκαδ' ἀπήμαντον. καί κεν πάλαι ἐνθάδ' Ὀδυσσεὺς
ἤην, ἀλλ' ἄρα οἱ τόγε κέρδιον εἴσατο θυμῷ,
χρήματ' ἀγυρτάζειν πολλὴν ἐπὶ γαῖαν ἰόντι,
ὡς περὶ κέρδεα πολλὰ καταθνητῶν ἀνθρώπων
οἶδ' Ὀδυσεὺς, οὐδ' ἄν τις ἐρίσσειε βροτὸς ἄλλος.
ὥς μοι Θεσπρωτῶν βασιλεὺς μυθήσατο Φείδων·
ὤμνυε δὲ πρὸς ἔμ' αὐτὸν, ἀποσπένδων ἐνὶ οἴκῳ,
νῆα κατειρύσθαι, καὶ ἐπαρτέας ἔμμεν ἑταίρους,

260. 597, ψ', 19. cf. ann. ad σ', 72., Am. B. emend.: οὐκ ὀνομ. ἣν οὐδὲ ὀνομάσαι καλὸν, δυσώνυμον.

263—277. Am. 2: ἐναίρεο. ἀντὶ τοῦ ἔναιρε, διάφθειρε. E exponit ἀφάνιζε, ἢ αἴσχυνε. οὕτω γὰρ, inquit, ἐναίρεται χροῦς καλὸς δάκρυσιν, αἰσχρὸς δηλαδὴ ἀντὶ καλοῦ ἤτοι εὐειδοῦς γινόμενος. — νεμεσσ. — οὐδέν. δ', 195. cf. ο', 69, Il. ν', 119 etc. — ἀλλοῖον ἄνδρα, *alius generis virum*, h. e. inferiorem. litotes. — αἰτίζων. ρ, 222. — ἀνὰ δῆμον, ἐν δήμῳ. ζ, 34. — ἐρίηρας. ι', 100 etc. — γλαφυρήν. δ', 356 etc. — οἴνοπι. α', 183 etc. — Θρινακίης. λ', 106. — ὀδύσαντο, *succensebant*. Il. ζ, 138. — ἔκταν, *occiderunt*. Il. κ', 526, Matth. §. 240. — πολυκλύστῳ. δ', 354, ζ', 204.

279, 80. ε', 35, 36.

283—286. κέρδιον. β', 74 etc. — εἴσατο, *visum est*. ε', 281, Il. β', 791, μ', 118 etc. — ἀγυρτάζειν, ἀγείρειν. semel dixit. — ὡς περὶ etc. sic Ald. 3., Bergler etc. Am. B., E, Cl. et alii: — ἰόντι· Ὣς etc., quod molestum est, quia statim sequitur Ὣς, *sic*. — κέρδεα, *dolos*. β', 88 etc. — ἐρίσσειε. ο', 320 etc.

287. Φείδων. ξ', 316.

288—299. cf. ξ', 325—337.

οἵ δή μιν πέμψουσι φίλην ἐς πατρίδα γαῖαν.
ἀλλ' ἐμὲ πρὶν ἀπέπεμψε· τύχησε γὰρ ἐρχομένη νηῦς
ἀνδρῶν Θεσπρωτῶν ἐς Δουλίχιον πολύπυρον.
καί μοι κτήματ' ἔδειξεν, ὅσα ξυναγείρατ' Ὀδυσσεύς.
καί νύ κεν ἐς δεκάτην γενεὴν ἕτερόν γ' ἔτι βόσκοι·
τόσσα οἱ ἐν μεγάροις κειμήλια κεῖτο ἄνακτος.
τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα θεοῖο
ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσαι,
ὅππως νοστήσειε φίλην ἐς πατρίδα γαῖαν,
ἤδη δὴν ἀπεών, ἢ ἀμφαδὸν, ἦε κρυφηδόν.
ὣς ὁ μὲν οὕτως ἐστὶ σόος, καὶ ἐλεύσεται ἤδη
ἄγχι μάλ', οὐδ' ἔτι τῆλε φίλων καὶ πατρίδος αἴης
δηρὸν ἀπεσσεῖται. ἔμπης δέ τοι ὅρκια δώσω.
ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος,
ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
ἦ μέν τοι τάδε πάντα τελείεται, ὡς ἀγορεύω.
τοῦδ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεὺς,
τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ δ' ἱσταμένοιο.“

Ulyssem honeste excipi jubet Penelope, nec impune habiturum ait, si quis eum dicto factove laeserit.

Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
„αἴ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη!
τῷ κε τάχα γνοίης φιλότητά τε, πολλά τε δῶρα,
ἐξ ἐμεῦ, ὥς ἄν τίς σε συναντόμενος μακαρίζοι.
ἀλλά μοι ὧδ' ἀνὰ θυμὸν ὀΐεται, ὡς ἔσεταί περ·
οὔτ' Ὀδυσεὺς ἔτι οἶκον ἐλεύσεται, οὔτε σὺ πομπῆς
* *τεύξῃ, ἐπεὶ οὐ τοῖοι σημάντορές εἰσ' ἐνὶ οἴκῳ,*
οἷος Ὀδυσσεὺς ἔσκε μετ' ἀνδράσιν, εἴποτ' ἔην γε,
ξείνους αἰδοίους ἀποπεμπέμεν, ἠδὲ δέχεσθαι.
ἀλλά μιν, ἀμφίπολοι, ἀπονίψατε, κάτθετε δ' εὐνὴν,
δέμνια, καὶ χλαίνας, καὶ ῥήγεα σιγαλόεντα,

302. *ὅρκια.* ω', 546, Il. β', 339 etc.

303—307. ξ', 160—164. cf. ϱ', 155 et 56, Il. τ', 258, ψ', 43.

309—311. ο', 535—37.

312—326. *ὀΐεται φαίνεται* interpretatur E; sed intelligendum potius est τὶ, *ὀΐεταί τί μοι ἀνὰ θυμὸν*, *praesagit mihi aliquid animo*, germ.: *mir ahndet es im Geist.* — *ἐπεὶ οὐ* δισυλλάβως pronuntiandum est per crasin: v. Il. ν', 777, Odyss. ϱ', 376 etc. sed vereor ne haec infuscata sint, siquidem aliud alii habent libri, Harl.: *τεύξῃ, ἐπεὶ οὔτι σημ.*; A. 1.: *τεύξεαι*, quod commemoratur in scholiis Harl.; denique Ald. 3., E et vulgo edd.: *τεύξῃ· ἐπεὶ οὔ τοι*, vel *οὔτοι, σημ.*, quo facile revocaveris scripturam Harlejanam. praeterea pleraeque edd. et E: *σημάντορές εἰσιν ἐν οἴκῳ*, contra ac legitur in A. 2. et 3. Porsonus e Schol. Harl.: „*γρ. τεύξεαι*: et pro *οὔτι* est *οὐ τοῖοι*, quae sane vera est lectio, librariis crasin hanc, *ἐπεὶ οὐ*, ignorantibus.“ probavit igitur vir doctissimus id, quod habent 2 codd. illi Vindob., a Wolfio et Boissonadeo propagatum, nec malum, sed minus patheticum quam hoc, quod dixisse mihi videtur vates noster, — *τεύξεαι. οὐ τοῖοι σημ.* etc. non ferentes librarii asyndeton inferserunt, puto, *ἐπεὶ*, quo facto scribendum fuit *τεύξῃ* metri gratia; *οὔτοι* autem scripserunt illi, qui crasin ignorarent. — *σημάντορες*, *rectores*, domini. — *εἴποτ' ἔην γε.* v. Il. γ', 180. — *δέμνια* — *σιγαλόεντα.* cf. δ', 297—299, γ', 349—351

ὥς κ' εὖ θαλπιόων χρυσόθρονον Ἠῶ ἵκηται.
ἠῶθεν δὲ μάλ' ἦρι λοέσσαι τε, χρῖσαί τε,
ὥς κ' ἔνδον παρὰ Τηλεμάχῳ δείπνοιο μέδηται
ἥμενος ἐν μεγάρῳ. τῷ δ' ἄλγιον, ὅς κεν ἐκείνων
τοῦτον ἀνιάζῃ θυμοφθόρος· οὐδέ τι ἔργον
ἐνθάδ' ἔτι πρήξει, μάλα περ κεχολωμένος αἰνῶς.
πῶς γὰρ ἐμεῦ σὺ, ξεῖνε, δαήσεαι, εἴ τι γυναικῶν
ἀλλάων περίειμι νόον καὶ ἐπίφρονα μῆτιν,
* εἴ κεν αὐσταλέος, κακὰ εἱμένος, ἐν μεγάροισι
δαινύῃ; ἄνθρωποι δὲ μινυνθάδιοι τελέθουσιν.
ὃς μὲν ἀπηνὴς αὐτὸς ἔῃ, καὶ ἀπηνέα εἰδῇ,
τῷ δὲ καταρῶνται πάντες βροτοὶ ἄλγε' ὀπίσσω
ζωῷ, ἀτὰρ τεθνεῶτί γ' ἐφεψιόωνται ἅπαντες·
ὃς δ' ἂν ἀμύμων αὐτὸς ἔῃ, καὶ ἀμύμονα εἰδῇ,
τοῦ μέν τε κλέος εὐρὺ διὰ ξεῖνοι φορέουσι
* πάντας ἐπ' ἀνθρώπους, πολλοί τέ μιν ἐσθλὸν ἔειπον."

etc. — *θαλπιόων*, a *θαλπιάω*, *calescens.* — *μάλ' ἦρι*, *multo mane.* *υ'*, 156, Il. *ι'*, 360. — *ἄλγιον.* *ρ'*, 14, *δ'*, 292, *π'*, 147 etc. — Am. B.: — *ὅστις δὲ θυμοφθόρος τοῦτον ἀνιάζῃ, κάκιον αὐτῷ. θυμ. δὲ σημαίνει ἐφθαρμένος τὴν ψυχὴν, φρενοπλήξ* (mente captus, insanus). *οὐδὲν ἔργον ἀνίας ἀνύσει κατὰ τοῦ ξένου· ἐγὼ γὰρ αὐτοῦ προΐσταμαι.* varians script. ap. E: *οὐδέ τοι ἔργον Ἐνθάδε τι πρήξει.* E: *τὸ δὲ δαήσεαι καινῶς γενικῇ συνέταξεν.* — *ποιεῖ δὲ τοῦτο καθ' ὁμοιότητα τοῦ εἰδέναι, ὃ καὶ αὐτὸ γενικῇ ποτε συντάσσεται.* v. Matth. §. 322. — *ἐπίφρονα.* *γ'*, 128 etc. E: *ἐχέφρονα.*

327. *κακὰ εἱμένος.* at nihil de vestiendo hospite regina edixit in superioribus, et infra 507. lotus Ulysses *pannis* operit cicatricem. ergo ponamus *κακὰ ἥμενος*, h. e. *κακῶς*, *male collocatus*, infimo loco sedens, non apud Telemachum, ut jussit 321. et 22. antea enim foris consederat in limine: v. *ρ'*, 339, 466, et *η'*, 159, ubi Echeneus Phaeax in simili causa: *Ἀλκίνο', οὐ μέντοι τόγε κάλλιον, οὐδὲ ἔοικε, Ξεῖνον μὲν χαμαὶ ἧσθαι ἐπ' ἐσχάρῃ ἐν κονίῃσιν.* cf. et inferius 389. confusa *η* et *ει*, ut passim. recte B. ann. ad Il. *δ'*, 384.: „iotacismus in his codd. *ει* pro *η* peperit." — — restitui *αὐσταλέος*, ut Ald. 3., quod ceteri scripserunt *ἀϋσταλέος*, versui, opinor, timentes, qui sartus tectus est: v. Il. *α'*, 193 etc. E, incertum qua auctoritate: *αὐσταλέος*, *κ. κατὰ διάλυσιν ἀϋσταλέος, ὁ αὐχμῶν, ἀπὸ τοῦ αὔω, ἐξ οὗ καὶ ὁ αὐχμὸς κ. ὁ αὐχμηρὸς* etc.

328—334. Sch.: *ἄνθρωποι δὲ μιν. τελέθουσι. τοῦτο πρὸς τὴν εὐφημίαν εἴρηκεν [καὶ ἀναφέρεται ἐπὶ τὸ κλέος]. ὀλιγοχρόνιοι δὲ ὑπάρχοντες οἱ ἄνθρωποι ὀφείλουσιν εὖ πράττειν ἐν τῷ βίῳ, καὶ φήμην ἀγαθὴν περὶ ἑαυτῶν ἀπολείπειν.* — *ἀπηνὴς*, *durus*, crudelis. *σ'*, 380 etc. E: *ὁ δὲ ἀπηνέα εἰδὼς ἑτεροῖος τοῦ ἁπλῶς ἀπηνέος ἐστί. [κ. ὁ ἀμύμονα εἰδὼς τοῦ ἁπλῶς ἀμύμονος.] ἀπηνέα μὲν γὰρ [καὶ ἀμύμονα] ἔργα οἶδεν ὁ περὶ τοιαῦτα ἤδη ἐπιστήμων· ἀπηνὴς δὲ [καὶ ἀμύμων] οὐκ ἐξ ἀνάγκης ὁ τοιοῦτος, ἀλλὰ καὶ ὁ μήπω τέλειος εἰς τὸ κακὸν, μηδὲ κατὰ τὸν ποιητὴν* (*ρ'*, 226, *σ'*, 361) *μαθὼν ἔργα κακά.* indolem igitur significat *ἀπηνὴς*, usum et consuetudinem *τὸ εἰδέναι ἀπηνέα*, eodemque modo distinxeris *ἀμύμων* et *εἰδέναι ἀμύμονα*, de quibus dicere supersedit interpres; id quod ex fine hujus annotationis intelligas, ubi in solo *ἀπηνὴς* explicando subsistit. quare aliena visa uncinis inclusimus. ceterum cf. 346. — *τῷ δὲ*, *τῷ δή.* — *καταρῶνται ἄλγεα*, *dolores* seu mala *imprecantur.* — Sch.: *ἐφεψιόωνται* (370.). *καθάπτονται κ. λοιδοροῦνται· ἢ ἐπιχαίρουσι κ. ἐφήδονται. καθεψιᾶσθαι* eodem sensu dixit inferius 372, *ἐψιᾶσθαι* *ρ'*, 530 et *φ'*, 429. — *διὰ — φορέουσι*, *differunt*, divulgant. tmesis. E: — *διαφέρουσι, διακομίζουσι πανταχοῦ.* — *ἐσθλὸν ἔειπον.* h. e. *ἐσθλόν τι, ἐσθλὰ, εὖ εἶπον* sive *ἔλεγον*, *benedicere illi solent.* eum esse horum sensum, ostendit oppositum *καταρῶνται.* de duplici accusativo v. Il. *ι'*, 58, Odyss. *π'*, 460 etc. simili

recusat Ulysses meliorem conditionem, nec vel pedes se suos abluendos alii quam anui honestae, quae et ipsa laborum experta sit, permissurum dicit.

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
ἤτοι ἐμοὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα
ἤχθεθ', ὅτε πρῶτον Κρήτης ὄρεα νιφόεντα
νοσφισάμην ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο·
κείω δ', ὡς τὸ πάρος περ ἀΰπνους νύκτας ἴαυον·
πολλὰς γάρ δὴ νύκτας ἀεικελίῳ ἐνὶ κοίτῃ
ἄεσα, καί τ' ἀνέμεινα ἐΰθρονον Ἠῶ δῖαν.
* *οὐδέ τί μοι ποδάνιπτρα ποδῶν ἐπιήρανα θυμῷ*
γίγνεται· οὐδὲ γυνὴ ποδὸς ἅψεται ἡμετέροιο
τάων, αἵ τοι δῶμα κάτα δρήστειραι ἔασιν,
εἰ μή τις γρηῦς ἐστι παλαιή, κέδν' εἰδυῖα,
ἥτις δὴ τέτληκε τόσα φρεσίν, ὅσσα τ' ἐγώ περ·
τῇδε δ' ἂν οὐ φθονέοιμι ποδῶν ἅψασθαι ἐμεῖο.“

quare Eurycleam id ei officium praestare jubet Penelope.

Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
„ξεῖνε φίλ', οὐ γάρ πώ τις ἀνὴρ πεπνυμένος ὧδε
ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα,

sensu Eurip. dixit *ἀκούειν τὰ ἐσθλὰ* Heracl. 964. perperam E *ἐσθλὸν* intellexit *ἐσθλὸν ἄνδρα: τὸ δὲ πολλοί μιν ἔ. ἔειπον ἀκριβῶς ἐῤῥέθη, ὡς μὴ δυνατὸν ὂν ὑπὸ πάντων ἐπαινεῖσθαί τινα, ὥσπερ οὐδὲ γνωρίζεσθαι.* quem nollem meliores secutos esse. ceterum quaeras, cur *ἐσθλὸν* Hom. dicere maluerit quam *ἐσθλὰ* sine ambiguo atque homoeoteleuto. fuit sane cum id ponendum existimarem, pro eoque scriptum *ἐσθλὸν*, menda tralaticia; necdum poenitet conjecturae.

337—346. E: *ἤτοι — δολιχ. λέγει ταῦτα Ὀδ., ἐθέλων ἕως αὔριον ἐπὶ σχήματος* (personatus, habitu mendici) *μένειν, ἵνα μὴ πόθεν ὑποπτευθῇ, ὀκνῶν δὲ καὶ νίψασθαι διὰ τὸ κατὰ τῶν δμωΐδων βαρύνεσθαι.* — *Κρήτης ὄ. νοσφ.* v. 579. — *δολιχηρέτμοιο.* δ', 499; θ', 191 etc. Ap.: *δολιχήρετμοι. μακρόκωποι.* — *κείω*, *cubabo.* θ', 315 etc. — *ἄεσα*, *requievi.* γ', 151 etc. — *ποδάνιπτρα ποδῶν* dixit per pleonasmum, ut *βοῶν ἐπιβουκόλος, συῶν συβόσια* etc. (v. γ', 422.) quae tamen mihi videntur leniora. quare haud spernerem, si libri offerrent, *ἀπόνιπτρα ποδῶν*, ut continue scriptum *μοιαπόνιπτρα*, neglecto α propter οι simile, abiisse putaretur in *μοιπόνιπτρα*, dein sedulo mutatum sensus causa in *μοιποδάνιπτρα.* verba *ἀπονίζειν* et *ἀπονίπτειν* satis frequentia sunt apud Homerum; *ἀπόνιπτρον* autem habet Aristophanes Ach. 582. fuit et cum mallem *πεδάνιπτρα*, h. e. *μετάνιπτρα*, sed eo sensu, ut communionem lavationis significaret *μετὰ* praepositio, quasi dicas *das Mitwaschen*; quam communionem modeste recusat mendicus personatus. ejusmodi vocabula sunt *πεδαίρω, πεδάρσιος, πεδαίχμιος, πεδάφρων* etc., quae verisimile videtur magna ex parte corrupta atque oblitterata esse a librariis. — Am. B.: *ἐπιήρανα. προσηνῆ, ἀπὸ τοῦ ἐρᾶν*, imo ab *ἄρειν*, pro *ἐπήρανα*, quemadmodum *ἐπάρω* dicitur. v. ann. ad Il. α', 572. — *δρήστειραι*, *ministrae.* *δρηστῆρας* dixit π', 248 et σ', 75. — *γρηῦς παλαιή*, ut *παλαιγενὴς* χ', 395, Il. γ', 386. emphasin habet additum similis significationis adjectivum, quemadmodum et nostrates dicant *eine alte Greisin.* — *κέδν' εἰδυῖα*, *bonarum* sive utilium *rerum sciens.* α', 428. cf. ann. ad Il. ι', 586 et hujus libri 329.

350—360. *οὐ γὰρ — ἀγορεύεις.* sententia causalis priore loco posita, more Graecorum. v. α', 337 etc.

ὡς σὺ μάλ' εὐφραδέως πεπνυμένα πάντ' ἀγορεύεις,
ἔστι δέ μοι γρηῢς, πυκινὰ φρεσὶ μήδε' ἔχουσα,
ἣ κεῖνον δύστηνον ἐῢ τρέφεν, ἠδ' ἀτίταλλε,
δεξαμένη χείρεσσ', ὅτε μιν πρῶτον τέκε μήτηρ,
ἥ σε πόδας νίψει, ὀλιγηπελέουσά περ ἔμπης.
ἀλλ' ἄγε νῦν ἀνστᾶσα, περίφρων Εὐρύκλεια,
νίψον σοῖο ἄνακτος ὁμήλικα! καί που 'Οδυσσεὺς
ἤδη τοιόσδ' ἐστὶ πόδας, τοῖος δέ τε χεῖρας·
αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν."

ejulat anus, de reditu pii domini desperans, cui persimilis specie esse videtur ipsi hospes.

* *Ὣς ἄρ' ἔφη· γρηῢς δὲ κατέσχετο χερσὶ πρόσωπα,*
δάκρυα δ' ἔκβαλε θερμὰ, ἔπος δ' ὀλοφυδνὸν ἔειπεν·
„Ὢ μοι ἐγὼ σέο, τέκνον, ἀμήχανος! ἦ σε περὶ Ζεὺς
ἀνθρώπων ἤχθηρε, θεουδέα θυμὸν ἔχοντα.
οὐ γάρ πώ τις τόσσα βροτῶν Διῒ τερπικεραύνῳ
πίονα μηρί' ἔκη', οὐδ' ἐξαίτους ἑκατόμβας,
* *ὅσσα σὺ τῷ ἐδίδως, ἀρώμενος ἕως ἵκοιο*
γῆράς τε λιπαρὸν, θρέψαιό τε φαίδιμον υἱόν·
νῦν δέ τοι, οἴω, πάμπαν ἀφείλετο νόστιμον ἦμαρ.

— *τηλεδαπῶν.* ζ', 279 etc. — *εὐφραδέως*, *eloquenter.* simili Ulyssem laude celebrat Eumaeus ρ', 513—521. — *ἔστι δὲ*, *ἔστι δή.* — *πυκινὰ — ἔχουσα.* Il. ω', 282 etc. — *ὀλιγηπελέουσα*, *debilis.* ε', 457. — *αἶψα — καταγηράσκουσιν.* similiter Hesiodus O. et D. 90.: *πρὶν μὲν γὰρ ζώεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων Νόσφιν ἄτερ τε κακῶν, καὶ ἄτερ χαλεποῖο πόνοιο, Νούσων τ' ἀργαλέων, αἵτ' ἀνδράσι γῆρας ἔδωκαν· Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.* E: — *Ὅμηρος μὲν οὕτω φυσικῶς εἶπε· Θεόκριτος δὲ* (12, 2.) *τὸ Ὁμηρικὸν αἶψα εἰς μίαν ἡμέραν ὁρίσας φησὶν, οἱ ποθοῦντες ἐν ἄματι* (sic) *γηράσκουσι. παίζει δὲ καὶ ὁ Κωμικὸς* (Plut. 1039) *διά τινος γραὸς, πολιὰν ἐκείνην ταχὺ διὰ μιᾶς ἡμέρας γενέσθαι λέγων ὑπὸ δῆθεν ἄλγους τινός. ὁ δὲ Λιβάνιος καὶ αὐτὸς ἐντεῦθέν ποθεν λέγει κατὰ σχῆμα ὑβερβολῆς, ὡς ὑπὸ λύπης ἐσχάτης καὶ πολιὰς ἐξαίφνης ἔφυσα.* idem evenisse dicitur olim nescio cui comiti Palatino.

361—366. *κατέσχετο.* Sch. ed. ant., quam Buttm. adhibuit: *κατέσχεθε*, quod facile tuearis. — *ὀλοφυδνόν.* Il. ε', 683. — *ὤ μοι ἐγὼ σέο ἀμήχανος*, *vae mihi imbecillae quod ad te attinet*, quae opem tibi ferre infelicissimo non possim. cf. ε', 299, Il. σ', 54 etc. — *θεουδέα.* 109. de tota sententia cf. λ', 435, 558, Il. υ', 306. — *πίονα μηρί' ἔκηε.* δ', 764 etc. — *ἐξαίτους*, *lectas*, eximias. β', 307 etc.

367. *ἀρώμενος ἕως ἵκοιο γῆρας.* *ἕως* interpretantur *ὡς*, *ὅπως*, quo sensu nusquam legitur. praeterea non est ferendus trochaeus (*ἕως ἵ-*) pro dactylo vel spondeo usurpatus extremo versu. v. ann. ad Il. α', 193. igitur corrupta haec esse arbitror, malimque *ἀρ.*, *ὡς ἂν ἵκοιο*, vel *εἰ ἄν ἵκ.*, *γ.*: facileque enim fieri potuit, ut vel *ᾱ* omitteretur, sequente *ι*, quae litterae similes sunt in libris (v. θ', 560), vel *εἰᾱ* abiret, aeque proclivi lapsu, in *εἶος*, *εἵως*, *ἕως.* *ἀρώμενος, εἰ —*, ut ζ', 144: *λίσσοιτ', εἰ δείξειε πόλιν.* confidenter E *ἕως ἵκοιτο* pro *ὅπως ἵκ.* dictum esse ait Attice. v. ann. ad ζ', 80.

368—379. *γῆρας λιπαρόν.* λ', 135. — *νῦν δέ τοι, οἴω, πάμπαν.* A. 2. et 3.: *οἴω.* Ald. 3. et quidquid est paulo vetustiorum editionum: *νῦν δέ τοι ὧδέ σε πάμπαν —.* nuperae: *νῦν δέ τοι οἴῳ πάμπαν* etc., quasi Ulysses solus non redierit, cum multi heroum occisi sint apud Trojam. fraudi fuerint ei, qui primus ita scripsit, illa α', 13.: *τὸν δ' οἶον, νόστου κεχρημένον ἠδὲ γυναικὸς, Νύμφη πότνι' ἔρυκε Καλυψώ.* at considerate poëta ibi in supe-

οὕτω που καὶ κείνῳ ἐφεψιόωντο γυναῖκες
ξείνων τηλεδαπῶν, ὅτε τευ κλυτὰ δώμαθ' ἵκοιτο,
ὡς σέθεν αἱ κύνες αἵδε καθεψιόωνται ἅπασαι.
τάων νῦν λώβην τε καὶ αἴσχεα πόλλ' ἀλεείνων
οὐκ ἐάᾳς νίζειν· ἐμὲ δ' οὐκ ἀέκουσαν ἄνωγε
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια.
τῷ σε πόδας νίψω, ἅμα τ' αὐτῆς Πηνελοπείης
καὶ σέθεν εἵνεκ', ἐπεί μοι ὀρώρεται ἔνδοθι θυμὸς
κήδεσιν. ἀλλ' ἄγε νῦν ξυνίει ἔπος, ὅττι κεν εἴπω·
πολλοὶ δὴ ξεῖνοι ταλαπείριοι ἐνθάδ' ἵκοντο,
ἀλλ' οὔπω τινά φημι ἐοικότα ὧδε ἰδέσθαι,
ὡς σὺ δέμας, φωνήν τε, πόδας τ', Ὀδυσῆϊ ἔοικας."
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ὦ γρηῦ, οὕτω φασὶν, ὅσοι ἴδον ὀφθαλμοῖσιν
ἡμέας ἀμφοτέρους, μάλα εἰκέλω ἀλλήλοιϊν
ἔμμεναι, ὡς σύ περ αὐτὴ ἐπιφρονέουσ' ἀγορεύεις."

inter lavandum Euryclea agnoscit Ulyssem e cicatrice, quam olim in venatu acceperat, cujus occasionem narrat poëta.

Ὣς ἄρ' ἔφη· γρηῢς δὲ λέβηθ' ἕλε παμφανόωντα,
τῷ πόδας ἐξαπένιζεν, ὕδωρ δ' ἐνεχεύατο πουλὺ
ψυχρόν· ἔπειτα δὲ θερμὸν ἐπήφυσεν. αὐτὰρ Ὀδυσσεὺς
ἷζεν ἐπ' ἐσχαρόφιν, ποτὶ δὲ σκότον ἐτράπετ' αἶψα·
αὐτίκα γὰρ κατὰ θυμὸν ὀΐσατο, μή ἑ λαβοῦσα
οὐλὴν ἀμφράσσαιτο, καὶ ἀμφαδὰ ἔργα γένοιτο.
νίζε δ' ἄρ' ἆσσον ἰοῦσα ἄναχθ' ἑόν· αὐτίκα δ' ἔγνω
οὐλὴν, τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι,
Παρνησόνδ' ἐλθόντα μετ' Αὐτόλυκόν τε, καὶ υἷας,

rioribus: ἔνθ' ἄλλοι μὲν πάντες, ὅσοι φύγον αἰπὺν ὄλεθρον, Οἴκαι ἔσαν. οΐω dixit per parenthesin, ut β', 255.: ἀλλ', ὀΐω, καὶ δηθὰ καθήμενος ἀγγελιάων Πεύσεται, quo et ipso loco malim οΐω, nec jam ὀΐω fero ν', 427, et ο', 31, cum id tot aliis in locis mediam producat. cf. ψ', 261. similiter etiam ὀΐομαι illatum est παρενθετικῶς χ', 140. cf. Aristoph. Lys. 81 etc. — ἐφεψ. 331. — κύνες. τ', 91 etc. — ἄνωγε. edd. fere: ἀνώγει, ut Il. θ', 321. — ὀρώρεται. 524. v. Matth. §. 244. — ταλαπείριοι. ζ', 193.

387—400. ἐξαπένιζεν, *abluere solebat.* — ἐπήφυσεν, ab ἐπαφύσσω. — E: ποτὶ — αἶψα. ἤγουν ἀπεστράφη πρὸς τὸ σκοτεινόν. — Am. B.: οὐλήν. Ἀττικοὶ τὸ θεραπευθὲν τραῦμα ὠτειλήν φασι· παρὰ δὲ Ὁμήρῳ ὠτειλὴ μὲν τὸ ἀθεράπευτον, οὐλὴ δὲ τὸ θεραπευθέν. E: ὅτι δὲ ἡ οὐλὴ παρὰ τὸ ὅλον γίνεται, ὡς ἐπιγινομένη ἕλκει ὁλωθέντι, τουτέστιν εἰς ὁλότητα ἐλθόντι, δῆλον· καὶ οτι ψιλοῦται διὰ τὴν Ἰωνικὴν τοῦ υ ἐπένθεσιν· καὶ ὅτι ὀξύνεται πρὸς διαστολὴν τῆς οὔλης τριχός· καὶ ὅτι ἀπ' αὐτῆς τὸ ὕπουλον γίνεται. — probat hanc notationem vocis οὐλὴ Buttmannus *Lexil.* 47, 8., quo loco et cognatum verbum οὔλειν (*heil sein, gesund sein*) commemorat, unde οὖλε, *salve*, Odyss. ω', 402. — ἀμφράσσαιτο (ab ἀναφράζομαι), ἀνανοήσοι. — ἀμφαδὰ, *manifesta.* adverbium ἀμφαδὸν frequentat hic noster, et eodem sensu ἀμφαδίην dixit ε', 121 et bis in Iliade, ἀμφάδιον autem γάμον ζ', 288. — B: „τήν ποτέ μιν — ὀδόντι. Bion in Epitaphio Adonidis hinc sumsit epithetum, neutiquam tentandum: μηρὸν ὀδόντι λευκῷ λευκὸν ὀδόντι τυπείς." — μετ' Αὐτ., *ad Autolycum.* — Αὐτόλυκος Ἑρμοῦ, inquit Apollodorus 1, 9, 16., nec aliter Hyginus fab. 202. et Pseudodidymus auctore Pherecyde. sed Paus. 8, 4, 3.: παῖδα δὲ Περεῖ (Arcadis nepoti) ἄῤῥε-

μητρὸς ἑῆς πατέρ' ἐσθλόν, ὃς ἀνθρώπους ἐκέκαστο
κλεπτοσύνῃ θ', ὅρκῳ τε· θεὸς δέ οἱ αὐτὸς ἔδωκεν
Ἑρμείας· τῷ γὰρ κεχαρισμένα μηρία καῖεν
ἀρνῶν, ἠδ' ἐρίφων· ὁ δέ οἱ πρόφρων ἅμ' ὀπήδει.
Αὐτόλυκος δ', ἐλθὼν Ἰθάκης ἐς πίονα δῆμον,
παῖδα νέον γεγαῶτα κιχήσατο θυγατέρος ἧς·
τόν ῥά οἱ Εὐρύκλεια φίλοις ἐπὶ γούνασι θῆκε,
παυομένῳ δόρποιο, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
„Αὐτόλυκ', αὐτὸς νῦν ὄνομ' εὕρεο, ὅττι κε θείῃς

να μὲν φασιν οὐδένα, Νέαιραν δὲ γενέσθαι θυγατέρα· ταύτην γυναῖκα ἔσχεν Αὐτόλυκος, οἰκῶν μὲν ἐν τῷ ὄρει τῷ Παρνασσῷ (Phocidis monte celeberrimo, de quo Cellar. 1. p. 1126 etc.), *λεγόμενος δὲ Ἑρμοῦ παῖς, Δαιδαλίωνος δὲ* (Phosphori filii, cujus frater fuit Ceyx) *ὢν τῷ ἀληθεῖ λόγῳ.* hanc famam sequi videtur poëta; certe patrem ejus haud novit Mercurium, cujus filium appellaverint Autolycum versutiae causa, qua excelluit. — ἐκέκαστο. Il. β', 158. — κλεπτοσύνῃ θ', ὅρκῳ τε. hendiadys pro *ὅρκῳ κλεπτικῷ*, *perjurio.* Montbel.: „*Lui qui l'emportait sur tous les hommes par la ruse et par le serment.* Voici comment mde. Dacier paraphrase ces 2 hémistiches d'Homère, ὃς — ὅρκῳ τε: „„prince qui surpassoit tout ceux de son temps en prudence et en adresse pour cacher ses desseins et pour surprendre ses ennemis, et en bonne foi pour garder religieusement sa parole et ne violer jamais ses serments.““ Ce n'est pas ainsi que Platon (Reip. 1, p. 160, t. 6 ed. Bip.) entendait ce passage; c'est Socrate qui parle: „„Sans doute qu'un voleur vous parait être l'homme juste (*κλέπτης ἄρα τὶς ὁ δίκαιος, ὡς ἔοικεν, ἀναπέφανται*). Vous aurez appris cela d'Homère; car le poëte vante beaucoup l'aïeul maternel d'Ulysse, et dit qu'il l'emportait sur tous les hommes par *le vol et le serment.* De sorte que la justice, selon vous, selon Homère, et selon Simonide, est de voler au profit de ses amis, et au préjudice de ses ennemis.““ Eustathe (p. 1379, 36., prooemio Odysseae.) dit aussi que cette forme, *l'emporter par le serment*, signifie employer les faux serments avec habileté (*τὸ ψευδέσιν ἐντέχνως ὅρκοις σοφίζεσθαι*). Pope, au contraire, est du même sentiment que mde. Dacier; mais ceux qui veulent ici justifier Hom. confondent toujours l'époque héroïque avec celle où nous vivons. Dans ces temps d'une société à peine sortie de la barbarie, où chacun était en guerre avec son voisin, le point essentiel était de se défendre à tout prix; et quand on ne pillait pas, on courait grand risque d'être pillé. Dès lors les qualités qu' Hom. vante dans Autolycus devaient être fort estimées. Ulysse lui-même n'est pas scrupuleux quand il s'agit de mentir. Eustathe à l'endroit cité observe avec raison qu'il ne dit que des mensonges en toute rencontre.“ — ὁ δέ οἱ — ὀπήδει, *is autem propitius illum comitabatur*, h. e. tutabatur. sic η', 164.: — Διΐ, — ὅσθ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ. dicuntur autem ὀπηδεῖν et personae, quae nobiscum sunt, et res, quas possidemus: v. Il. β', 184, ε', 216, Odyss. θ', 237 etc. — B ad 399.: „Quum Rochefortius (*Obss. sur le récit de la blessure d'Ulysse*, quam dissertationem Roch. adjecit interpretationi francogallicae hujus carminis. omisit autem hoc episodium de venatione Autolyci pariter ac Knightius, qui tamen et antiquissimum putat, nec mediocris poëtae opus.) narrationis quae sequitur de Autolyco et sumto ab Ulysse vulnere γνησιότητα in dubium vocasset, ejus argumenta, seu potius sophismata, dissertatione peculiari confutavit Dugasius (Dugas Montbel) in Annalibus encyclopaedicis Millini an. 1817. (t. 3, 21.)“ — κιχήσατο, *invenit.* ζ, 51 etc. — θυγατέρος ἧς, ut θυγατέρα ἣν Il. λ', ?, ubi v. ann.

401—409. τόν ῥα — θῆκε. Εὐρύκλεια, ἡ τοῦ παιδὸς μαῖα, φίλοις ἐπὶ γούνασι θῆκε τῷ πάππῳ etc. Schol. Harl.: γρ. Ἀντίκλεια. est hoc, ni fallor, commentum ejus, quem male haberent verba τὴν δ' αὖτ' Αὐτόλυκος ἀπαμείβετο 403., si Laërtem et Anticleam sequente ibi versu appellaret Autolycus, ut vulgo putant. v. ann. ad illum locum. — εὕρεο, *reperi*, excogi-

παιδὸς παιδὶ φίλῳ· πολυάρητος δέ τοί ἐστι."
Τὴν δ' αὐτ' Αὐτόλυκος ἀπαμείβετο, φώνησέν τε·
„γαμβρὸς ἐμὸς, θυγάτηρ τε, τίθεσθ' ὄνομ', ὅττι κεν εἴπω.
πολλοῖσιν γὰρ ἔγωγε ὀδυσσάμενος τόδ' ἱκάνω
ἀνδράσιν, ἠδὲ γυναιξὶν, ἀνὰ χθόνα πουλυβότειραν·
τῷ δ' Ὀδυσεὺς ὄνομ' ἔστω ἐπώνυμον. αὐτὰρ ἔγωγε,
ὁππότ' ἂν ἡβήσας μητρώϊον ἐς μέγα δῶμα
ἔλθῃ Παρνησόνδ', ὅθι πού μοι κτήματ' ἔασι·
τῶν οἱ ἐγὼ δώσω, καί μιν χαίροντ' ἀποπέμψω.

describitur venatio illa Ulyssis in Parnasso, una cum Autolyco.

Τῶν ἕνεκ' ἦλθ' Ὀδυσεὺς, ἵνα οἱ πόροι ἀγλαὰ δῶρα.
τὸν μὲν ἄρ' Αὐτόλυκός τε, καὶ υἱέες Αὐτολύκοιο,
χερσίν τ' ἠσπάζοντο, ἔπεσσί τε μειλιχίοισι·
μήτηρ δ' Ἀμφιθέη μητρὸς, περιφῦσ' Ὀδυσῆϊ,
κύσσ' ἄρα μιν κεφαλήν τε, καὶ ἄμφω φάεα καλά.
Αὐτόλυκος δ' υἱοῖσιν ἐκέκλετο κυδαλίμοισι,
δεῖπνον ἐφοπλίσσαι· τοὶ δ' ὀτρύνοντος ἄκουσαν,
αὐτίκα δ' εἰσάγαγον βοῦν ἄρσενα πενταέτηρον·
τὸν δέρον, ἀμφί θ' ἕπον, καί μιν διέχευαν ἅπαντα,
μίστυλλόν τ' ἄρ' ἐπισταμένως, πεῖράν τ' ὀβελοῖσιν,
ὤπτησάν τε περιφραδέως, δάσσαντό τε μοίρας.
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
δαίνυντ'· οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε,

ta. — παιδὸς, *filiae.* — πολυάρητος, *exoptatissimus.* ζ', 280. — γαμβρὸς — εἴπω. E: ὁ *Αὐτόλυκος τῇ μὲν Εὐρυκλείᾳ εἶπεν οὐδὲν, πρὸς δὲ τοὺς ἰδίους τὸν λόγον τρέψας ἔφη,* γαμβρὸς etc., quem secutus interpres: *gener meus, filiaque, imponite nomen, quod dixero.* intelligunt illi casus rectos sensu vocativorum; quod fieri potest; at illud non potest, ut Eurycleam Autolycus dicatur alloqui (*τὴν δ' αὖτ' Αὐτόλυκος ἀπαμείβετο*), revera autem generum filiamque alloquatur. igitur *τίθεσθ'* est *τίθεσθαι, οἷοι τίθεσθαι,* quemadmodum poëta Il. τ', 140.: *δῶρα δ' ἐγὼν ὅδε πάντα παρασχεῖν,* h. e. *ἐγὼ οὗτός εἰμι, ὥστε παρασχεῖν δῶρα.* parentes avus dicit esse eos, qui infanti nomen imponant; idque sane moris Graecorum fuit, uti et illud, ut avorum fere nomina imponerent (v. Aristoph. Nub. 60—65 etc.); quo pertinet, quod Autolycus appellari jubet infantem ab se *ὀδυσσαμένῳ*, facete ille nomini suo proprio substituens verbum *χαρακτηριστικὸν*, ut qui multis irasci solitus esset, inimicitiasque saepe exerceret cum vicinis. similiter Ulysses ipse ap. Sophoclem, annotante Barnesio: *ὀρθῶς εἰμ' ἐπώνυμος κακοῖς· Πολλοὶ γὰρ ὠδύσαντο δυσσεβεῖς ἐμοί.* — ἀνὰ χθόνα, *ἐν χθονί.* — πουλυβότειραν. Il. γ', 265 etc. — ὄνομα ἐπώνυμον. η', 54. cf. Il. ι', 562, ubi *ἐπώνυμον* intelligas *ὄνομα ἐπ.*, vel *ἐπωνύμως.*

415—420. E: χερσίν τ' ἠσπάζοντο (γ', 35). *ἤγουν ἐδεξιοῦντο, κ. εἰς ἑαυτοὺς ἐπεσπῶντο.* — περιφῦσα. π', 21. — ἐκέκλετο. ζ', 71 etc. — ἐφοπλίσσαι, *apparare.* β', 295 etc. — βοῦν πενταέτηρον. v. Il. β', 403.

421—423. Il. η', 316—318. δάσσαντο, *dividebant.* γ', 66 etc.

424, 25. Il. α', 601. et 2.

426. ι', 558 etc.

δὴ τότε κοιμήσαντο, καὶ Ὕπνου δῶρον ἕλοντο.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
βάν ῥ' ἴμεν ἐς θήρην, ἠμὲν κύνες, ἠδὲ καὶ αὐτοὶ
υἱέες Αὐτολύκου, μετὰ τοῖσι δὲ δῖος Ὀδυσσεὺς
ἤϊεν· αἰπὺ δ' ὄρος προσέβαν καταειμένον ὕλῃ
Παρνησοῦ, τάχα δ' ἵκανον πτύχας ἠνεμοέσσας.
ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας,
[ἐξ ἀκαλαῤῥείταο βαθυῤῥόου ὠκεανοῖο.]
οἱ δ' ἐς βῆσσαν ἵκανον ἐπακτῆρες. πρὸ δ' ἄρ' αὐτῶν
ἴχνι' ἐρευνῶντες κύνες ἤϊσαν, αὐτὰρ ὄπισθεν
υἱέες Αὐτολύκου· μετὰ τοῖσι δὲ δῖος Ὀδυσσεὺς
ἤϊεν ἄγχι κυνῶν, κραδάων δολιχόσκιον ἔγχος.
ἔνθα δ' ἄρ' ἐν λόχμῃ πυκινῇ κατέκειτο μέγας σῦς·
τὴν μὲν ἄρ' οὔτ' ἀνέμων διάει μένος ὑγρὸν ἀέντων,
οὔτε μιν ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν,
οὔτ' ὄμβρος περάασκε διαμπερές· ὣς ἄρα πυκνὴ
ἦεν, ἀτὰρ φύλλων ἐνέην χύσις ἤλιθα πολλή.
τὸν δ' ἀνδρῶν τε, κυνῶν τε, περὶ κτύπος ἦλθε ποδοῖϊν,
ὡς ἐπάγοντες ἐπῆσαν· ὁ δ' ἀντίος ἐκ ξυλόχοιο,
* φρίξας εὖ λοφιὴν, πῦρ δ' ὀφθαλμοῖσι δεδορκὼς,
στῆ ῥ' αὐτῶν σχεδόθεν. ὁ δ' ἄρα πρώτιστος Ὀδυσσεὺς
ἔσσυτ', ἀνασχόμενος δολιχὸν δόρυ χειρὶ παχείῃ,
οὐτάμεναι μεμαώς· ὁ δέ μιν φθάμενος ἔλασεν σῦς

427. π', 481.

428. β', 1 etc.

429—32. βάν ῥ' ἴμεν. ε', 475 etc. — ὄρος κατ. ὕλῃ. ν', 351. — πτύχας, *recessus*, convalles. v. ann. ad Il. η', 247.

434. quomodo ἐξ ὠκεανοῖο? num προσέβαλλεν ἐξ ὠκ.? dubito: neque enim tam ab oceano radiis ferire terram dicitur sol exoriens quam super oceanum evectus atque ascendens. nempe haec nescio quis male sedulus adscripsit, Il. η', 422 sublecta; sed ibi poëta oratione integra et perspicua: ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας, Ἐξ ἀκαλαῤῥείταο βαθυῤῥόου ὠκεανοῖο Οὐρανὸν εἰσανιών. igitur avellamus pannum assutum.

435—439. βῆσσαν. κ', 210. — ἐπακτῆρες, *venatores*. Il. ρ', 135. cf. 445. descriptio nativa et vivida venationis, cui descriptioni, nescio qua ratione, Eichhoffius *Etudes grecques sur Virg.* 2. p. 249. praefert illam Virgilii Aen. 4, 151.: *Postquam altos ventum in montes atque invia lustra, Ecce ferae saxi dejectae vertice cuprae Decurrêre jugis; alia de parte patentes Transmittunt cursu campos atque agmina cervi Pulverulenta fuga glomerant, montesque relinquunt. At puer Ascanius mediis in vallibus acri Gaudet equo; jamque hos cursu, jam praeterit illos; Spumantemque dari pecora inter inertia votis Optat aprum, aut fulvum descendere monte leonem.* ceterum cf., quae comparavit vir doctissimus, loca similia Nasonis Metam. 8, 329; 14, 342; Feneloni *Télémaque* lib. 7., et Voltairei *Henr.* 9, 130. — κραδάων δολ. ἔγχος. Il. η', 213. — λόχμην E interpretatur ξύλοχον (445, δ', 335 etc.), Ap. σύμφυτον τόπον. Am. B.: λόχμῃ. ὑλώδει χωρίῳ, πρὸς κοίτης ἐπιτηδείῳ, ἀπὸ τοῦ λέξασθαι.

440—443. v. ε', 478—482.

446. φρίξας εὖ λοφιὴν, *bene erectis setis*. quis ita locutus est? scribamus εὐλοφιὴν, ut εὔλοφος, cujusmodi verbis compositis scatet lingua graeca. ceterum v. Il. ν', 471—74, χ', 95.

448—453. χειρὶ παχείῃ, *manu robusta*. ζ, 128, χ', 95. — οὐτ. μεμαώς. ι', 301, Il. φ', 68. — φθά-

γουνὸς ὕπερ, πολλὸν δὲ διήφυσε σαρκὸς ὀδόντι
λικριφὶς ἀΐξας, οὐδ' ὀστέον ἵκετο φωτός.
τὸν δ' Ὀδυσεὺς οὔτησε τυχὼν κατὰ δεξιὸν ὦμον,
ἀντικρὺς δὲ διῆλθε φαεινοῦ δουρὸς ἀκωκή·
κάδδ' ἔπεσ' ἐν κονίῃσι μακὼν, ἀπὸ δ' ἔπτατο θυμός.
τὸν μὲν ἄρ' Αὐτολύκου παῖδες φίλοι ἀμφεπένοντο,
ὠτειλὴν δ' Ὀδυσῆος ἀμύμονος, ἀντιθέοιο,
δῆσαν ἐπισταμένως, ἐπαοιδῇ δ' αἷμα κελαινὸν
ἔσχεθον· αἶψα δ' ἵκοντο φίλου πρὸς δώματα πατρός.
τὸν μὲν ἄρ' Αὐτόλυκός τε, καὶ υἱέες Αὐτολύκοιο,
εὖ ἰησάμενοι, ἠδ' ἀγλαὰ δῶρα πορόντες,

μενος. Il. ε', 119 etc. — διήφυσε, *perhausit*, percussit. Ap.: ἐξήντλησεν, διέκοψεν. E: τὸ δὲ διήφυσε βάθος δηλοῖ τῆς πληγῆς ἕως ἐγγὺς τοῦ ὀστέου. διὸ καὶ τὴν οὐλὴν εἰκὸς βαθεῖαν οὖσαν ῥᾷον γνωσθῆναι ἂν ὑπὸ τῆς Εὐρυκλείας καὶ ἐν σκότῳ· ἄλλως γὰρ ἐπίπεδος οὖσα κ. ὁμαλὴ οὐκ ἂν ἔγνωστο. ἀστείως δὲ ἐῤῥέθη τὸ διήφ. κ. ἀσφαλῶς (sine offensione), ὡς πολλῆς ἐκεῖθεν ὑγρὰς σαρκὸς οἷον ἐξαντληθείσης. — ῥᾳδία δὲ πάντως ἡ δι' ὀδόντος πληγὴ τῷ συΐ· χαυλιόδων γάρ ἐστι, τουτέστι κεχαλασμένον τὸν ὀδόντα ἔξω ἔχων, κ. ὡς οἷά τι βέλος ἀεὶ προβεβλημένος αὐτὸν etc. — λικριφὶς ἀΐξας, *oblique ingruens*. Il. ξ', 463. — ἀντικρὺς — ἀκωκή. v. Il. λ', 253. scripsi ἀντικρὺς pro ἀντικρὺ, ut Il. γ', 359., ubi v. ann.

454. κ', 163.

455—458. τὸν μὲν, τὸν σῦν. — ἀμφεπένοντο. ο', 466 etc. — ὠτειλήν. κ', 164 etc. v. et ann. ad 391. — δῆσαν, *ligarunt*. vox artis chirurgicae. — ἐπισταμένως, *perite*. ε', 245 etc. — MS. Barnes.: ἐπαοιδῇ. ἰστέον, ὅτι ἀρχαία ἐστὶν ἡ διὰ τῆς ἐπαοιδῆς (ἐπῳδῆς) θεραπεία, ὥστε καὶ Πίνδαρος (Pyth. 3, 91) ἐπὶ τοῦ Ἀσκληπιοῦ μαλακαῖς ἐπαοιδαῖς λέγει. similiter Etym. M. h. v. Sch.: Διοκλῆς ἐπαοιδὴν παρέδωκε τὴν παρηγορίαν· ἴσχαιμον γὰρ εἶναι ταύτην, ὅταν τὸ πνεῦμα τοῦ τετρωμένου προσεχὲς ᾖ καὶ ὥσπερ προσηρτημένον τῷ παρηγοροῦντι· ὡς καὶ δι' ἑτέρων, ἀλλὰ σὲ μὲν θεράπων ποτιτέρπετο (Il. ο', 401). ἔσχεθον δὲ ἀντὶ τοῦ ἔπαυσαν. Voss.: *und hemmten das schwarze blut mit beschwörung*. Montbel.: „*ils arrêtent le sang noir par un enchantement*. Quoique j'aie employé le mot *enchantement* dans ma traduction, je crois que par ἐπαοιδῇ il faut entendre simplement une musique agréable et douce, propre à calmer les douleurs. Je crois aussi qu'il ne faut pas donner trop d'importance au verbe ἔσχεθον, *ils arrêtèrent*, puisque immédiatement avant le poëte a dit que les fils d'Autolycus bandèrent avec beaucoup de soin la blessure d'Ulysse. Au reste, on ne peut méconnaître l'influence de la musique dans les maladies, surtout dans les hémorragies; et, sans supposer qu'on guérisse une sciatique en jouant de la flûte sur le siége du mal, comme le dit Théophraste, (L'harmonie phrygienne était le remède souverain. cf. Athen. 14, p. 624, A, B. *Montb.* „Caelius quoque Aurelianus ait: *Philistionis fratrem scribere, quendam fistulatorem loca dolentia decantasse.*“ Feith. p. 141.) on sait que la médecine actuelle a souvent employé la musique avec succès dans le traitement de diverses maladies. Voyez une thèse soutenue en 1815 par J. B. Lamarche, intitulée: *Essai sur la Musique, considérée dans ses rapports avec la médecine.*“ Th. Bartholinus Miscell. med. de Morbis biblicis, Francof. 1672, pag. 61.: „Vere Salomon Prov. 17, 22.: *animus laetus bonam facit medicinam.* — et ad rem Hippocrates 2. Aphor. 23.: *in quovis morbo animo bene valere, ac rebus convenienter datis gaudere, bonum.* (ἐν πάσῃ νούσῳ τὸ ἐῤῥῶσθαι τὴν διάνοιαν, καὶ εὖ ἔχειν πρὸς τὰς προσφορὰς, ἀγαθόν.) hinc musica pro morborum multorum curatione apud veteres advocata, ut etiam melancholiam Saulis lyra sua David junior composuerit“ etc. Virg. Aen. 7, 757., notante Cl.: *neque*

* καρπαλίμως χαίροντα φίλην χαίροντες ἔπεμπον
εἰς Ἰθάκην. τῷ μέν ῥα πατὴρ καὶ πότνια μήτηρ
χαῖρον νοστήσαντι, καὶ ἐξερέεινον ἕκαστα,
οὐλὴν ὅττι πάθοι· ὁ δ' ἄρα σφίσιν εὖ κατέλεξεν,
ὥς μιν θηρεύοντ' ἔλασεν σῦς λευκῷ ὀδόντι,
Παρνησόνδ' ἐλθόντα σὺν υἱάσιν Αὐτολύκοιο.

herum agnitum laete appellat Euryclea.

Τὴν γρηῦς χείρεσσι καταπρηνέσσι λαβοῦσα
γνῶ ῥ', ἐπιμασσαμένη, πόδα δὲ προέηκε φέρεσθαι.
ἐν δὲ λέβητι πέσε κνήμη· κανάχησε δὲ χαλκὸς,
ἂψ δ' ἑτέρωσ' ἐκλίθη, τὸ δ' ἐπὶ χθονὸς ἐξέχυθ' ὕδωρ.
τὴν δ' ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένα, τὼ δέ οἱ ὄσσε
δακρυόφι πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
ἁψαμένη δὲ γενείου Ὀδυσσῆα προσέειπεν·
„Ἦ μάλ' Ὀδυσσεύς ἐσσι, φίλον τέκος, οὐδέ σ' ἔγωγε
πρὶν ἔγνων, πρὶν πάντα ἄνακτ' ἐμὸν ἀμφαφάασθαι!"

quae, reginae nuntiatura reditum ejus, turbatur a Pallade, et ipse Ulysses minis terret illam, ne rem intempestive eloquatur.

Ἦ, καὶ Πηνελόπειαν ἐσέδρακεν ὀφθαλμοῖσι,

eum juvere in volnera cantus *Somniferi et Marsis quaesitae montibus herbae.*

461. cur, quaeso, φίλην εἰς Ἰθάκην, quae non esset Autolyci ejusque filiorum patria, ut vocaretur cara, φίλη, quemadmodum δ', 585. dixit: ἔδοσαν δέ μοι οὖρον Ἀθάνατοι, τοί μ' ὦκα φίλην ἐς πατρίδ' ἔπεμψαν? num igitur φίλην Τηλεμάχῳ? at hoc friget, nec ita loqui solet poëta. accedunt variantes scripturae φίλως et φίλον, quarum haec quidem nonnisi in A. 3. habetur, correctoris haud dubie commentum, φίλως autem et in MS. Thomae Bentleji et in A. 2. legitur, estque ab Altero expressum, sed temere: nam scribendum est, si quid sentio, φίλοις, *voluptate*, delectatione, h. e. venatu illo, quo et Ulysses et avus maternus ejusque filii gaudebant. sic φίλα esse dicuntur ea, quae placent, et in quae velut naturae impetu deferimur. v. Schn. v. φίλος. Aeschylus Theb. 709.: κρατηθεὶς δ' ἐκ φίλων ἀβουλίαις, ubi Paris. 2787.: ἡδονῶν, etc. permisceri οι et ω, nemo est gnarus codicum, quin sciat. E: ὅτι δὲ τοῖς παλαιοῖς περισπούδαστον ἦν τὸ κυνηγετεῖν, αἱ παλαιαὶ πράξεις δηλοῦσιν, ἐν αἷς μυρία πρόσωπα λαμπρὰ περιάδονται, χαίροντα τῷ θηρατικῇ τέχνῃ, κ. εὐδοκιμοῦντα περὶ αὐτὴν, ὅτι μηδὲ ἔστιν εἰκαῖον ἔργον αὕτη, ἀλλὰ γυμνάσιον πολεμικὸν, δίχα γε τοῦ καὶ βίον προσπορίζειν ἐνιαχοῦ ὅλοις ἔθνεσιν etc.

464—483. οὐλὴν, *de cicatrice.* — ἔλασεν, ἔπληξεν. Ex E. — καταπρηνέσσι. ν', 164. — ἐπιμασσαμένη. 481, ι', 302, Il. δ', 190 etc. — φέρεσθαι, *ferri*, auferri. ε', 331 etc. — ἂψ — ἐκλίθη, *eversus est.* Voss.: *nieder sank in die wanne das bein, dass klingend das erz scholl*, Und auf die Seite sich lehnt', *und zur erd' ausströmte das wasser.* — E: τὴν — φρένα. ὅθεν λαβὼν, φασὶ, Σοφοκλῆς (incertum quo loco) ἔφη, ὡς χάρμ' ὑφέρπει δάκρυον ἐκκαλούμενον. Tieckius noto carmine: *Herz, Herz, Bebst du vor Wonn' oder Schmerz?* magis etiam ἐμφατικῶς Homerus ipse Il. ζ', 484.: δακρυόεν γελάσασα, quasi dicas *thränenhaft lächelnd.* — τῷ — φωνή. δ', 704, Il. ρ', 695, ψ', 396. θαλερή. v. Schn. v. θαλερός. — πάντα, πάντως. inepte E: ἤγουν ὅλον, interpretes: *totum* herum meum. — ἀμφαφάασθαι. θ', 215 etc. — πεφραδέειν.

πεφραδέειν ἐθέλουσα φίλον πόσιν ἔνδον ἐόντα.
ἡ δ' οὔτ' ἀθρῆσαι δύνατ' ἀντίη, οὔτε νοῆσαι·
τῇ γὰρ Ἀθηναίη νόον ἔτραπεν. αὐτὰρ Ὀδυσσεὺς
χείρ' ἐπιμασσάμενος φάρυγος λάβε δεξιτερῆφι,
τῇ δ' ἑτέρῃ ἕθεν ἆσσον ἐρύσσατο, φώνησέν τε·
„Μαῖα, τίη μ' ἐθέλεις ὀλέσαι; σὺ δέ μ' ἔτρεφες αὐτὴ
τῷ σῷ ἐπὶ μαζῷ· νῦν δ' ἄλγεα πολλὰ μογήσας
ἤλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
ἀλλ' ἐπεὶ ἐφράσθης, καί τοι θεὸς ἔμβαλε θυμῷ,
σίγα, μήτις τ' ἄλλος ἐνὶ μεγάροισι πύθηται.
* *ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·*
εἴ χ' ὑπ' ἐμοίγε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυούς,
οὐδὲ τροφοῦ οὔσης σεῦ ἀφέξομαι, ὁππότ' ἂν ἄλλας
δμῳὰς ἐν μεγάροισιν ἐμοῖς κτείνωμι γυναῖκας.“

silentium promittit anus, seque procis sublatis probas improbasque famulas ipsi indicaturam esse.

Τὸν δ' αὖτε προσέειπε περίφρων Εὐρύκλεια·
„τέκνον ἐμὸν, ποῖόν σε ἔπος φύγεν ἕρκον ὀδόντων!

η', 49, α', 273 etc. — ἡ δέ. Penelope. male Eurycleam E dici putat. avertit subito Minerva mentem Penelopae, ut nec satis videre oculis possit, nec intelligere, quid agatur: adhuc enim omnia viderat, exadversum sedens cum ancillis. E: *τὸ δὲ ἀφεθῆναι τὸν πόδα, κ. τὸν χαλκὸν ἠχῆσαι, κ. τὸ ὕδωρ χεθῆναι, δῆλα μὲν πάντως καὶ τῇ Πηνελόπῃ. δοκοῦσι δὲ δι' ἀσθένειαν γενέσθαι τῆς γραός· ὀλιγηπελέουσα γὰρ εἶναι ὑπόκειται* (356). *διὸ καὶ τοῦ μεγάρου ἐκβαίνουσα μετ' ὀλίγον, ἐφ' ᾧ οἴσεσθαι ποδάνιπτρα, ἐπεὶ τὰ πρότερα ἔκχυτο πάντα, οὐκ ἐρωτᾶται ὑπὸ τῆς δεσποίνης, ὡς τῶν προτέρων διὰ τὴν αὐτῆς ὀλιγηπελίαν ἐκχυθῆναι δοκούντων.* — E: *φάρυγος* (ί, 373) *λάβε. λαβόμενος τῆς γραὸς ἐκ τῆς φάρυγγος οὐκ ἀφίει λαλεῖν.* — *σὺ δὲ — μαζῷ.* moris quidem fuit Graecorum, ut matres suo potissimum lacte alerent liberos, et revera Penelope filium lactasse dicitur λ', 447. (*πάϊς δέ οἱ ἦν ἐπὶ μαζῷ Νήπιος*); sed fieri potuit, ut propter inopiam lactis materni nutrices adscirentur. quare haec ego nequaquam insimulaverim, quamvis procedat oratio deletis versibus 483. et 84. v. Feith. 2, 18, 2.

485. E. *τὸ θεὸς ἔμβαλε θυμῷ θεῖόν τι δηλοῖ τὸν τοῦ Ὀδυσσέως ἀναγνωρισμὸν εἶναι· οὐ γὰρ ἂν ἄλλως ἡ γραῦς ἀνέγνω τὸν ἠλλοιωμένον ὑπὸ τῆς Ἀθηνᾶς.*

487. *ὧδε γὰρ ἐξερέω.* hoc si genuinum est, interficiet Ulysses Eurycleam, seu sileat, sive rem eloquatur. dure enim intelligas *κατὰ τὸ σιωπώμενον: εἰ μὴ σιγᾷς.* scribamus potius, aperta sententia, facilique mutatione: *εἰ δ', ἀτὰρ ἐξερέω.* sic libri apud Aeschylum Eum. 200. habent *ἠρκέσω* vel *ἀρκέσω* pro *ἀρκέσει*, nec raro *εἰ δὲ* et *οὐ δὲ* similiaque confunduntur, ne de γ et τ litteris quavis pagina permixtis dicam. ellipticum *εἰ δὲ*, *sin vero*, germ. *wo nicht*, illustravimus ann. ad Il. ϑ', 18 et ί, 46. *ἀτὰρ* pro *δὲ* positum est in apodosi, ut Il. γ', 288.: *εἰ δ' ἂν ἐμοὶ τιμὴν Πρίαμος Πριάμοιό τε παῖδες Τίνειν οὐκ ἐθέλωσιν Ἀλεξάνδροιο πεσόντος, Αὐτὰρ ἐγὼ* etc. saepius lectum illud *ὧδε γὰρ ἐξερέω* hic quoque inculcaverint librarii oscitantes. v. π', 440, φ', 337, Il. α', 212 etc. ceterum A. 2. et 3., obsequente Altero: — *ἐξ., καί κεν τετ. ἔσται.*

490—507. *κτείνωμι* Harl., W, B, quam scripturam E commemoravit. vulgo: *κτείναιμι.* v. Matth. §. 207, 10. — *τέκνον ἐμόν.* appellatio *χαρακτηριστικὴ* in seniore et ea, quae Ulyssem lactaverit. cf. δ', 78, ψ', 70 etc. —

οἶσθα μὲν, οἷον ἐμὸν μένος ἔμπεδον, οὐδ' ἐπιεικτόν·
ἕξω δ', ὡς ὅτε τις στερεὴ λίθος ἠὲ σίδηρος.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
εἴ χ' ὑπὸ σοίγε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυοὺς,
δὴ τότε τοι καταλέξω ἐνὶ μεγάροισι γυναῖκας,
αἵ τέ σ' ἀτιμάζουσι, καὶ αἳ νηλίτιδές εἰσι."
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„μαῖα, τίη δὲ σὺ τὰς μυθήσεαι; οὐδέ τί σε χρή·
εὖ νυ καὶ αὐτὸς ἐγὼ φράσομαι, καὶ εἴσομ' ἑκάστην.
ἀλλ' ἔχε σιγῇ μῦθον, ἐπίτρεψον δὲ θεοῖσιν."
Ὣς ἄρ' ἔφη· γρηῢς δὲ διὲκ μεγάροιο βεβήκει,
οἰσομένη ποδάνιπτρα· τὰ γὰρ πρότερ' ἔκχυτο πάντα.
αὐτὰρ ἐπεὶ νίψεν τε, καὶ ἤλειψεν λίπ' ἐλαίῳ,
αὖτις ἄρ' ἀσσοτέρω πυρὸς ἕλκετο δίφρον Ὀδυσσεὺς
θερσόμενος, οὐλὴν δὲ κατὰ ῥακέεσσι κάλυψε.

Penelope, postquam denuo dubium rerum suarum statum deflevit apud conjugem, somnium nimis manifestum narrat.

τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
* „Ξεῖνε, τὸ μέν σ' ἔτι τυτθὸν ἐγὼν εἰρήσομαι αὐτή·
καὶ γὰρ δὴ κοίτοιο τάχ' ἔσσεται ἡδέος ὥρη,
ὅντινά γ' ὕπνος ἕλοι γλυκερὸς, καὶ κηδόμενόν περ.
* αὐτὰρ ἐμοὶ καὶ πένθος ἀμέτρητον πόρε δαίμων·
ἤματα μὲν γὰρ τέρπομ' ὀδυρομένη, γοόωσα,
ἔς τ' ἐμὰ ἔργ' ὁρόωσα καὶ ἀμφιπόλων ἐνὶ οἴκῳ·
αὐτὰρ ἐπὴν νὺξ ἔλθῃ, ἕλῃσί τε κοῖτος ἅπαντας,
κεῖμαι ἐνὶ λέκτρῳ, πυκιναὶ δέ μοι ἀμφ' ἀδινὸν κῆρ
ὀξεῖαι μελεδῶναι ὀδυρομένην ἐρέθουσιν.
ὡς δ' ὅτε Πανδαρέου κούρη, χλωρηῒς ἀηδὼν,

ποῖόν σε — ὀδόντων; Il. δ', 350 etc. — ἐπιεικτὸν sensu activo, ut Il. ε', 892 etc. E: ἔστι δ' ἐπιεικτὸν κυρίως τὸ εἶκον ἀφῇ, ὡς μαλακόν. — ἕξω, κατάσχω τὸ πρᾶγμα, σιγήσω, κατὰ τὸ ἀλλ' ἔχε σιγῇ μῦθον, ὁ κατωτέρω (502) κεῖται· ἢ καὶ ἄλλως κοινότερον ἀντὶ τοῦ διατεθῶ, ἐφ' οἷς παραγγέλλεις, memoriter, opinor, Plut. l. de Garrulitate: ἕξω δ' ἠΰτε περ κρατερὴ δρῦς, ἠὲ σίδηρος. semel dixit λίθον genere feminino. ceterum v. 211. — αἵ — εἰσιν. π', 317. νηλίτιδες A. 1. et Am. B. E: — νηλιτεῖς (quae vulgata scriptura est) —, ἢ νηλίτιδες. cf. Schn. v. νηλίτης. — ἐπίτρεψον δὲ θεοῖσιν, et diis rem committe. similiter φ', 279, χ', 289. cf. ο', 24 etc. — αὐτὰρ — ἐλαίῳ. γ', 466, Il. κ', 577 etc. — αὖτις — θερσόμενος. cf. ρ', 572, 73. E: αὖτις ἀσσοτέρω πυρὸς τοῦ κατὰ τὴν ἐσχάραν ἕλκετο δίφρον Ὀδ. θερσόμενος, ἤγουν θερμανθησόμενος, ὡς διὰ τὸ νίψεσθαι πορρωτέρω γενόμενος.

509. cf. 104. τυτθὸν, paulum. ι', 483 etc.

512. καὶ inutile est, ponamus κὲν, quod mitigat orationem. particulae saepius confusae: v. δ', 546.

515—517. Sch.: κοῖτος. ἀντὶ τοῦ ὕπνος. Ap.: κοῖτος, ὁ ὕπνος ὁ ἐν τῇ κοίτῃ· κοίτου τ' ἐμνήσαντο. (? v. η', 138.) — ἀδινὸν κῆρ. v. Il. π', 481 et Schn. v. ἀδινός. — μελεδῶναι, μελεδήματα. μελεδῶνας dixit scriptor hymni in Apoll. 532.

518—523. E: τὸν δὲ περὶ τῆς ἀηδόνος μῦθον διαφόρως ἤτοι ἀνομοίως τοῖς νεωτέροις (v. Apollod. 3, 13, Ovid.

καλὸν ἀείδησιν, ἔαρος νέον ἱσταμένοιο,
δενδρέων ἐν πετάλοισι καθεζομένη πυκινοῖσιν.

Met. 6, 455 seqq.) *μεταχειρίζεται ὁ ποιητής. οὔτε γὰρ Πανδίονος ὁμοίως αὐτοῖς μέμνηται, εἰ μὴ ἄρα διώνυμος ἐκεῖνος ἦν, Πανδάρεός τε καὶ Πανδίων καλούμενος, οὔτε Πρόκνης, οὔτε Τηρέως, καὶ τὸν παρὰ τοῖς νεωτέροις δὲ Ἴτυν Ἴτυλον αὐτὸς λέγει. — καὶ οὕτω μὲν οἱ τοιοῦτοί φασι, τοῖς δὲ περὶ τὸν ποιητὴν ἑτεροῖα δοκεῖ. Πανδαρέου, ᾧ πατὴρ Μέροψ ὁ Μιλήσιος, κούρας οἴδασι Μερόπην, Κλεοθήραν, καὶ Ἀηδόνα. τούτων ἡ πρεσβυτάτη Ἀηδὼν Ζήθῳ τῷ Ἀμφίονος ἀδελφῷ, φασί, γαμηθεῖσα ἔσχεν υἱὸν ἕνα τὸν Ἴτυλον. φθονοῦσα δὲ τῇ τοῦ δάερος Ἀμφίονος πολυτεκνίᾳ, συχνοὶ γὰρ αὐτῷ ἐγίνοντο παῖδες ἐκ Νιόβης τῆς Ταντάλου, ἢ Ἱππομεδούσης, ἐπεὶ ἑώρα τὸν υἱὸν Ἴτυλον συναθύροντα ἐκείνοις, καί ποτε καὶ συνανακλινόμενον, παραγγέλλει κατὰ καιρὸν τῷ παιδὶ ἰδίᾳ κοιτασθῆναι, ἢ κατά τινας* (velut Sch.) *τὴν ἐνδοτέρω κοίτην ἑλέσθαι, ὡς ἂν ἀωρὶ νυκτὸς αὐτὴ ἐπελθοῦσα τὸν πρῶτον ἀποσφάξῃ τῶν Ἀμφίονος παίδων. ὁ δὲ ἦν ὁ Ἀμαλεύς. τοῦ δὲ Ἰτύλου ἐκλαθομένου, ἢ ἄλλως μὴ ὑπακούσαντος, ἐπεισφρήσασα νυκτὸς ἡ Ἀηδὼν ἀποσφάττει τὸν παῖδα Ἴτυλον, εἰς τὸν Ἀμαλέα δοκοῦσα βάπτειν τὸ ξίφος. ὡς δὲ τοῦ φθόνου κακὸν οὕτω κατέσκηψεν, εἰς τὸν Ἴτυλον, κάτοχος ἡ μήτηρ γενομένη τῷ πένθει αἰτεῖ θεοὺς ἐξ ἀνθρώπων γενέσθαι, κ. ἀλλαγεῖσα εἰς ἀηδόνα τὴν φαινομένην τὸ τοῦ Ἰτύλου πένθος ὅμως οὐ μετήλλαξεν, ἀλλ' ἐπὶ τὸ στόμα ἔχει αὐτὸν ᾄδουσα. — καὶ οὕτω μὲν τὰ κατὰ τὴν ἀηδόνα. ἐν δὲ τῇ ἑξῆς ῥαψῳδίᾳ* (*υ'*, 66—78) *ἡ Πηνελόπη λέγει, ὡς τὰς λοιπὰς δύο Πανδαρέου κούρας, ὀρφανὰς τοκέων λειφθείσας, ἐκόμισεν Ἀφροδίτη, ὡραίας δὲ γάμου γενομένας ἀνηρείψαντο Ἅρπυιαι, κ. παρεδόθησαν Ἐριννύσιν ἀμφιπολεύειν. ἴσως γὰρ περικαλλεῖς μὲν οὖσαι, δι' ὀρφανίαν δὲ δυσπραγοῦσαι, καὶ εἰς ὑποδύσκολον κ. ὡς οἷον εἰπεῖν ἐριννυῶδες ἦθος μεταβληθεῖσαι τῇ λύπῃ, ᾤχοντο ἀνώνυμοι, κ. διατοῦτο καὶ ἀνέμοις ἀπαχθῆναι* (perperam liber: *ἐπαχθ.*) *κ. Ἐριννύσι παραδοθῆναι μυθεύονται. — περὶ δὲ τοῦ ῥηθέντος Πανδαρέου φέρεται λόγος* (Sch.), *ὅτι κύνα κλέψας χρυσοῦν ἐν Κρήτῃ, Ἡφαίστου ἔργον ἔμψυχον, ἐκ τοῦ Διὸς τεμένους παρακατέθετο Ταντάλῳ· Διὸς δὲ ἀπαιτοῦντος τὸ κλέμμα δι' Ἑρμοῦ ὤμοσεν ὁ Τάνταλος μὴ ἔχειν. καὶ Ζεὺς μὲν τὸν κύνα, Ἑρμοῦ ὑφελομένου ἀπολαβὼν κατέστρεψε τῷ Ταντάλῳ ὄρος τὸ Σίπυλον· ὁ δὲ Πανδάρης ἢ Πανδάρεος φυγὼν εἰς Ἀθήνας ἐκεῖσε* (*ἐκεῖθεν*) *εἰς Σικελίαν διέβη, ἔνθα διεφθάρη, φασί, μετὰ τῆς γυναικὸς Ἁρμοθόης. τὸ δὲ Πανδαρέου ὅμοιον τῷ Τυνδαρέου, ὃ κεῖται παρὰ τῷ ποιητῇ* (*λ'*, 297, *ω'*, 199) *ὁμοίως τῷ Πηνελέου.* (dicit Il. *ξ'*, 489, sed v. ibi ann. haud male Barn.: *Πανδάρεω.*) *κούρη δὲ Πανδαρέου τὸ πτηνὸν ἡ ἀηδὼν κατά τινα τρόπον μετωνυμίας, ἢ μεταλήψεως· οὐ γὰρ ἡ ὄρνις Πανδαρέου θυγατήρ. — χλωρηῒς δὲ ἀηδὼν ἢ ὡς ἐν χλωροῖς, φασὶ* (Sch.), *διατρίβουσα, ἢ ὡς ἅμα τοῖς χλωροῖς φαινομένη, ἔαρος γὰρ φαίνεται, ἢ διὰ τὸ χρῶμα* (recte), *διό, φασί, καὶ παρὰ Σιμωνίδῃ χλωραύχενες αἱ ἀηδόνες λέγονται.* (*ποικιλόδειρον* lusciniam vocat Hesiodus O. et D. 203., h. e. Guyeto interprete *variegatam*, non *canoram*, ut vulgo reddunt; videtur autem pertinere hoc epitheton ad mutabilem avis colorem: v. Aristoteles H. A. 9, 36, 2, Schn. lexico gr. v. *χλωρηΐς.*) *ἐν δὲ τῷ ἔαρος νέον ἱστ. δηλοῖ, τότε μάλιστα ᾠδικὸν εἶναι τοὐρνίδιον,* (*ὡς*) *εἴποι ἂν ὁ Κωμικός· παρακμάζοντος γὰρ ἔαρος ἀνίεται καὶ τὸ μέλος.* nimis confidenter Knightius Pandarei filiae metamorphosin dicit „fabulam, ut alias ejusmodi, serioris aevi et e mystica vel symbolica religione ortam.“ difficilis enim res est initiorum omnium investigatio, nec apparet causa, cur hoc mythorum genus abjudicemus ab Homero, fonte mythorum. — „Demetrius Phaler. *περὶ Ἑρμ.* §. 133.: *εἰ μέν τις ἐν πράγματι χάρις ἐστὶ, τάδε καὶ ἡ λέξις ποιεῖ ἐπιχαριτώτερα, οἷον ὡς δ' ὅτε Πανδαρέου κ. τ. λ. ἐνταῦθα γὰρ καὶ ἡ ἀηδὼν χαρίεν ὀρνίθιον, καὶ τὸ ἔαρ φύσει χαρίεν, πολὺ δὲ ἐπικεκόσμηται τῇ ἑρμηνείᾳ· καὶ ἔστι χαριέστερα τό τε χλωρηῒς, καὶ τὸ Πανδαρέου κούρη εἰπεῖν ἐπὶ ὄρνιθος, ἅπερ τοῦ ποιητοῦ ἴδια ἐστί.* cf. Strabo 14, p. 981. vel 665. Virg. Georg. 4, 511.: *qualis populea moerens Philomela sub umbra Amissos queritur foetus. — Flet noctem, ramoque sedens miserabile car-*

ἥτε θαμὰ τρωπῶσα χέει πολυηχέα φωνήν,
παῖδ' ὀλοφυρομένη Ἴτυλον φίλον, ὅν ποτε χαλκῷ
κτεῖνε δι' ἀφραδίας, κοῦρον Ζήθοιο ἄνακτος,
ὣς καὶ ἐμοὶ δίχα θυμὸς ὀρώρεται ἔνθα καὶ ἔνθα,
ἠὲ μένω παρὰ παιδὶ, καὶ ἔμπεδα πάντα φυλάσσω,
κτῆσιν ἐμὴν, δμωάς τε, καὶ ὑψερεφὲς μέγα δῶμα,
εὐνήν τ' αἰδομένη πόσιος, δήμοιό τε φῆμιν,
ἦ ἤδη ἅμ' ἕπωμαι Ἀχαιῶν ὅστις ἄριστος
μνᾶται ἐνὶ μεγάροισι, πορὼν ἀπερείσια ἕδνα.
παῖς δ' ἐμὸς, ἕως μὲν ἔην ἔτι νήπιος ἠδὲ χαλίφρων,
γήμασθ' οὔ μ' εἴα πόσιος κατὰ δῶμα λιποῦσαν·
νῦν δ' ὅτε δὴ μέγας ἐστὶ, καὶ ἥβης μέτρον ἱκάνει,
καὶ δή μ' ἀρᾶται πάλιν ἐλθέμεν ἐκ μεγάροιο,
κτήσιος ἀσχαλόων, τήν οἱ κατέδουσιν Ἀχαιοί.
ἀλλ' ἄγε μοι τὸν ὄνειρον ὑπόκριναι, καὶ ἄκουσον.
χῆνές μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσιν
ἐξ ὕδατος, καί τέ σφιν ἰαίνομαι εἰσορόωσα·
ἐλθὼν δ' ἐξ ὄρεος μέγας αἰετὸς ἀγκυλοχείλης
πᾶσι κατ' αὐχένας ἦξε, καὶ ἔκτανεν. οἱ δ' ἐκέχυντο
ἀθρόοι ἐν μεγάροις· ὁ δ' ἐς αἰθέρα δῖαν ἀέρθη.
αὐτὰρ ἐγὼ κλαῖον, καὶ ἐκώκυον, ἔν περ ὀνείρῳ·

men Integrat, et moestis late loca questibus implet." E Cl. Eichh. conferri jussit similia loca de luscinia Ariosti (Orl. 45, 39), Tassonis (*Gerus.* 12, 90), Miltoni (*Parad. lost* 3, 38) et Voltairei (*Henr.* 8, 265). veris cantator nostras Kleistius: — *Der Zeisig klaget der Schönen Sein Leid aus Zellen von Laub. Vom Ulmbaum flötet die Amsel In hohlen Tönen den Bass. Nur die geflügelte Stimme, Die kleine Nachtigall, weicht ruhmsüchtig in einsame Gründe, Durch dichte Wipfel umwölbt, der Traurigkeit ewige Wohnung, — Und macht die schreckbare Wüste zum Lustgefilde des Waldes.* — ἥτε — φωνήν. quis non sentiat proprietatem verissimam pulcherrimamque hujus descriptionis? χαρακτηριστικὸν enim est in luscinia, nec imitabile, quidquid student aliae aves, vocis multisonae volubilitas, τὸ θαμὰ τρωπᾶν πολυηχέα φωνήν. — δι' ἀφραδίας, *per inconsiderantiam.* saepe Hom. dixit ἀφραδίας euphoniae et magniloquentiae causa, semel ἀφραδίην Il. β', 368, nisi forte ponendum ibi est ἀφραδίῃς, ut χ', 388. v. ann. ad 82.

524—534. ὀρώρεται. 377. cf. π', 73—77. — ἔμπεδα π. φυλ. β', 227, λ', 177. — ἀπερ. ἕδνα. Il. π', 178, α', 13 etc. — χαλίφρων. δ', 371. — καὶ — ἱκάνει. λ', 316. — καὶ δή μ' ἀρᾶται π. ἐλθ., h. e. καὶ ἀρ. δὴ π. ἐλθεῖν με, *jam vel optat ut redeam*, nedum ut vetet. πάλιν ἐλθέμεν, *redire.* Il. ι', 408. — κτήσιος. genit. causalis. — ἀσχαλόων, *indignatus.* 159.

535—557. quantum somniis tribuerint veteres, nemo nescit, quorum somniorum interpretes vocabantur ὀνειροπόλοι. v. Il. α', 63, Feith. 1, 16, 4. et ejus annotatorem Stöberum p. 31. — Am. B. et Pal.: πυρὸν — ὕδατος. ἢ ἀντὶ τοῦ βεβρεγμένον ὕδατι σῖτον· ἢ ἐξιόντες τοῦ ὕδατος, ἔνθα διατρίβουσι. hoc solum placet Pseudodidymo: ἔξω κ. χωρὶς ὕδατος. et legitur quidem ἐξ ἁλὸς pro ἔξω ἁλὸς λ', 133, ubi v. ann.; sed probanda tamen est prior illorum interpretatio, siquidem frumento macerato nutriri et saginari domi solent anseres. Voss.: *zwanzig hab' ich der gäns' im haus' hier, welche den* weizen Fressen, mit wasser gemischt; *und ich freue mich, solche betrachtend.* ἐξ pro ἔξω, ut λ', 133. — ἰαίνομαι, *laetor*, delector. ζ', 156. — ἀγκυλοχείλης. χ', 302, Il. π', 428. — ἐκέχυντο, *fusi* seu dejecti sunt. κ', 415 etc. — αἰθέρα δῖαν. Il. π', 365. —

ἀμφὶ δ' ἔμ' ἠγερέθοντο ἐϋπλοκαμῖδες Ἀχαιαί,
οἴκτρ' ὀλοφυρομένην, ὅ μοι αἰετὸς ἔκτανε χῆνας.
ἂψ δ' ἐλθὼν κατ' ἄρ' ἕζετ' ἐπὶ προὔχοντι μελάθρῳ,
φωνῇ δὲ βροτέῃ κατερήτυε, φώνησέν τε·
„„Θάρσει, Ἰκαρίου κούρη τηλεκλειτοῖο·
οὐκ ὄναρ, ἀλλ' ὕπαρ ἐσθλόν, ὅ τοι τετελεσμένον ἔσται.
χῆνες μὲν μνηστῆρες· ἐγὼ δέ τοι αἰετὸς ὄρνις
ἦα πάρος, νῦν αὖτε τεὸς πόσις εἰλήλουθα,
ὃς πᾶσι μνηστῆρσιν ἀεικέα πότμον ἐφήσω.““
„Ὣς ἔφατ'· αὐτὰρ ἐμὲ μελιηδὴς ὕπνος ἀνῆκε.
παπτήνασα δὲ χῆνας ἐνὶ μεγάροισι νόησα
πυρὸν ἐρεπτομένους παρὰ πύελον, ἧχι πάρος περ.“

cui viso confidere illam jubet Ulysses.

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ὦ γύναι, οὔπως ἔστιν ὑποκρίνασθαι ὄνειρον
ἄλλῃ ἀποκλίναντ', ἐπειή ῥά τοι αὐτὸς Ὀδυσσεὺς
πέφραδ', ὅπως τελέει, μνηστῆρσι δὲ φαίνετ' ὄλεθρος
πᾶσι μάλ', οὐδέ κέ τις θάνατον καὶ Κῆρας ἀλύξει.“

dubitat tamen Penelope propter duplex somniorum genus; tum nuptias suas in certamen securium, quas Ulysses domi statuerat, se adducturam esse dicit.

Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
„ξεῖν', ἦτοι μὲν ὄνειροι ἀμήχανοι ἀκριτόμυθοι

ἐϋπλοκ. Ἀχαιαί (β', 119), ut καρηκομόωντες Ἀχαιοί: uterque enim sexus Graecorum comam alebat aevo heroïco: v. ann. ad Il. β', 11. — ὅ μοι. ὅτι μοι. — προὔχοντι, *prominente*. Il. χ', 97, Od. ζ, 138. — φωνῇ δὲ βροτέῃ κατ., φώνησέν τε. est hoc initium tenue fabularum Aesopiarum, uti et colloquium accipitris cum luscinia apud Hesiodum O. et D. 202. κατερήτυε *retinuit* fugientem metu. v. Il. ι', 465 etc. — οὐκ ὄναρ, ἀλλ' ὕπαρ ἐσθλόν. Ammonius: ὕπαρ ὀνείρατος διαφέρει. ὕπαρ μὲν γάρ ἐστιν ἡ ἐναργὴς ὄψις, ὄνειρον δὲ (quod idem τῷ ὄναρ) ἡ ἐν τῷ καθεύδειν φαντασία. hoc Catone contenti simus suadeo cum Valckenaerio, nec ineptis notationibus horum verborum indulgeamus. ceterum ὄναρ etiam quodvis somnium, seu verax, seu fallax, dicitur: v. ann. ad 563. — ἀεικέα πότμον, *saevam mortem*. β', 250, Il. δ', 396 etc. — μελιηδής, μελίφρων, γλυκύς. η, 289, Il. β', 34 etc. — παπτήνασα, *circumspiciens*. λ', 607, Il. δ', 200 etc. — E ad 536.: τὸ δὲ πυρὸν ἔδουσι πυρὸν ἐρέπτεσθαι (ι', 97) μετ' ὀλίγα εἶπεν, ὅπερ ἐστὶν οἰκειότερον ἐπὶ ζώων ἀλόγων. — νόησα παρὰ πύελον, *vidi apud pelvim* stantes, non ἐρεπτ. πυρὸν παρὰ π. v. 537. Voss.: *forschend darauf nach den gänsen, erblickt' ich sie all' in der wohnung, Welche mit weizen* am trog *sich sättigten, so wie gewöhnlich.* E: πύελος δὲ συνήθως ἡ λεκανίς. οὐκ ἂν δὲ ἴσως αὕτη παρὰ τὸ πτύειν (!) γίνοιτο, ἀλλὰ παρὰ τὸν πυὸν, ὅς ἐστιν ἀπάνθεσμα γάλακτος (colostra), ὡς τοιούτων ἴσως ἀγγείων ξυλίνων χρησιμευόντων εἰς ὑποδοχὴν πυοῦ τοῖς νομεῦσι κατὰ τοὺς προῤῥηθέντας (ι', 223) γαυλούς. — φαίνετ', ἐφαίνετο, vel φαίνεται.

558. ρ', 547. perperam librarii codicum A. 1. et 4. post hunc versum inculcaverunt υ', 369 et 70.

560—568. Sch.: ἀμήχανοι (363,

γίγνοντ', οὐδέ τι πάντα τελείεται ἀνθρώποισι.
δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων·
αἱ μὲν γὰρ κεράεσσι τετεύχαται, αἱ δ' ἐλέφαντι·
τῶν οἳ μέν κ' ἔλθωσι διὰ πριστοῦ ἐλέφαντος,
οἵ ῥ' ἐλεφαίρονται, ἔπε' ἀκράαντα φέροντες·
οἱ δὲ διὰ ξεστῶν κεράων ἔλθωσι θύραζε,
οἵ ῥ' ἔτυμα κραίνουσι, βροτῶν ὅτε κέν τις ἴδηται.
ἀλλ' ἐμοὶ οὐκ ἐντεῦθεν ὀΐομαι αἰνὸν ὄνειρον

Il. θ', 130 etc.). πρὸς οὓς μηχανὴν εὑρεῖν οὐκ ἔστιν. scil. μηχανὴν ἑρμηνείας, ἢ κρίσεως. E: — πρὸς οὓς οὐκ ἔστι κρίσιν τινὰ ὡρισμένην τεχνήσασθαι, ἤτοι μηχανήσασθαι. — Am. B.: ἀκριτόμυθοι. ἄκριτα κ. ἀδιάτακτα λέγοντες. — δοιαὶ — ἐλέφαντι. mira fictio, quam varie explicare studuerunt. mitto nugas manifestas, illorum autem non rejiciam opinionem, de quibus Sch.: τινὲς δὲ οὕτως ἀπέδοσαν. κερατίνην μὲν τὴν ἀληθῆ, κ. διαφανῆ, κ. λάμπουσαν· ἐλεφαντίνην δὲ τὴν ψευδῆ, κ. ἀσαφῆ, κ. συγκεχυμένην. Porphyrium, ni fallor, dicit, qui latinis verbis apud Macrobium Comment. in Somn. Scip. 1, 3.: *Latet*, inquit, *omne verum. hoc tamen anima, cum ab officiis corporis somno ejus paululum libera est, interdum adspicit; nonnunquam tendit aciem, nec tamen pervenit, et, cum adspicit, tamen non libero et directo lumine videt, sed interjecto velamine, quod nexus naturae caligantis obducit. — hoc velamen cum in quiete ad verum usque aciem animae introspicientis admittit, de cornu creditur, cujus ista natura est, ut tenuatum visui pervium sit; cum autem a vero hebetat ac repellit obtutum, ebur putatur, cujus corpus ita natura densatum est, ut, ad quamvis extremitatem tenuitatis crasum, nullo visu ad ulteriora tendente penetretur.* Homerum tamen ipsum excutienti, qui, simili sono ductus, vocem ἐλέφας referre videtur ad ἐλεφαίρειν, et κέρατα ad κραίνειν, potius nescio cujus alius placeat sententia, qui sic existimabat, referente Eustathio: λέγειν τὸν ποιητὴν κερατίνην μὲν πύλην, ὅθεν οἱ ἀληθεῖς (ὄνειροι) κ. ἔτυμα κραίνοντες, παρηχουμένου πως τοῦ κραίνειν τοῖς κέρασιν, ὡς ἐκ τοῦ κέρας κεραίνω κ. κραίνω· ἐλεφαντίνην δέ, ὅθεν οἱ ψευδεῖς κ. ἐλεφαιρόμενοι, ὅ ἐστι παραλογιζόμενοι, ἀπατῶντες, etc. similiter de iisdem Sch. prisca ed.: κερατίνην μὲν τὴν ἀληθῆ τὸ (scrib. τῷ) ἔτυμα κραίνειν κ. τελειοῦν, ἐλεφαντίνην δὲ τὴν ψευδῆ· ἐλεφήρασθαι γὰρ τὸ παραλογίσασθαι κ. ἀπατῆσαι. οὐδ' ἄρ' Ἀθηναίην ἐλεφηράμενος λάθ' Ἀπόλλων. (Il. ψ', 388.) Heyn. excursu 15. ad Aen. 6, 894., Virg. 2., p. 1041. 4. ed.: „de ratione eboris et cornu ad portas Somni translati varia sunt veterum et recentiorum interpretum ad Homericum et Virgilianum locum somnia. verisimilior ex iis fortasse interpretatio est haec, apposita etiam a Macrobio ad Somn. Sc. 1, 3., *quod ebur, etsi candore suo lucem promittit, tamen non transmittit visum adeoque fallit, cornu contra pellucidum est.* nolo enim suspicioni locum dare, in quam, fateor, incidi, totum hoc commentum esse a lusu verborum: sunt ὄνειροι, quorum est τὸ ἐλεφαίρεσθαι, itaque veniunt διὰ ἐλέφαντος: alii sunt, qui κραίνουσι, iique veniunt διὰ κεράων." cf. Schn. v. ἐλεφαίρω. frigida haec, ne quid gravius dicam; estque hic fortasse locus ex iis, in quibus Flaccus Homerum ait dormitare. sed ejusmodi lusibus etiam Tragici aliique poëtae et scriptores gaudent, quoque fere quis est ingeniosior, eo magis hoc genere delectari solet. — E: ἀμενηνοὶ δὲ ὄνειροι, οἱ φαντασιοῦντες μὴ στερεμνίως τὰ βλεπόμενα κ. ὡς εἰπεῖν μετά τινος μένους· εἴρηται δὲ καθ' ὁμοιότητα τῶν ἀμενηνῶν ἐν ᾅδου εἰδώλων (v. κ', 521) τῶν ἐν τῇ Νεκυίᾳ διὰ (?) καὶ τὸ συγγενῶς ἐκεῖνα πρὸς τοὺς ὀνείρους ἔχειν κατὰ τὸ (λ', 221), ψυχὴ δ' ἠΰτ' ὄνειρος ἀποπταμένη πεπότηται. — τετεύχαται, *factae sunt.* β', 63, Il. ν', 22 etc. — πριστοῦ ἐλ. σ', 196. „Virg. Aen. 3, 464.: *sectoque elephanto.*" Cl. — Ap.: ἐλεφαίρονται. βλάπτουσι κ. ἐξαπατῶσι. καὶ (fort. ὡς) ἐλεφηράμενος (Il. ψ', 388), ἀντὶ τοῦ βλάψας. „Nonnus Dionys. 34, 89.: ὑπνώ-

ἐλθέμεν. ἦ κ' ἀσπαστὸν ἐμοὶ καὶ παιδὶ γένοιτο.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
ἥδε δὴ ἠὼς εἶσι δυσώνυμος, ἥ μ' Ὀδυσῆος
οἴκου ἀποσχήσει· νῦν γὰρ καταθήσω ἄεθλον
τοὺς πελέκεας, τοὺς κεῖνος ἐνὶ μεγάροισιν ἑοῖσιν

οντα παρήπαφεν ὄψις ὀνειρὸν, *Κλεψινόων ἐλέφαντος ἀναΐξασα πυλάων.* Horat. Od. 3, 27, 39.: *an vitiis carentem Ludit imago Vana, quae porta fugiens eburna Somnium ducit?*" Cl. Montbel.: „Cette fiction, ou plutôt cette croyance des anciens peuples, a paru si ingénieuse, que presque tous les poètes y font allusion, entre autres Prop. 4, 7, 87; Hor. Od. 3, 27, 41; Stac. Silv. 5, 3, 287; Coluth. 311. Virgile Aen. 6, 894. l'a imitée" etc. — **ξεστῶν.** α', 138 etc. — **αἰνὸν,** δεινόν. π', 87 etc.

572—584. **ἀποσχήσει,** *prohibebit*, sejunget. ι', 211, Il. ζ', 96 etc. — **καταθήσω,** θήσω, ποιήσω, quemadmodum Pindarus Pyth. 5, 121 dixit *κατατιθέναι ὁδὸν*, Thuc. 1, 128.: *εὐεργεσίαν κατέθετο*, Theognis 983.: *ἡμεῖς δ' ἐν θαλίῃσι φίλον καταθώμεθα θυμόν.* putide E: *τὸ κατ. καιρίως ἐῤῥέθη διὰ τὸ κάτω τίθεσθαι κατὰ γῆς τοὺς τοιούτους πελέκεας.* — idem rectius: *σκοπητέον δ' ἐνταῦθα, εἴπερ, ὡς εἰκὸς, ἡμιπέλεκκα* (secures, non bipennes) *ἦσαν τῷ εἴδει καὶ οἱ κατὰ τὸν Ὀδυσσέα γυμναστικοὶ πελέκεις. τί γὰρ ἄλλως ἔδει αὐτοὺς ἀκεραίους* (simplices, non ancipites) *εἶναι*; nec tamen erat quod gymnasticas appellaret has secures, quasi alias ac quibus domi belique (v. Feith. 4, 9, 6.) veteres utebantur. inepte quidam apud Etymologum v. *δρυόχους* has secures intelligunt circulos aut orbes magnos, quales sunt obeliscorum, *κίρκους τινὰς μεγάλους, ἐπ' ὀβελίσκων κειμένους, οὓς καταπήγνυσθαι εἰς τὴν γῆν, ὥστε δι' αὐτῶν τοξεύειν. οἱ δὲ μολιβδᾶς τὰς θέσεις αὐτῶν κάτωθεν, ἔπειτα τὸν κύκλον ἄνω ἐπικείμενον.* nec minus aberrans a vero Schn. v. *δρύοχος πελέκεας* dici putat manubria securium perforata, „die hölzernen Stiele mit Löchern," quae foramina vereor ut usitata fuerint, sed ferrum securis posteriore parte habebat foramen, cui infigebatur manubrium, ut hodieque moris est. et ea quidem foramina fuerit qui dici putet, per quae sagittaverint proci et Ulysses. sed tum quaeras, quomodo collocatae sint secures. imo cogitandae illae sunt manubriis suis solo infixae, sed perforatae in medio, quod significare videtur Sch., cum dicit: *πελέκεας, τὰ σιδήρια τετρυπημένας, secures ferro perforato:* nam ita scribendum arbitror, cum libri habeant *τετρυπημένα:* vix enim fieri potuit, ut ipsam securim Graeculus interpretaretur ferrum perforatum, quod genus late patet. sed adscribamus dissertationem comitis de Caylus, qua formam securium antiquarum exploravit, quae dissertatio saepius a me laudatis Tabulis Homericis et Virgilianis (*Tableaux tirés d'Homère et de Virgile*, Paris., 1757.) inserta est. sic igitur vir sagax in percensendo libro hujus carminis 21, 120 — 123, pag. 251.: „3. *Tableau.* Il ne s'agit dans ce Tableau d'aucune espèce de jeu de bague, ainsi que le Primatice (*Francesco Primaticcio*, pictor Bononiae natus a. Chr. 1490.) en a été persuadé, et qu'on le voit dans le même sujet qu'il a traité. Les Grecs, dans le tems de la guerre de Troye, se servoient pour armes offensives, et pour l'immolation des victimes, de haches montées sur des manches plus ou moins longs; ils les nommoient *πελεκυς*, *Pélécus.* On ne peut s'appuyer sur l'autorité d'aucun monument de ce tems pour indiquer la forme précise de cette espèce de hache; il faut dont recourir aux vraisemblances et aux conjectures, d'autant qu'aucun Auteur moderne ne parle de la forme du *Pélécus*, pas même Saumaise, dans un petit Ouvrage que l'on trouve sous ce titre, dans l'explication de 2 inscriptions anciennes (Paris, 1619, in-4º., petit vol., pag. 199.); son examen critique ne tombe que sur la Langue Grecque.

„Nous sommes en droit de présumer que les haches des Faisceaux Romains avoient conservé la forme du *Pélécus*; cette marque de justice et d'autorité, augmentée par les Faisceaux de verges, avoit été donnée aux Romains par Tarquin l'Ancien, qui l'avoit empruntée des

ἵστασχ' ἑξείης, δρυόχους ὥς, δώδεκα πάντας·
στὰς δ' ὅγε πολλὸν ἄνευθε διαῤῥίπτασκεν ὀϊστόν.

Etrusques. (Lucumon, ou Tarquin l'Ancien, fut élu Roi de Rome 614 ans avant Jesus-Christ; il avoit alors environ 40 ans, et il étoit né dans la ville de Tarquinies en Etrurie; on doit conclure de-là que Démarate son père avoit quitté Corinthe pendant la tyrannie de Cypselus, père de Périandre, et au plus tard l'an 655 avant Jesus-Christ.) Indépendamment de la communication que cet ancien peuple a eu avec la Grèce, nous voyons un si grand nombre de monumens de l'Etrurie (fere opera illa graecorum artificum, ut hodie constat) qui prouvent combien Homère étoit connu et honoré dans ce Pays, (Lycurgue, 100 ans avant l'époque de Démarate, avoit apporté de l'Asie mineure dans la Grèce les Poésies d'Homère, et l'on doit présumer qu'elles passèrent bientôt dans les colonies Grecques, déja établies dans l'Italie.) que l'on peut avancer avec beaucoup de vraisemblance, que l'usage de cette arme, ou de cet instrument, s'est perpetué dans sa première forme. Quant à la difficulté que l'intervalle du tems pourroit présenter à l'esprit sur la transmission d'un usage depuis les premiers Grecs jusqu' aux premiers Romains, on pourroit alléguer l'arc, le casque, le bouclier etc., dont nous voyons la pratique continuée jusqu'à l'invention de la poudre, qui les a, pour ainsi dire, chassés du monde. En effet, l'objet de la nécessité étant pareil, les armes offensives ou défensives n'ont jamais présenté que de médiocres variétés, très indifférentes en elles-mêmes. Si l'on veut traiter le *Pélécus* comme la hache des Licteurs, il faudra seulement y ajouter une ouverture ronde ou quarrée, faite dans l'épaisseur du tranchant de la hache. Cette ouverture ne pouvoit en altérer la force et ne s'opposoit à aucun de ses usages; elle servoit même a recevoir le clou ou la cheville que nous voyons cités dans Homère (velut Odyss. φ', 53), pour placer les armes contre les murailles. J'ajoûterai un oui-dire à ces conjectures: un de mes amis m'a dit que l'on voyoit des haches de cette forme, ainsi percées, dans le Chateau Saint-Ange à Rome, et qu'on les lui avoit montrées pour antiques. Quoiqu'il en soit, telle est la figure, que je donnerois au *Pélécus* d'Hom.

On pourroit encore suivre l'opinion de quelques personnes distinguées dans les lettres, et au sentiment desquelles je défere, qui supprimant l'ouverture que je propose, sont persuadées que la flêche passoit par une des recourbures que ces haches présentent à leurs extrémités; ce qui auroit donné un peu plus de facilité pour ce jeu d'adresse décrit par Hom., et qui véritablement exigeoit, de quelque façon qu'il ait été pratiqué, une justesse prodigieuse, puisque la flèche devoit franchir les ouvertures de ces 12 haches, placées successivement et sans doute à la même hauteur.

„Il me paroît démontré que ce jeu ne peut être expliqué différemment; ainsi le Lecteur sera convaincu que jamais il n'a pu être question d'aucune espèce de bague, qui d'ailleurs souffriroit les mêmes difficultés et encore de plus grandes. Personne n'ignore que l'invention de ce jeu, beaucoup moins composé, est moderne, et qu'il n'a été mis en pratique que pour apprendre à ajuster et à conduire *de droit fil*, comme on disoit dans ce tems, le fer de la lance que nos Chevaliers, nos Baladins et notre Gendarmerie des derniers siècles, portoient dans les combats et dans les tournois.“ — Am. 2: ἵστασχ' ἑξείης, δρυόχους ὥς. οὕτως ἵστησι (ἵστη) τοὺς πελέκεις, ὡς δρυό-

νῦν δὲ μνηστήρεσσιν ἄεθλον τοῦτον ἐφήσω·
ὃς δέ κε ῥηΐτατ' ἐντανύσῃ βιὸν ἐν παλάμῃσι,
καὶ διοϊστεύσῃ πελέκεων δυοκαίδεκα πάντων,
τῷ κεν ἅμ' ἑσποίμην, νοσφισσαμένη τόδε δῶμα
κουρίδιον, μάλα καλὸν, ἐνίπλειον βιότοιο,
τοῦ ποτὲ μεμνήσεσθαι ὀΐομαι, ἔν περ ὀνείρῳ."

laudat hoc ejus consilium Ulysses, negatque differendum esse, ne prius conjux diu expectatus redeat.

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
μηκέτι νῦν ἀνάβαλλε δόμοις ἔνι τοῦτο νόημα·
πρὶν γάρ τοι πολύμητις ἐλεύσεται ἐνθάδ' Ὀδυσσεὺς,
πρὶν τούτους τόδε τόξον ἐΰξοον ἀμφαφόωντας
νευρήν τ' ἐντανύσαι, διοϊστεῦσαί τε σιδήρου."

Penelope, quamvis sermonibus delectata hospitis, tamen et Ulyssem cubitum ire jubet, et ipsa cum ancillis redit in gynaeceum.

Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
„εἴ κ' ἐθέλοις μοι, ξεῖνε, παρήμενος ἐν μεγάροισι
τέρπειν, οὔ κέ μοι ὕπνος ἐπὶ βλεφάροισι χυθείη.
ἀλλ' οὐ γάρ πως ἔστιν ἀΰπνους ἔμμεναι αἰεὶ
ἀνθρώπους· ἐπὶ γάρ τοι ἑκάστῳ μοῖραν ἔθηκαν
ἀθάνατοι θνητοῖσιν ἐπὶ ζείδωρον ἄρουραν.
ἀλλ' ἤτοι μὲν ἐγὼν, ὑπερώϊον εἰσαναβᾶσα,
λέξομαι εἰς εὐνὴν, ἥ μοι στονόεσσα τέτυκται,
αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
ᾤχετ', ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν.
ἔνθα κε λεξαίμην· σὺ δὲ λέξεο τῷδ' ἐνὶ οἴκῳ,

χους. *δρύοχοι* δὲ ξύλα εἰσὶν ὀρθὰ ὑποκάτω τῆς τρόπιδος, ἐφ' ὧν ἐπερείδεται, ἵνα μὴ αὐτὴν ἡ ψάμμος ἐσθίῃ. τινὲς δὲ δρυόχους φασὶ τὰ πρῶτα πηγνύμενα ξύλα εἰς ναυπηγίαν. — E: *δρύοχοι* κυρίως πάσσαλοι, ἐφ' ὧν στοιχηδὸν διατεθειμένων ἡ τρόπις ἵσταται τὸν καινουργουμένων πλοίων διὰ ἰσότητα. male Ap.: δρυόχους. τῶν σιδηρῶν πελέκεων αἱ ὀπαὶ, εἰς ἃς τὰ ξύλα ἐνιᾶσι, παρὰ τὸ τὰ ξύλα, δρῦς λεγόμενα, συνέχειν. cf. Schn. h. v. Voss.: *denn jezo bestimm' ich den wettkampf, Durch 12 äxte zu treffen, die Er in seinem palaste Stellete grade gereiht, wie des kiels gleichstehende hölzer.* — *πάντας* — *πάντων.* v. ε', 244 etc. — *νοσφισσαμένη τόδε δῶμα*, *relicta hac domo.* 339. — *κουρίδιον.* 266, φ', 77, Il. α', 114 etc. — *ἐνίπλειον*, ἔμπλεων. ξ', 113. — E: *ἀνάβαλλε*, ἀντὶ τοῦ ἀναβάλλου, ὑπερτίθεσο. *differ.* — *τοῦτο νόημα.* sic Alterus ex A. 2. vulgo: *τοῦτον ἄεθλον*, quae est interpretatio, in superioribus sublecta. νόημα, ut β', 63, ή, 36 et saepe alias.

586—593. *τόξον ἐΰξοον.* Il. δ', 105. — *τέρπειν.* ἐμέ. ellipsis frequens pronominis. v. 66 etc. — E: *ἐν τῷ ἑκάστῳ μοῖραν ἔθηκαν* μοῖράν φησι τὴν καθ' εἱρμὸν βίου διανέμησιν, οἷον μοῖρα τῷ ἐργωμένῳ κοπιᾷν, τῷ βαδίζοντι κινεῖσθαι, τῷ ὑπνοῦντι ἐγρηγορέναι· οὕτω δὲ καὶ τῷ ἐγρηγορότι ζώῳ τὸ ἀπονυστάζειν κ. διὰ τοῦτο ἀκολούθως ὑπνοῦν. Voss: *denn die götter verordneten jegliches dinges Mass und ziel den Menschen auf nahrungsprossender erde.* — *ἐπὶ ζείδ. ἄρουραν*, ἐν ζειδώρῳ ἀρούρῃ. γ', 3 etc.

594—97. ϱ', 101—104. cf. 260.

ἢ χαμάδις στορέσας, ἤτοι κατὰ δέμνια θέντων."
Ὣς εἰποῦσ' ἀνέβαιν' ὑπερώϊα σιγαλόεντα,
οὐκ οἴη· ἅμα τῇγε καὶ ἀμφίπολοι κίον ἄλλαι.
ἐς δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξί,
κλαῖεν ἔπειτ' Ὀδυσῆα, φίλον πόσιν, ὄφρα οἱ ὕπνον
ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.

599—601. *χαμάδις*, *humi*. δ', 114 etc. — *στορέσας*. δ', 298, 301 etc. E: ἢ χαμαὶ στορέσας, ἢ δέμνια θέτωσαν, αἱ δουλίδες δηλαδή. — *ὑπερώϊα σιγ*. π', 449, σ', 205, χ', 428. — *ἀμφίπολοι ἄλλαι*. h. e. ἄλλαι γυναῖκες, ἤγουν ἀμφ. v. α', 132, β', 303.

602—604. α', 362—64, φ', 356—58. cf. δ', 751 etc.

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΙΔΙΑ Υ.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ Υ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Βουληθεὶς ἀνελεῖν ὁ ᾿Οδυσσεὺς τὰς μιγνυμένας τοῖς μνηστῆρσι θεραπαίνας, ὕστερον δὲ μεταγνοὺς, διὰ τῶν ἑξῆς πρὸς Εὔμαιον καὶ Φιλοίτιον διαλέγεται· ἐν ᾧ καὶ τῶν μνηστήρων γίνεται ὁμιλία.

ΟΔΥΣΣΕΙΑΣ Υ.

ΤΑ ΠΡΟ ΤΗΣ ΜΝΗΣΤΗΡΟΦΟΝΙΑΣ.

Ulysses, nocte insomni furta ancillarum animadvertens, dubitat, utrum illico occidat eas, an postremum sinat delinquere; tandem animum offirmat.

Αὐτὰρ ὁ ἐν προδόμῳ εὐνάζετο, δῖος Ὀδυσσεύς.
καμμὲν ἀδέψητον βοέην στόρεσ', αὐτὰρ ὕπερθε
κώεα πόλλ' οἴων, τοὺς ἱρεύεσκον Ἀχαιοὶ,
Εὐρυνόμη δ' ἄρ' ἐπὶ χλαῖναν βάλε κοιμηθέντι·
ἔνθ' Ὀδυσεὺς, μνηστῆρσι κακὰ φρονέων ἐνὶ θυμῷ,
κεῖτ' ἐγρηγορόων. ταὶ δ' ἐκ μεγάροιο, γυναῖκες,
ἤϊσαν, αἳ μνηστῆρσιν ἐμισγέσκοντο πάρος περ,
ἀλλήλῃσι γέλω τε καὶ εὐφροσύνην παρέχουσαι.
τοῦ δ' ὠρίνετο θυμὸς ἐνὶ στήθεσσι φίλοισι,
πολλὰ δὲ μερμήριζε κατὰ φρένα καὶ κατὰ θυμὸν,
ἠὲ μεταΐξας θάνατον τεύξειεν ἑκάστῃ,
ἦ ἔτ' ἐῷ μνηστῆρσιν ὑπερφιάλοισι μιγῆναι
ὕστατα καὶ πύματα· κραδίη δέ οἱ ἔνδον ὑλάκτει.

Annotationes. Vers. 1—13. ἐν προδόμῳ. v. δ', 302, Il. ι', 473 etc. — Sch.: εὐνάζετο (ε', 65, ψ', 299 etc.). ἀνεπαύετο, ἑαυτῷ εὐνὴν παρεσκεύαζεν. — καμμὲν — στόρεσε. tmesis pro κατεστόρεσε μέν. „καμμὲν, ut καδδὲ, καμμέσσον" etc. *E Cl.* — Ap.: ἀδέψητον (142). ἀμάλακτον, οἷον ἀνέργαστον· καμμὲν — Ἀχαιοί. τὸ γὰρ δεψῆσαι ἐπὶ τοῦ μαλάξαι τίθησι, καθάπερ ἐπὶ τοῦ κηροῦ (μ', 48)· κηρὸν δεψήσας μελιηδέα. — βοέην, βοείην, βύρσαν, *corium.* audacter scuta dixit βόας αὔας Il. μ', 137. cf. E. — idem: ὅρα τὸ ἐγρηγορόων ἐκ τοῦ ἐγρήγορα μέσου παρακειμένου γενόμενον. ἐγείρω γὰρ, μέλλων ἐγερῶ, παρακείμενος ἤγερκα, μέσος ἤγορα, καὶ Ἀττικῶς ἐγήγορα, κ. πλεονασμῷ ἐγρήγορα, ὅθεν τὸ ἐγρηγορῶ μετὰ τῆς πρωτοτύπου αὐξήσεως, ὁμοίως τῷ πέποιθα πεποιθῶ πεποιθήσω, ἐξ οὗ ἡ πεποίθησις, ὡς ἐγρηγόρησις ἐγρήγορσις καὶ Ὅμ. μὲν τετρασυλλάβως οἶδεν ἐγρηγορῶ, οἱ δὲ ὕστερον καὶ γρηγορῶ τρισυλλάβως, ὅπερ οὐ φιλεῖται τοῖς ῥήτορσι. cf. Matth. §. 168, ann. 2. etc. — γέλω. 346. MS. Thomae Bentleji: γέλων, ut σ', 349. sed A. 1. et hic, et 346.: γέλω, quod posteriore loco habet etiam A. 3. ceteri codd. scripti et impressorum antiquiores: γέλωτα καὶ εὐφρ. — τοῦ δ' ὠρ. θυμός. ω', 317, σ', 74, Il. ι', 595. — μερμήριζε. ι', 553 etc. — κατὰ — θυμόν. α', 294 etc. — ὕστατα κ. πύματα. δ', 685. —

ὡς δὲ κύων, ἀμαλῇσι περὶ σκυλάκεσσι βεβῶσα,
ἄνδρ' ἀγνοιήσασ' ὑλάει, μέμονέν τε μάχεσθαι,
ὥς ῥα τοῦ ἔνδον ὑλάκτει ἀγαιομένου κακὰ ἔργα,
στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ·
„Τέτλαθι δή, κραδίη· καὶ κύντερον ἄλλο ποτ' ἔτλης
ἤματι τῷ, ὅτε μοι μένος ἄσχετος ἤσθιε Κύκλωψ
ἰφθίμους ἑτάρους· σὺ δ' ἐτόλμας, ὄφρα σε μῆτις
ἐξάγαγ' ἐξ ἄντροιο, ὀϊόμενον θανέεσθαι."
Ὣς ἔφατ', ἐν στήθεσσι καθαπτόμενος φίλον ἦτορ·
τῷ δὲ μάλ' ἐν πείσῃ κραδίη μένε, τετληυῖα

E: κραδίη δέ οἱ ἔνδον ὑλάκτει. ἐπεὶ σκληρὸν δοκεῖ ἐπὶ καρδίας τὸ ὑλακτεῖν, ἐπάγει συνήθως ἐπὶ θεραπείᾳ τῆς λέξεως, ὁποῖα καὶ ἐν ἄλλοις παρεσημάνθη, παραβολὴν ταύτην ὡς δὲ κύων κ. τ. λ. Ennius apud Varronem de L. L. 6, 5.: *animus cum pectore latrat*, et frequenter, nec uno modo, hanc metaphoram usurpant Latini.

14—17. ἀμαλῇσι, *teneris*. Il. χ', 308: ὥστ' αἰετὸς, — Ἁρπάξων ἢ ἄρν' ἀμαλὴν, ἢ πτῶκα λαγωόν. — σκυλάκεσσι, *catulis*. ι', 289. — μέμονεν, *cupit*. ο', 520 etc. — Am. Q. et Sch.: ἀγαιομένου: ἄγαν θαυμάζοντος. ἢ χαλεπαίνοντος. Am. B.: μεμφομένου, ἢ ἐκπληττομένου. Ap., h. l. c.: καταπλησσομένου. cui Villoisonus adscripsit ista Hesiodi Opp. 333.: τῷ δή τοι Ζεὺς αὐτὸς ἀγαίεται, h. e. interprete Schol.: μισεῖ, ἀγανακτεῖ. E: ἀγαιόμενος δὲ κακὰ ἔργα ὁ μεμφόμενος, ἐκ τοῦ ἀγῶ, ἀγαίω, ὡς γῶ γαίω τὸ γαυριῶ. (v. Schn. vv. ἀγαίω et γαίω.) ὅτι δὲ τὸ ἀγ. καὶ ἀταιομένου (sic Etym. M.) γράφεται, ὡς ἀπὸ τοῦ ἀτῶ ἀταίνω (ἀταίω) τὸ βλάπτω, οἱ παλαιοὶ δηλοῦσι Κριτικοί. — ἠνίπαπε, *increpuit*. 303, Il. β', 245.

18—21. Dionys. Hal. περὶ τῆς Ὁμήρου ποιήσεως §. 15., annotante Cl.: — καὶ ἐν ἄλλοις δὲ ποιεῖ τὸν λογισμὸν τῷ θυμῷ παραινοῦντα, καὶ ὥσπερ ἄρχοντα τῷ ὑποτεταγμένῳ κελεύοντα, Τέτλαθι δή, κραδίη. — καὶ πολλάκις μὲν τῷ λογισμῷ πείθεται τὸ θυμούμενον, ὡς ἐν τούτοις (23), τῷ δ' αὖτ' (sic) ἐν πείσῃ etc. praeterea Cl. evolvi jussit Plat. de Rep. 3. et Phaedone, item Aelianum de Animal. l. 5, 54. D. Montbel.: „Platon, qui n'a pas coutume de louer Homère, cite plusieurs fois ce passage avec éloge, comme un exemple de fermeté et d'empire sur soi-même (Plat. Reip. l. 3, t. 6, p. 269. Bip.), et aussi comme une preuve qu'il existe deux natures dans l'homme, dont l'une peut commander à l'autre. (lib. 4, t. 6, p. 370—1 Bip.) C'est même un des arguments qu'il fait valoir dans le Phédon (tom. 1, p. 214—5 Bip.) en faveur de l'existence et de l'immortalité de l'ame." *Dulde du aus, mein herz: auch Härteres hast du geduldet.* jactare hoc solebat Winkelmannus in Germania. v. *Winkelmanns Briefe an seine Freunde in der Schweiz* p. 136. parodiam nescio cujus ap. Athen. E commemoravit hanc: τέτλαθι δή, πενίη, καὶ ἀνάσχεο μωρολογούντων. — κύντερον, κάκιον. η', 216 etc. „Ovid. Trist. 5, 11, 7.: *perfer et obdura: multo graviora tulisti.* cf. ann. ad ε', 222." *Cl.* — μένος ἄσχετος. β', 85 etc. — ἰφθίμους ἑτάρους. ψ', 313. cf. Il. α', 3 etc. — ὀϊόμενον θαν. Il. δ', 12, ο', 727.

22—35. καθαπτόμενος φ. ἦτορ, *adortus*, sive *allocutus*, *cor suum*, non καταστέλλων, (h. e. πραΰνων), quod habet Sch. sed idem recte: τὴν ἀπότασιν ποιούμενος (h. e. directionem faciens, orationem dirigens) εἰς τὴν ψυχὴν, ὥστε αὐτῆς ἅψασθαι τὰ λεγόμενα. (diversae igitur hae interpretationes. quare malim: καταστέλλων. ἢ τὴν ἀπότασιν etc.) et similiter E: ὅτι καὶ ἐνταῦθα καθάπτεσθαι τὸ λογικῶς (verbis, oratione) ἀποτείνεσθαι etc. v. β', 39. — ἐν πείσῃ, *in retinaculo*, a πεῖσα, quod idem τῷ πείσματι, semel quidem usurpatum a poëta. „Thom. Gatakerus Ann. in Antonin. 3, 6.: Talem vult animi statum, qualem describit ap. Plut. de Virt. moral. nescio quis verbis hisce: — ἠΰτε Ναῦς ὅστις ἐκ μὲν γῆς ἀνήρτηται βρόχοις, Πνεῖ δ' οὖρος, ἡμῖν [δ'] εὐκρατεῖ τὰ πείσματα." Sch.: ἐν πείσῃ. ἀντὶ τοῦ κατὰ χώραν. οὐκέτι ἦν ἐν κινήσει, ἀλλ' ἐν δεσμοῖς ἔμενεν. nauci non sunt, quae istis subjecta leguntur, haec: ἢ ἐν οἷς ἐπέπειστο κ. ἐγνώκει·

νωλεμέως, ἀτὰρ αὐτὸς ἑλίσσετο ἔνθα καὶ ἔνθα.
ὡς δ' ὅτε γαστέρ' ἀνὴρ, πολέος πυρὸς αἰθομένοιο,
ἐμπλείην κνίσσης τε, καὶ αἵματος, ἔνθα καὶ ἔνθα
αἰόλλῃ, μάλα δ' ὦκα λιλαίεται ὀπτηθῆναι,
ὣς ἄρ' ὅγ' ἔνθα καὶ ἔνθα ἑλίσσετο, μερμηρίζων,

οἷον, οὐκ ἔμελεν αὐτῷ. similiter tamen Am. B.: *πεῖσα ἡ πειθὼ, ἀπὸ τοῦ πείσω*, et E: *ἔστι δὲ τὸ πείσῃ ἀντὶ τοῦ πειθοῖ, ἀπὸ εὐθείας τῆς ἡ πεῖσα.* Harl. quoque Schol., teste Porsono: *ἐν πειθοῖ.* ceterum B: *τῷ δ' ἄρ' ἔτ' ἐν πείσῃ* etc., quam Townlejani codicis scripturam memoravit Porsonus. — *νωλεμέως. continenter.* Il. δ', 428. — *ὡς δ' ὅτε* —, *ὡς ἄρα* —, ut Il. λ', 158 etc. — *γαστέρ'* — *αἵματος.* σ', 117, 18. — Am. 2 emend.: *αἰόλλῃ. κινῇ, παρὰ ἄελλαν, ὅθεν καὶ πόδας αἰόλος ἵππος* (Il. τ', 404), *ὁ εὐκίνητος τοὺς πόδας· καὶ κορυθαίολος* (v. ann. ad Il. β', 816), *ὃν ἀλλαχοῦ* (Il. χ', 132) *κορυθάϊκα εἶπε· καὶ αἰόλαι εὐλαί* (Il. χ', 509)· *κ. αἰολοπώλους* (Il. γ', 185)· *καὶ σφῆκες μέσον αἰόλαι* (Il. μ', 167). E: *αἰολλεῖν* (*αἰολεῖν*) *ἁπλῶς τὸ κινεῖν, ἐνταῦθα δὲ τὸ κατὰ εἴλησιν. δοκεῖ δὲ τοῖς παλαιοῖς γίνεσθαι παρὰ τὴν ἄελλαν τὸ αἰόλλειν, ὅ ἐστι ποικίλως κ. πυκνῶς κ. ταχέως στρέφειν κ. κινεῖν.* Buttmann. *Lexil.* 76, 11.: „Dass die Verba *αἰόλλειν* und *εἰλεῖν* ursprünglich einerlei seien, dazu ist für mich keine Andeutung. Das letztere Verbum haben wir als einen Stamm *'ΕΛΩ, ἔλσαι, schlagen, stossen* u. s. w. schon hinreichend erkannt (48, 4). *Αἰόλλω* hingegen kommt nach aller Analogie (s. Gramm. §. 104, c, 4.) erst von *αἰόλος* her: dies aber ist ohne Zweifel eine alte Adjectiv-Form, deren Wurzel in der ersten Sylbe ist; und keineswegs verwerflich scheint mir die alte Vergleichung von *ἄελλα*, welche schon allein durch den Namen *Αἴολος*, des Windgottes, sich empfiehlt. Alles nämlich kommt von *ἄω*, der Diphthong ist die so gewöhnliche Veränderung des *α* vor dem Vokale, und *αἰόλος* heisst also *wehend, flatternd, beweglich.*" — *λιλαίεται, cupit*, studet. α', 15 etc. Montbel.: „*Ainsi, sur le brasier ardent, un homme tourne de tous côtés un ventre d'animal rempli de graisse et de sang, qu'il se hâte de faire rôtir.* A l'occasion de ce passage, voici comment Perrault, dans son Parallèle (Parall. des Anciens et Modernes, t. 2. p. 42, éd. de 1693), fait parler un des interlocuteurs: „„Mais, à propos de comparaison, on dit qu' Homère compare Ulysse, qui se tourne dans son lit, ne pouvant sommeiller, à un boudin qui rôtit sur le gril."" La grande ruse de Perrault contre Hom. est de le traduire en employant les expressions les plus triviales; notre mot *boudin* lui a paru merveilleux pour parodier celui qu'il voulait rendre ridicule. Boileau (6. Réflex. crit., t. 3, p. 299, éd. de St.-Marc, 1747) observe avec raison qu'il ne peut être ici question de boudin, ni même d'aucun ragoût, parce que ces sortes d'apprêts n'étaient pas connus du temps d'Hom.; mais Boileau se trompe quand il pense que la comparaison porte sur l'homme, et non sur le ventre de l'animal. C'est en vain que mde. Dacier, pour justifier un pareil sens, invoque le témoignage d'Eustathe. Celui-ci dit, au contraire, très-positivement qu' Hom. compare Ulysse à un *ventre rôti.* Ses paroles sont très-expresses (p. 1881, l. 50): *'Αστείως δὲ τὸν περὶ γαστέρος ὀπτῆς πρὸ μικροῦ* (σ', 43—47, 117, 18) *ἀεθλεύοντα τοιαύτῃ καὶ νῦν παραβολικῶς εἴκαζε.* — D'ailleurs un homme occupé d'un tel soin ne se tourne pas en tous sens; au contraire, il doit rester fort immobile, et être fort attentif à ce que sa viande ne brûle pas d'un côté ou d'un autre." Cl.: — „Fuerunt qui hanc similitudinem vilem poëtaque omnino indignam arguerent; Eust. autem in commentario ad Il. κ', 5: *ἐν δ' 'Οδυσσείᾳ*, inquit, *θαυμάζεται ἄλλως* (h. e. perperam mirum videtur), *ὅτι τὸν πτωχικὸν 'Οδυσσέα κατασμικρύνει τῇ εἰκόνι, ἀνδρὶ ἀπεικάσας ὀπτῶντι γαστέρα κνίσσης γέμουσαν· ὅλως γὰρ ὁ ποιητὴς ἄριστος εἰκονίζειν, κ. προσφυῶς τοῖς καιροῖς τά τε μεγαλεῖα ἐκτιθέναι, τάς τε σμικρότητας.* cf. π', 1." nec nihil nec omnia dicit bonus vir E. quamvis enim Hom. merito videtur ei *ἄριστος εἰκονίζειν*, nemo tamen negaverit, ridicule Ulyssem volutatum in lecto propter curas comparari ventri animalis, qui continenter vertitur inter assandum. sed perspicuitatem atque *ἐναργείαν* ante omnia sectatur hic noster, nec propterea cothurnum socco commutare dubitat, omniaque genera di-

ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσει,
μοῦνος ἐὼν πολέσι. σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη,
οὐρανόθεν καταβᾶσα, δέμας δ᾽ ἤϊκτο γυναικί·
στῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπε·

Minervae accedentis colloquium cum Ulysse, quem bonum animum habere jubet, tandemque sopit.

„Τίπτ᾽ αὖτ᾽ ἐγρήσσεις, πάντων περὶ κάμμορε φωτῶν;
οἶκος μέν τοι ὅδ᾽ ἐστὶ, γυνὴ δέ τοι ἥδ᾽ ἐνὶ οἴκῳ,
καὶ πάϊς, οἷόν πού τις ἐέλδεται ἔμμεναι υἷα.“
Τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ναὶ δὴ ταῦτά γε πάντα, θεὰ, κατὰ μοῖραν ἔειπες·
ἀλλά τί μοι τόδε θυμὸς ἐνὶ φρεσὶ μερμηρίζει,
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσω,
μοῦνος ἐών· οἱ δ᾽ αἰὲν ἀολλέες ἔνδον ἔασι.
πρὸς δ᾽ ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶ μερμηρίζω·
εἴπερ γὰρ κτείναιμι Διός τε σέθεν τε ἕκητι,
πῇ κεν ὑπεκπροφύγοιμι; τὰ σὲ φράζεσθαι ἄνωγα.“
Τὸν δ᾽ αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„σχέτλιε, καὶ μέν τίς τε χερείονι πείθεθ᾽ ἑταίρῳ,
ὅσπερ θνητός τ᾽ ἐστὶ, καὶ οὐ τόσα μήδεα οἶδεν·
αὐτὰρ ἐγὼ θεός εἰμι, διαμπερὲς ἥ σε φυλάσσω
ἐν πάντεσσι πόνοις. ἐρέω δέ τοι ἐξαναφανδόν·
εἴπερ πεντήκοντα λόχοι μερόπων ἀνθρώπων
νῶϊ περισταῖεν κτεῖναι μεμαῶτες ἄρηϊ,
καί κεν τῶν ἐλάσαιο βόας καὶ ἴφια μῆλα.
ἀλλ᾽ ἑλέτω σε καὶ ὕπνος· ἀνίη καὶ τὸ φυλάσσειν
πάννυχον ἐγρήσσοντα. κακῶν δ᾽ ὑποδύσεαι ἤδη.“

cendi in se conjungit; quemadmodum hoc quidem loco jocatur, ut poëta satyricus, et heroïs sui facta velut παρῳδεῖ, alias vero semina ostendit tragoediae atque comoediae, πάσας, ὥστ᾽ ἀηδόνος στόμα, φθογγὰς ἀφεὶς, ut Euripideo verbo utar Hecuba, 322. quare recentiorum Ariosto eum similem dicas, non Tassoni, aut Klopstockio, ceterisque Epicis, qui nunquam supercilia remittunt. cf. ann. ad Il. ζ', 234. — ὅππως — ἐφήσει. cf. 386. — στῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆς. δ', 803, Il. β', 20. — ἐγρήσσεις, *vigilas.* 53, Il. λ', 551, ρ', 660. — πάντων — φωτῶν. λ', 215. — ἐέλδεται, *cupit*, desiderat. α', 409 etc.

37—53. κατὰ μοῖραν ἔειπες. β', 251, Il. α', 286 etc. — ἕκητι, *voluntate* et ope, quod est consequens. ο', 318, τ', 86. — τὰ σὲ φρ. ἄνωγα. α', 269, γ', 317 etc. — σχέτλιε, *male*, obstinate; vel impie, praeter morem tuum: v. π', 260, et ann. ad Il. π', 203. — καὶ μὲν, καὶ μὴν, h. e. τίς τε μὴν πείθεται καὶ χερ. ἑταίρῳ, *sane quis vel deteriori socio confidit.* — διαμπερὲς, *perpetuo.* δ', 209 etc. — ἐξαναφανδὸν, *aperte.* saepius dixit ἀναφανδὰ, semel (Il. π', 178) ἀναφανδὸν, cujus significationem auget τὸ ἐξ. v. ι', 453 etc. — Am. B.: εἴπερ πεντ. λόχοι. ὁ λόχος ἐξ ἀνδρῶν λ'. (? v. Schn. lexico gr. et Bornemann. indice Anabaseos Xenoph. h. v., quo libro, 1, 2, 25. 100 sunt δύο λόχοι, non 60, ut hic autumat. alias ap. Homerum λόχος sonat *insidias.*) οἱ ν' λόχοι ἐκ τοσούτων ἀνδρῶν συνάγουσι μίαν ἡμίσειαν χιλιάδα. scrib. μίαν καὶ ἡμ. χιλ., h. e. 1500. — μερόπων ἀνθρ. Il. α', 250. — περισταῖεν. λ', 242, Il. ρ', 95 etc. περιστ. ἄρηϊ, *circumstarent bello*, non amice, ut Piroï ducis corpus circumstetisse dicit Thraces Il. δ', 532. Sch.: ἄρης νῦν ὁ σίδηρος, quo sensu haud memini me legere hoc vocabulum ap. Homerum. Ap. quidem v. ἄρης: — ἐπὶ δὲ τοῦ σιδήρου, ἔνθα μάλιστα Γίνεται ἄρης ἀλεγεινὸς, quae verba habentur Il. ν', 569, sed *vulnus* ibi ἄρην doctiores intelligunt, — ἐλάσαιο, *abigeres victor.* — κακῶν, h. e.

Ὣς φάτο, καί ῥά οἱ ὕπνον ἐπὶ βλεφάροισιν ἔχευεν·
αὐτὴ δ' ἂψ ἐς Ὄλυμπον ἀφίκετο, δῖα θεάων,
εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ,
λυσιμελής. ἄλοχος δ' ἄρ' ἐπέγρετο κέδν' εἰδυῖα·
κλαῖε δ' ἄρ' ἐν λέκτροισι καθεζομένη μαλακοῖσιν.
αὐτὰρ ἐπεὶ κλαίουσα κορέσσατο ὃν κατὰ θυμὸν,
Ἀρτέμιδι πρώτιστον ἐπεύξατο δῖα γυναικῶν·

emori cupit pariter vigilans Penelope, nec obdormit.

„Ἄρτεμι, πότνια θεὰ, θύγατερ Διὸς, αἴθε μοι ἤδη
ἰὸν ἐνὶ στήθεσσι βαλοῦσ' ἐκ θυμὸν ἕλοιο
αὐτίκα νῦν, ἢ ἔπειτά μ' ἀναρπάξασα θύελλα
οἴχοιτο προφέρουσα κατ' ἠερόεντα κέλευθα,
ἐν προχοῇς δὲ βάλοι ἀψοῤῥόου ὠκεανοῖο,

ἐκ κακῶν, ὑπ. ἤδη, *jam emerges e malis.* quod pertinet ad verba Ulyssis dubitantis 43. πῇ κεν ὑπεκπροφύγοιμι;

56—60. εὖτε τὸν ὕπνος — Λυσιμελής. E: ὅτι ἐν τῷ ὕπνος τὸν Ὀδυσσέα ἔμαρπτε, λύων μελ. θ., Λυσιμελὴς ἔοικε παρετυμολογεῖν (h. e. *prava* notatione derivare, ut videtur Eustathio, sed male) τὸ λυσιμελὴς ὕπνος, ἵνα εἴη τοιοῦτος ὁ λύων τὰς μελεδῶνας, κ. νοοῖτο κατὰ μίαν ἔννοιαν καὶ λυσιμελὴς συνθέτως, κ. διαλελυμένως λύων μελ. θυμοῦ, ὁ αὐτός. καὶ μὴν αὐτὸς καὶ ἄλλως (?) καλεῖται λυσιμελὴς παρὰ τὸ λύειν τὰ μέλη, ὡς δηλοῦται (?) καὶ ἐν τῷ λύθεν δέ οἱ ἅψεα πάντα (δ', 794). εἴη δ' ἂν τοιοῦτος καὶ ὁ κάματος (sed diverso sensu), εἴ γε καὶ καμάτῳ φίλα γυῖα λέλυνται (Il. η', 6)· ὥστε αὖθις τῷ λόγῳ τούτῳ ἄλλως μὲν λυσιμελὴς, ἄλλως δὲ λύων μελ. ψυχῆς ὁ αὐτός. vides, hominem transversum agi τῷ πολυσήμῳ vocis μέλος, quae etiam μελέθημα, *curam sollicitudinem*que, indicabat antiquitus. nec alio hic sensu somnus vocatur λυσιμελὴς, h. e. verbo aperto Orphei personati λυσιμέριμνος, *quem cura fugit*, ut ait Ovidius Met. 11, 624. Euripides quoque, cum dixit θάνατον λυσιμελῆ Suppl. 45, idem cogitavit: et facete Hedylus Anthol. Palat. 2. p. 440.: Λυσιμελοῦς, inquit, Βάκχου καὶ λυσιμελοῦς Ἀφροδίτης Γεννᾶται θυγάτηρ λυσιμελὴς Ποδάγρα, quae ita reddideris: *Sorgenerlöser Iacch und Sorgenerlöserin Kypris Zeugten ein Töchterlein, Sorgenerlöserin Gicht.* laetitia et gaudiis curas solvere dicit epigrammatarius Bacchum et Venerem, morte autem podagram. verissime. at ibi quoque, ut apud Homerum h. l., *membra soluta* propinant interpretes, falsi, opinor, hyperbato, quod inest in verbis εὖτε — Λυσιμελής. rite enim atque ordine dixisset εὖτε τὸν ὕπνος λυσιμελὴς ἔμαρπτε, λύων μελ. θ., ut ψ', 342: ὅτε οἱ γλυκὺς ὕπνος Λυσιμελὴς ἐπόρουσε, λύων μελεδήματα θυμοῦ. scilicet ita explicare solet poëta verba paulo obscuriora, ut cui perspicuitate nihil sit antiquius; quemadmodum Il. ι', 124. dixit ἵππους ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο, et Odyss. β', 65. περικτίονας ἀνθρώπους, Οἳ περιναιετάουσι, ubi v. ann. — ἐπέγρετο, *experrecta est.* χ', 431, Il. κ', 124 etc. — κέδν' εἰδυῖα. α', 428, 335 etc. — κλαίουσα κορέσσατο pro κλαυθμοῦ, ut Herodot. 9, 39.: ἄδην εἶχον κτείνοντες. v. Matth. §. 549, 7. et §. 330. — πρώτιστον. κ', 462 etc.

61—65. πότνα θεά. sic Ald. 3. et Berglerus; non item scripti, quod tradit Nitzschius ann. ad ε', 215, quam vide, sed πότνια, ut vulgo libri, quos mecum deseruit Eichhoff. *Etudes gr. sur Virgile*, 3. p. 162., ubi haec adscripsit illis Maronis Aen. 9, 495.: *aut tu, magne pater divom, miserere, tuoque Invisum hoc detrude caput sub Tartara telo.* de Diana feminas occidente v. ο', 409 etc. — ἔπειτα, *igitur*, cum res ita se habeat, cum talis sit status rerum mearum. male interpres: *postea.* v. α', 65, 84, β', 273, ε', 73, Soph. El. 321 etc. — Sch.: ἠερόεντα κέλευθα. τὸν ἀέρα, ἢ τὸν ᾅδην. similiter E: ἢ τὰ πρὸς δύσιν καὶ ᾅδην, ἢ καὶ ἁπλῶς τὰ περὶ ἀέρα. hoc verum esse, indicat versus sequens. — προχοῇς. ε', 453 etc. — ἀψοῤῥόου, *circumflui* sensu activo. Am. 2: τοῦ κύκλῳ περινοστοῦντος τὴν γῆν, κ. ἂψ πάλιν ἐπὶ τὰ αὐτὰ ἀφικνουμένου. ὁποῖόν ἐστι καὶ τὸ ἂψ περιτελλομένου ἔτεος (λ', 294). cf. Il. σ', 399.

ὡς ὅτε Πανδαρέου κούρας ἀνέλοντο θύελλαι!
τῇσι τοκῆας μὲν φθῖσαν θεοὶ, αἱ δ' ἐλίποντο
ὀρφαναὶ ἐν μεγάροισι· κόμισσε δὲ δῖ' Ἀφροδίτη
τυρῷ, καὶ μέλιτι γλυκερῷ, καὶ ἡδέϊ οἴνῳ·
Ἥρη δ' αὐτῇσιν περὶ πασέων δῶκε γυναικῶν
εἶδος, καὶ πινυτήν· μῆκος δ' ἔπορ' Ἄρτεμις ἁγνή·
ἔργα δ' Ἀθηναίη δέδαε κλυτὰ ἐργάζεσθαι.
εὖτ' Ἀφροδίτη δῖα προσέστιχε μακρὸν Ὄλυμπον,
κούρῃς αἰτήσουσα τέλος θαλεροῖο γάμοιο,

66. *ὡς ὅτε.* sic Ald. 3. et Scholl. 2 Am., quam scripturam praetuli vulgatae *ὡς δ' ὅτε* propter faciliorem conjunctionem sententiarum, verbis *ὡς ὅτε — θύελλαι* relatis sine offensione ad illa, quae antecedunt, *ἢ ἔπειτα — ὠκεανοῖο*, cum ea, quae ceteri codd. hic habent: *— ὠκεανοῖο. ὡς δ' ὅτε — θύελλαι — ἀμφιπολεύειν· Ὣς ἔμ' ἀϊστώσειαν* etc., vel anacolutho expedienda sint, vel parenthesi molestiore *τῇσι — ἀμφιπολεύειν.* notum est, *δὲ* temere inculcari solere a librariis, qua de re v. Jacobs. indice Anthologiae Palat., Schäfer. Melet. cr. p. 59 et 135., nos quoque ann. ad *ι'*, 344 et passim ad scriptores scenicos Graecorum. Am. Q. et Sch.: *Πανθάρεως ὁ Μέροπος καὶ Νύμφης Ὀρείας παῖς, Μιλήσιος τὸ γένος, γήμας Ἁρμαθόην, τὴν Ἀμφιδάμαντος, ἴσχει* (Am. Q. *ἔσχε*) *παῖδας* (filias) *τρεῖς, Ἀηδόνα, κ. Κλεοθήραν, κ. Μερόπην* (duas tantum novit Paus. 10, 30., Camiro et Clytien), *ἃς τρέφουσιν Ἀφροδίτη, καὶ Ἀθηνᾶ, κ. Ἥρα.* (loquuntur Graeculi, quasi id fecissent deae vivis parentibus puellarum, contra ac tradit Homerus 67. et 68.; cui inepte obloquentes illi ann. ad 67. ita garriunt: *καὶ γὰρ οὐκ ὀρφανὰς αὐτὰς ἀνεθρέψατο Ἀφροδίτη, ἀλλὰ πρὸ τῆς ὀρφανίας.*) *Πανδάρεως δὲ παραγενόμενος εἰς Κρήτην κλέπτει τὸν τοῦ Διὸς κύνα, κ. αὐτὸν οὐκ ἤνεγκεν εἰς Μίλητον, δείσας τὸν Δία, παρὰ Ταντάλῳ δὲ εἰς Φρυγίαν κατατίθεται, φάμενος ἄγειν ἐκ Φοινίκης τοῦτον. ὁ δὲ Τάνταλος δεξάμενος ἐφύλασσεν. ἔπειτα, κελεύσαντος Διὸς ἐρευνᾷν τὸν κύνα, παραγίνεται πρὸς τὸν Τάνταλον ὁ Ἑρμῆς· ὁ δὲ ἀρνεῖται, κ. ὄμνυσι τὸν Δία κ. τοὺς ἄλλους θεοὺς μὴ συνειδέναι τι περὶ τοῦ κυνός. ὁ δὲ Ἑρμῆς εὑρίσκει αὐτὸν παρ' αὐτῷ. ὡς δὲ ὁ Πανδάρεως ἐπύθετο, φεύγει ἐκ τῆς πατρίδος σὺν τῇ γυναικὶ Ἁρμαθόῃ κ. ταῖς θυγατράσιν, ἀγάμοις οὔσαις, Κλεοθήρᾳ τε, κ. Ἀηδόνι, κ. Μερόπῃ, εἰς Ἀθήνας, ἐκ δὲ Ἀθηνῶν εἰς Σικελίαν. ὁ δὲ Ζεὺς αὐτὸν ἰδὼν κτείνει σὺν τῇ γυναικὶ, ταῖς δὲ θυγατράσιν αὐτοῦ τὰς Ἁρπυίας ἐφορμᾷ. αἱ δὲ ἀνελόμεναι Ἐριννύσιν αὐτὰς διδόασι δουλεύειν. οὐ μὴν ἀλλὰ καὶ νόσον αὐταῖς ἐμβάλλει Ζεύς· καλεῖται δὲ αὕτη κύων.* quis sit ille morbus, scio cum ignarissimis, putoque Scholiastas dedisse hoc: *καλεῖται δὲ ἀντίκυων*, h. e. *ἀλώπηξ*. Hesych.: *ἀντίκυων, ἀλώπηξ.* est autem intelligenda *ἀλωπεκία*, *defluvium capillorum*, ut Callimachus hymno in Dianam 77.: *τὸ δ' ἄτριχον εἰσέτι καὶ νῦν Μεσσάτιον στέρνοιο μένει μέρος, ὡς ὅτε κόρσῃ Φωτὸς ἐνιδρυνθεῖσα κόμην ἐπενείματ' ἀλώπηξ.* sic *αὐτὴ* in *ἄντην* mutare visum est *τ'*, 104, cum constet, *ν* et *υ* litteras permisceri solere in codd.; nec minus *η* et *ι* sibi offecerint propter iotacismum. quodsi divinavimus, jocus subesse videatur huic narrationi, quasi punitis *ἀντίκυνι* virginibus *ἀντὶ κυνὸς*, pro cane isto, quem furatus erat Pandareus. ceterum cf. ann. ad *τ'*, 518.

67—90. *τῇσι — θεοί.* asyndeton epexegeticum. — *κόμισσε — ἐργάζεσθαι.* *δι' ἔλεον αὐτὰς αἱ θεαὶ ἀνεθρέψαντο, ἀγνοοῦσαι τὸ πεπρωμένον· μόνος γὰρ ὁ Ζεὺς οἶδε μοῖράν τ', ἀμμορίην τε* (76), *ὁμοίως.* — *τυρῷ, — οἴνῳ.* cibus delicatus, ut quem dea praebeat. „Batrachom. 38.: *οὐ τυρὸς νεόπηκτος ἀπὸ γλυκεροῖο γάλακτος, Οὐ χρηστὸν μελίτωμα, τὸ καὶ μάκαρες ποθέουσιν.* Eurip. Bacch. 112.: *ῥεῖ δὲ γάλακτι πέδον, ῥεῖ δ' οἴνῳ, ῥεῖ δὲ μελισσᾶν νέκταρι.*" *E Cl.* — *πινυτὴν*, *prudentiam*, ut Il. *η'*, 288.: *Αἶαν, ἐπεί τοι δῶκε θεὸς μέγεθός τε, βίην τε, Καὶ πινυτήν.* aliter *λ'*, 443.: *ἀλλ' οὐ σοίγ', Ὀδυσεῦ, φόνος ἔσσεται ἔκ γε γυναικός· Λίην γὰρ πινυτὴ* etc. — Sch.: *μῆκος δ' ἔπορε. κουροτρόφος γὰρ ἡ θεὸς ὁμοίως τῷ ἀδελφῷ Ἀπόλλωνι.* cf. *ο'*, 86. — *δέδαε*, *docuerat*, a *δεδάω.* v. Matth. §. 228. — Am. 2: *τέλος θαλ. γάμοιο. περιφραστικῶς*

ἐς Δία τερπικέραυνον (ὁ γάρ τ' εὖ οἶδεν ἅπαντα,
μοῖράν τ', ἀμμορίην τε, καταθνητῶν ἀνθρώπων)·
τόφρα δὲ τὰς κούρας Ἅρπυιαι ἀνηρείψαντο,
καί ῥ' ἔδοσαν στυγερῇσιν Ἐριννύσιν ἀμφιπολεύειν.
ὣς ἔμ' ἀϊστώσειαν Ὀλύμπια δώματ' ἔχοντες,
ἠὲ μ' ἐϋπλόκαμος βάλοι Ἄρτεμις, ὄφρ' Ὀδυσῆα
ὀσσομένη καὶ γαῖαν ὕπο στυγερὴν ἀφικοίμην,
μηδέ τι χείρονος ἀνδρὸς ἐϋφραίνοιμι νόημα.
ἀλλὰ τὸ μὲν καὶ ἀνεκτὸν ἔχει κακὸν, ὁππότε κέν τις
ἤματα μὲν κλαίῃ, πυκινῶς ἀκαχήμενος ἦτορ,
νύκτας δ' ὕπνος ἔλῃσιν· ὁ γάρ τ' ἐπέλησεν ἁπάντων,
ἐσθλῶν, ἠδὲ κακῶν, ἐπεὶ ἂρ βλέφαρ' ἀμφικαλύψῃ,
αὐτὰρ ἐμοὶ καὶ ὀνείρατ' ἐπέσσευεν κακὰ δαίμων.
τῇδε γὰρ αὖ μοι νυκτὶ παρέδραθεν εἴκελος αὐτῷ,
τοῖος ἐὼν, οἷος ᾖεν ἅμα στρατῷ· αὐτὰρ ἐμὸν κῆρ
χαῖρ', ἐπεὶ οὐκ ἐφάμην ὄναρ ἔμμεναι, ἀλλ' ὕπαρ ἤδη."

lamentantis uxoris vocem exaudiens Ulysses fausta omina poscit Jovem, si revera sibi sit propitius.

"Ὣς ἔφατ'· αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν Ἠώς.
τῆς δ' ἄρα κλαιούσης ὄπα σύνθετο δῖος Ὀδυσσεύς·
μερμήριξε δ' ἔπειτα, δόκησε δέ οἱ κατὰ θυμὸν
ἤδη γιγνώσκουσα παρεστάμεναι κεφαλῆφι.
χλαῖναν μὲν ξυνελὼν, καὶ κώεα, τοῖσιν ἐνεῦδεν,
ἐς μέγαρον κατέθηκεν ἐπὶ θρόνου, ἐκ δὲ βοείην
θῆκε θύραζε φέρων· Διῒ δ' εὔξατο, χεῖρας ἀνασχών·
„Ζεῦ πάτερ, εἴ μ' ἐθέλοντες ἐπὶ τραφερήν τε, καὶ ὑγρὴν,

τὸν γάμον. cf. Il. γ', 309. τέλος μάχης dixit Aeschylus Suppl. 437. etc. — Sch.: μοῖραν. εὐμοιρίαν, εὐδαιμονίαν. ἀμμορίην. κακομμορίην, ὅ ἐστι κακομοιρίαν. adjectivum ἄμμορος habetur Il. ζ', 408, Odyss. ε', 275. et alias. — Ἅρπυιαι. v. α', 241. — ἀμφιπολεύειν, *comitari*, vel Eustathio interprete συμπεριοδεύειν. τί γὰρ συνὸν (perperam liber: σεμνόν.) ταῖς θεοφιλέσι κόραις τὸ δούλαις γενέσθαι; v. Am. Q. et Sch. ad 66, praetereaque σ', 253 etc. — E: ὀσσομένη. ἤγουν ἀνειδωλοποιουμένη, κ. μὴ ἐκλαθομένη αὐτοῦ. καὶ γαῖαν — νόημα. τουτέστιν, ἵνα θάνοιμι, ἔχουσα μνήμην τοῦ ἀρίστου ἀνδρὸς ἐγγεγραμμένην μοι ἀνεξάλειπτον εἰς ψυχήν. πάνυ δὲ σεμνῶς εἴρηται τὸ μὴ χείρονος — νόημα ἀντὶ τοῦ μὴ ἑτέρῳ μιγείην ἀνδρί. — γαῖα δὲ στυγερὴ ἡ κατὰ τὸν ᾅδην· ἡ γὰρ ἄνω φίλη μήτηρ, κ. διατοῦτο Δήμητρος τόπος. καὶ ἄλλως δὲ ὁ τάφος εἴη ἂν γαῖα στυγερὴ, ὡς καὶ Ἐριννύες στυγεραί. — ἀνεκτὸν, *tolerabile*. 223, Il. α', 573 etc. — ἔχει. scil. τὶς, quod huc pertinet ex sequentibus. — ἤματα, ἤμασιν. accus. temporis. — πυκινῶς, *vehementer*. cf. τ', 95 etc. — ἀκαχ. ἦτορ. κ', 313 etc. — ἔλῃσιν. ita codex A. 1., ut 52. et τ', 515.: ἔλησί τε κοῖτος ἅπαντας, et εὖτε τὸν ὕπνος ἔμαρπτε in superioribus, 56. ceteri libri: ἔχῃσιν, minus quidem eleganter, cum ἔχει legatur in proximis. — ὁ γὰρ, *ille enim*, somnus. — ἐπέλησεν, *oblivionem afferre solet*. δ', 455, ε', 324. — ἀμφικαλύψῃ bene habet in sententia hypothetica. E: ἀμφικαλύψει, cui non erat quod aures praeberent viri eruditissimi. — ἐπέσσευεν, *incutere* sive *immittere solet*. σ', 255 etc. — παρέδραθεν, *accubuit*. v. ann. ad Il. ξ', 163. — οἷος correpta prima, ut η', 312, Il. ν', 275. — ὄναρ, ὕπαρ. τ', 547.

91. κ', 541, μ', 142 etc.

95—101. χλαῖναν μὲν ξυνελών. asyndeton festinantis. cf. γ', 18, λ', 197 etc. — ἐκ δὲ, ἔξω δέ. v. τ', 537 etc. — Ζεῦ π., εἴ μ' ἐθέλοντες. intell. θεοί. v. θ', 153 etc. — ἐπὶ τραφ.

ἤγετ' ἐμὴν ἐς γαῖαν, ἐπεί μ' ἐκακώσατε λίην,
φήμην τίς μοι φάσθω ἐγειρομένων ἀνθρώπων
ἔνδοθεν, ἔκτοσθεν δὲ Διὸς τέρας ἄλλο φανήτω."

tonat Jupiter, simulque in aedibus ancilla molitrix, operi suo etiam noctu intenta, ceteris dormientibus, Ulyssi facit omen.

"Ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε μητίετα Ζεύς·
* αὐτίκα δ' ἐβρόντησεν ἀπ' αἰγλήεντος Ὀλύμπου,
[ὑψόθεν ἐκ νεφέων· γήθησε δὲ δῖος Ὀδυσσεύς.]
φήμην δ' ἐξ οἴκοιο γυνὴ προέηκεν ἀλετρὶς
πλησίον, ἔνθ' ἄρα οἱ μύλαι εἵατο, ποιμένι λαῶν,
τῇσιν δώδεκα πᾶσαι ἐπεῤῥώοντο γυναῖκες,
ἄλφιτα τεύχουσαι καὶ ἀλείατα, μυελὸν ἀνδρῶν.
αἱ μὲν ἄρ' ἄλλαι εὗδον, ἐπεὶ κατὰ πυρὸν ἄλεσσαν·
ἡ δὲ μί' οὔπω παύετ', ἀφαυροτάτη δ' ἐτέτυκτο.
ἥ ῥα μύλην στήσασα ἔπος φάτο, σῆμα ἄνακτι·

preces ancillae.

„Ζεῦ πάτερ, ὅστε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσεις,

τε, καὶ ὑγρήν. h. e. ἐπὶ γῆν κ. θάλασσαν. v. ann. ad Il. ξ', 308. — φήμην φάσθω proprie dixit, usurpatis nomine et verbo ejusdem originis, ut ζ', 61. et alias. φήμην, *omen ex voce.* Montbel.: „Le mot φήμη, dans Homère, s'entend du présage qu'on tirait des paroles de celui qui parlait le premier, comme on peut en voir un exemple au second chant de l'Odyssée (35). Eustathe explique φήμη par λόγος δηλωτικὸς (p. 1432, l. 22.), λόγος μαντικὸς (p. 1439, l. 8), *discours qui sert à manifester, discours prophétique.* Les petites scholies (Brev. schol. in Odyss. β', 35, et υ', 100) l'expliquent par κληδών, *présage*, et les scholies ambrosiennes (β', 35) lui donnent le même sens. Il n'a jamais, dans Homère, l'acception de *renommée*, de *fama* des Latins. Cependant l'auteur des Oeuvres et des Jours (Op. et D. v. 758—9, ed. Gaisford.) lui donne cette dernière signification. Dans Hérodote (5, §. 72.), comme dans Hom., il est pris pour *présage tiré d'une parole.*" τέρας, *prodigium.* γ', 173, ο', 168 etc.

102. Il. π', 249.

103. ter legitur δὲ brevi intervallo. quare malim: αὐτίκα γὰρ βρόντησεν. de γὰρ et δὲ particulis saepe confusis v. μ', 342. — αἰγλήεντος Ὀλ. „Virg. Aen. 9, 630.: *audiit, et coeli genitor de parte serena Intonuit laevum.*" Cl.

104—111. ἐκ νεφέων. fuere jam antiquitus, qui mirarentur, nubes hic memorari, quas nullas apparere dicat molitrix 114.; quibus respondent Am. 2, intelligendum esse locum nubium, h. e. coelum: ἐκ τοῦ τόπου, ὅπου εἰώθασιν εἶναι τὰ νέφη. sed recte P. Knight., adstipulante Montbelio: „Ineptum et importunum commentum: tonitrua enim e coelo sereno — απ' αιγληεντος ολυμποο (sic) — non nubilo, prodigiosa erant; atque infra 114. serva αλετρις observat, οὐδε ποθι νεφος εστι." „Virg. Georg. 1, 487.: *non alias* coelo *ceciderunt plura* sereno *Fulgura.* Lucan. Pharsal. 1, 530.: *fulgura fallaci micuerunt crebra* sereno." *E Cl.* B ad 113.: „Jupiter „„*per purum* tonantes egit equos volucremque currum"" prodigialiter. loca nonnullu adposuit ad Horat. 1. Od. 34, 6. Bentlejus. sereno tonuisse inter prodi gia retulit Jul. Obsequens." igitur unci impingendi erant huic versiculo. — προέηκεν *emisit*, dixit. — μύλαι, η', 104. — Sch.: εἵατο ψιλῶς (non εἵατο, *sedebant*), ἵν' ᾖ ἦσαν (ἧντο). v. Matth. §. 211. — πᾶσαι, *in universum.* v. ε', 244 etc. — Am. B.: ἐπεῤῥώοντο. (Il. α', 529. cf. ψ', 3 etc.) ἐῤῥωμένως ἐκινοῦντο. Sch.: ἐῤῥωμένως ἐνήργουν. Ap. h. v.: ὅταν τις τῇ ῥώμῃ ἐμπίπτῃ, κ. ἀλῇ. ἐν τῇ υ' τῆς Ὀδυσσείας. — Am. B. emend.: ἄλφιτα. (β', 290 etc.) τὰ ἀπὸ κριθῆς ἄλευρα, ἀλείατα δὲ τὰ ἀπὸ πυρῶν [ἄλευρα]. — μυελὸν ἀνδρῶν. β', 290, Il. υ', 482 etc. — ἀφαυροτάτη, *debilissima.* Il. ο', 11 etc. — σῆμα, *signum* ejus, quod eventurum erat, φήμην.

ἢ μεγάλ' ἐβρόντησας ἀπ' οὐρανοῦ ἀστερόεντος,
οὐδέ ποθι νέφος ἐστί· τέρας νύ τεῳ τόδε φαίνεις.
*κρῆνον νῦν καὶ ἐμοὶ δειλῇ ἔπος, ὅττι κεν εἴπω·
μνηστῆρες πύματόν τε καὶ ὕστατον ἤματι τῷδε
ἐν μεγάροις Ὀδυσῆος ἑλοίατο δαῖτ' ἐρατεινήν,
οἳ δή μοι καμάτῳ θυμαλγέϊ γούνατ' ἔλυσαν,
ἄλφιτα τευχούσῃ· νῦν ὕστατα δειπνήσειαν."
"Ὡς ἄρ' ἔφη· χαῖρεν δὲ κλεηδόνι δῖος Ὀδυσσεύς,
Ζηνός τε βροντῇ· φάτο γὰρ τίσασθαι ἀλείτας.

mane Telemachus quaerit de Ulysse, an hospitaliter acceptus sit.

Αἱ δ' ἄλλαι δμωαὶ κατὰ δώματα καλ' Ὀδυσῆος
ἀγρόμεναι ἀνέκαιον ἐπ' ἐσχάρῃ ἀκάματον πῦρ.
Τηλέμαχος δ' εὐνῆθεν ἀνίστατο, ἰσόθεος φώς,
εἵματα ἑσσάμενος, περὶ δὲ ξίφος ὀξὺ θέτ' ὤμῳ,
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ·
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰών, πρὸς δ' Εὐρύκλειαν ἔειπε·
„Μαῖα φίλη, τὸν ξεῖνον ἐτιμήσασθ' ἐνὶ οἴκῳ
εὐνῇ, καὶ σίτῳ, ἦ αὔτως κεῖται ἀκηδής;
τοιαύτη γὰρ ἐμοὶ μήτηρ, πινυτή περ ἐοῦσα·
ἐμπλήγδην ἕτερόν γε τίει μερόπων ἀνθρώπων
χείρονα, τὸν δέ τ' ἀρείον' ἀτιμήσασ' ἀποπέμπει."

Eurycleae responsio.

Τὸν δ' αὖτε προσέειπε περίφρων Εὐρύκλεια·
„οὐκ ἄν μιν νῦν, τέκνον, ἀναίτιον αἰτιόῳο.
οἶνον μὲν γὰρ ἔπινε καθήμενος, ὄφρ' ἔθελ' αὐτὸς,

114—124. τεῳ, τινί. Il. π', 227. — κρῆνον. A. 2. 3. 4. et nonnulli ap. E: κρήηνον, ut Il. α', 41 et 504; similiterque κρηήνατε dixit γ', 418, ρ', 242, et κρηῆναι Il. ι', 101. sane carere possumus τῷ νῦν, et εὐφωνότερον est κρήηνον καὶ ἐμοὶ, quod malim. νῦν addiderint metri gratia, ex quo scribi coeperat κρῆνον. ita plus ponderis habet νῦν 119; nec magni refert, contra ac sentire videtur E, quod κρῆναι legitur aliquot locis, velut ε', 70. — πύματόν τε καὶ ὕστατον. tautologia emphatica, ut Il. χ', 203. — γούνατ' ἔλυσαν. a consequente lassitudinis. v. σ', 212. — ἀλείτας, *sontes*. cf. Il. γ', 28. — ἀκάματον πῦρ. φ', 181, Il. ε', 4 etc. — ἰσόθεος φώς. h. e. θεῖος, δῖος, *divinus*, nobilis. cf. α', 324, Il. β', 565 etc. „Ovid. Epist. e Ponto 1, 2, 120.: *aequandi Superis — viri.*" Cl.

125, 6. β', 3, 4, δ', 308, 9.

127. Il. κ', 135.

128—132. στῆ — ἰών. φ', 124 etc. — αὔτως, *sic*, male. librarii hic quoque, ut solent: αὔτως. v. ann. ad Il. α', 133. — Sch.: ἀκηδής. (Il. ω', 554.) ἀτημέλητος. — Am. Q.: τοιαύτη — μήτηρ. οὐ διαβάλλει τὴν μητέρα, ἀλλὰ λέγει, ὅτι τοὺς μὲν πτωχοὺς εὐαγγελιζομένους περὶ Ὀδυσσέως τιμᾷ, καίπερ ψευδομένους, τοὺς δὲ ἀγαθοὺς διὰ τὸ μὴ ψεύδεσθαι ἀτιμάζει. — E: ἐμπλήγδην κατὰ τοὺς παλαιοὺς τὸ ἀκρίτως, παρὰ τὸ ἐμπελάζειν (?), ἢ ἐμπλήσσειν, ἤτοι ἐμπίπτειν, ὅπως ἂν τύχοι, τοῖς πράγμασι. — ἔμπληκτος δὲ ὁ ἄστατος κ. οἱονεὶ ἔσω πεπληγμένος, κ. οὐ κατὰ φύσιν φρονῶν. ὥσπερ ἔκπληκτος ὁ ἔξωθεν πεπληγμένος, κατὰ τοὺς ἐμβροντήτους κ. ἐκπεπαταγμένους, κ. ἔκθαμβος, κατὰ τὴν κοινῶς λεγομένην ἔκπληξιν etc. Ap. emend.: ἐμπλήγδην. ἐμπληκτικῶς, οὐ μετὰ κρίσεως. ἐν τῷ υ' τῆς Ὀδυσσείας ὑπομνήματι. ὁ δὲ Ἀρίσταρχος, εὐμεταβόλως.

136. ἔπινε. sic E in commentario, p. 1886, l. 51.: nam in lemmate habet

σίτου δ' οὐκέτ' ἔφη πεινήμεναι· εἴρετο γάρ μιν.
ἀλλ' ὅτε δὴ κοίτοιο καὶ ὕπνου μιμνήσκοιτο,
ἡ μὲν δέμνι' ἄνωγεν ὑποστορέσαι δμωῇσιν·
αὐτὰρ ὅγ', ὥς τις πάμπαν ὀϊζυρὸς καὶ ἄποτμος,
οὐκ ἔθελ' ἐν λέκτροισι καὶ ἐν ῥήγεσσι καθεύδειν,
ἀλλ' ἐν ἀδεψήτῳ βοέῃ καὶ κώεσιν οἰῶν
ἔδραθ' ἐνὶ προδόμῳ· χλαῖναν δ' ἐπιέσσαμεν ἡμεῖς."

prodit Telemachus in concionem; servi servaeque operari incipiunt; pastores adsunt cum pecudibus mactandis.

Ὣς φάτο· Τηλέμαχος δὲ διὲκ μεγάροιο βεβήκει,
ἔγχος ἔχων (ἅμα τῷγε κύνες πόδας ἀργοὶ ἕποντο)·
βῆ δ' ἴμεν εἰς ἀγορὴν μετ' εὐκνήμιδας Ἀχαιούς.
ἡ δ' αὖτε δμωῇσιν ἐκέκλετο δῖα γυναικῶν,
Εὐρύκλει', Ὦπος θυγάτηρ Πεισηνορίδαο·
„Ἀγρεῖθ', αἱ μὲν δῶμα κορήσατε ποιπνύσασαι,
ῥάσσατέ τ', ἔν τε θρόνοις εὐποιήτοισι τάπητας
βάλλετε πορφυρέους· αἱ δὲ σπόγγοισι τραπέζας

πῖνε, ut libri editi; sed notum est, lemmata scholiorum saepe mutata esse, inculcatis vulgatorum codicum scripturis. minime autem necesse fuit dici πῖνε, cum augmentum non modo reciperet versus, sed expeteret, ne rhythmo eodem decurreret atque antecedens. atque metri inprimis rationem habet Hom. in hoc genere, nec πῖνε posuit nisi initio versus, vel pede 5. hexametri post comma, vel denique in formula αὐτὰρ ὁ πῖνε καὶ ἦσθε. v. ε', 94, ξ', 109, 168 etc.

137 — 147. σίτου πεινήμεναι, ut πεινῆν χρημάτων ap. Xenophontem. v. Schn. v. πεινάω. E.: — ψεύδεσθαι ἡ γραῦς δοκεῖ· οὐδὲν γὰρ τοιοῦτον ἐφάνη γενέσθαι εἰς τὸν Ὀδυσσέα παρὰ τῇ Πηνελόπῃ, κ. ἦν καίριον ὑπὲρ τῆς δεσποίνης τὸ ψεῦδος τῇ δούλῃ. καὶ ἄλλως δὲ ἀπεικὸς οὐδὲν κατὰ τὸ σιωπώμενον οὕτω γενέσθαι, ὡς ἡ δούλη ἔφη. — ὀϊζυρὸς, *calamitosus*. γ', 95 etc. — ἄποτμος. α', 219. — ῥήγεσσι. γ', 349. — ἀδεψήτῳ — οἰῶν. 2, 3. — ἅμα τῷγε — Ἀχαιούς. cf. β', 10, 11. — ἐκέκλετο. ζ', 71 etc.

148. α', 429, β', 347. genus memorat feminae egregiae, quae Ulyssem lactaverat, cuique rei domesticae cura commissa erat; quapropter et δῖαν γυναικῶν vocat.

149 — 156. ἀγρεῖτε, *agite*. v. Il. ε', 765. — κορήσατε, *purgate*, *verrite*. Ap.: καλλύνατε. E: σαρώσατε, καλλύνατε (fortasse a κέρειν sive κείρειν, *auferre* sordes)· ὅθεν καὶ κόρημα τὸ σάρον (scopae), δι' οὗ φιλοκαλεῖται γῆ. — ἰστέον δὲ, ὅτι τὸ ῥηθὲν σάρον, ἤτοι σάρωτρον, καὶ ὄφελμα ἐκαλεῖτο κατὰ τοὺς παλαιοὺς ἐν ἀντιφράσει· οὐ γὰρ ὀφέλλονται, ἤτοι αὔξονται, τὰ σαρούμενα, διὸ καὶ τὸ σάρον παραιρεῖ κ. μειοῖ. τοιοῦτον δέ τι καὶ τὸ σαροῦν διὰ τὸ πρωτότυπον σαίρω, ἐξ οὗ καὶ σήρανες γῆς, κ. σεσηρέναι ῥῆμα, κ. χείλη σεσηρότα, ἐφ' ὧν πάντων σχίσμα τι φαίνεται κ. μείωσις ὁλότητος etc. — ποιπνύσασαι, ἐνεργήσασαι, *alacriter opus facientes*, germ. *euch tummelnd*, ut reddit Buttmannus Lexil. 45. v. ann. ad Il. θ', 218. et ξ', 155. — Ap. et Hesych.: ῥάσσατε. ῥάνατε. E: τὸ δὲ ῥάσατε ἀντὶ τοῦ ῥάνατε, ὡς μὴ λιθοστρώτου ἴσως ὄντος τοῦ τῆς εἰλαπίνης δαπέδου εἰς τὸ πᾶν. ὅτι δὲ ἦν τι καὶ λίθοις ἐστρωμένον, δηλοῖ τὸ ἐν τοῖς ἑξῆς (ψ', 46) κραταίπεδον, περὶ οὗ φασιν οἱ παλαιοὶ, ὅτι κραταίπεδον τὸ λιθόστρωτον κ. οὕτω στεῤῥόν. — θέμα δὲ τοῦ ῥάσατε ῥάζω, ἐξ οὗ ἐν τοῖς ἑξῆς (354) τοῖχοι ἐῤῥάδαται ὁμοίως τῷ ὠνομάδαται κ. τοῖς τοιούτοις. (Matth. §. 198.) ὡς γὰρ βῶ βάζω, ὡς καὶ ῥῶ ῥάζω. ἐκ δὲ τοῦ τοιούτου ῥῶ καὶ τὸ ῥαίνειν γίνεται. — „Anaxandrides ap. Athen. 2, 9., initio: ἀλλὰ ξενῶνας οἶγε, καὶ ῥᾶνον δόμους, Στρώννυ τε κοίτας, κ. πυρὸς φλέξον μένος, Κρατῆρά τ' αἶρου, καὶ τὸν ἡ-

πάσας ἀμφιμάσασθε, καθήρατε δὲ κρητῆρας,
καὶ δέπα ἀμφικύπελλα τετυγμένα· ταὶ δὲ μεθ' ὕδωρ
ἔρχεσθε κρήνηνδε, καὶ οἴσετε θᾶσσον ἰοῦσαι.
οὐ γὰρ δὴν μνηστῆρες ἀπέσσονται μεγάροιο,
ἀλλὰ μάλ' ἦρι νέονται, ἐπεὶ καὶ πᾶσιν ἑορτή."
"Ὣς ἔφαθ'· αἱ δ' ἄρα τῆς μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
αἱ μὲν ἐείκοσι βῆσαν ἐπὶ κρήνην μελάνυδρον·
αἱ δ' αὐτοῦ κατὰ δώματ' ἐπισταμένως πονέοντο.
Ἐς δ' ἦλθον δρηστῆρες Ἀχαιῶν. οἱ μὲν ἔπειτα
εὖ καὶ ἐπισταμένως κέασαν ξύλα· ταὶ δὲ γυναῖκες
ἦλθον ἀπὸ κρήνης, ἐπὶ δέ σφισιν ἦλθε συβώτης,
τρεῖς σιάλους κατάγων, οἳ ἔσαν μετὰ πᾶσιν ἄριστοι.
καὶ τοὺς μέν ῥ' εἴασε καθ' ἕρκεα καλὰ νέμεσθαι,
αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσηύδα μειλιχίοισι·

suo quisque modo Ulyssem appellant Eumaeus, Melanthius et Philoetius.

„Ξεῖν', ἦ ἄρ τί σε μᾶλλον Ἀχαιοὶ εἰσορόωσιν,
ἦέ σ' ἀτιμάζουσι κατὰ μέγαρ', ὡς τὸ πάρος περ;"
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„αἲ γὰρ δή, Εὔμαιε, θεοὶ τισαίατο λώβην,
ἣν οἵδ' ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται
οἴκῳ ἐν ἀλλοτρίῳ, οὐδ' αἰδοῦς μοῖραν ἔχουσιν."
"Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
ἀγχίμολον δέ σφ' ἦλθε Μελάνθιος, αἰπόλος αἰγῶν,
αἶγας ἄγων, αἳ πᾶσι μετέπρεπον αἰπολίοισι,
δεῖπνον μνηστήρεσσι· δύω δ' ἅμ' ἕποντο νομῆες.
καὶ τὰς μὲν κατέδησεν ὑπ' αἰθούσῃ ἐριδούπῳ,
αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσηύδα κερτομίοισι·

διστον κέρα." *Cl.* — Ap. h. l. c.: ἀμφιμάσασθε. καθάρατε (καθήρατε), περιψήσατε. *abstergite.* pertinent huc verba ἐκμάσσειν, ἀναμάσσειν (τ', 92), ἀπομάσσειν etc. v. E. — δέπα ἀμφ. γ', 63. — ἦρι, *mane.* τ', 320. — νέονται, *veniunt*, venire solent. — ἐπεὶ — ἑορτή, *quoniam et omnibus*, h. e. omni populo, *festus dies est.* dicit festum interlunii. Sch.: ταύτην τὴν ἡμέραν ἑορτὴν καὶ νουμηνίαν παρατίθεται, Ἀπόλλωνος ἱερὰν, ἵνα, τῶν ἀνδρῶν περὶ τὴν ἑορτὴν καταγινομένων, εὔκαιρον ἔχῃ τὸ ἐπιτίθεσθαι μνηστῆρσι. idem ad calcem hujus libri, secundum Philochorum (v. Philochori fragm. ed. Siebelis, p. 93.): τὴν νεομηνίαν πάντων τῶν θεῶν νομίζουσιν εἶναι· ταύτην γὰρ οἱ πρόγονοι τοῖς θεοῖς ἀνέθεσαν διὰ τὸ πρώτην αὐτὴν εἶναι τοῦ μηνὸς, πάσας τε τὰς ἀρχὰς προσῆψαν αὐτοῖς, ὀρθῶς ποιοῦντες etc. cf. inferius 276 — 278.

160 — 177. δρηστῆρες Ἀχαιῶν. sic unus MS. Thomae Bentleji; alter: δρηστῆρες ἀγήνορες, uti et Harl. mire A. 1.: μνηστῆρες Ἀχαιῶν, ex quo tamen Ἀχαιῶν recte acciverunt W. et B. priscae edd.: μνηστῆρες ἀγήνορες. δρηστῆρες, *famuli.* v. κ', 349. — κέασαν, *fiderunt.* μ', 388 etc. — σιάλους. β', 300. — μετὰ πᾶσιν, ἐν π. Il. ε', 2 etc. — νέμεσθαι, *pasci.* Il. ε', 777. — μειλιχίοισι, *blande.* Il. δ', 256. contrarium est κερτομίοισι 177. — αἰδοῦς μοῖραν. periphrasis αἰδοῦς, ut Soph. Ant. 824: κάτειμι, πρίν μοι μοῖραν ἐξήκειν βίου, pro βίον. v. ibi ann. vel οὐδὲ μ. αἰδοῦς, *ne partem quidem pudoris*, ne minimum quidem pudorem, quemadmodum Sch.: οὐδὲ ὀλίγον αἰδοῦνται. Aeschylus Suppl. 925.: δέδοται δ' ἁρμονίᾳ μοῖρ' ἀφροδίτας. — κερτομίοισι, *conviciis.* ι', 474.

„Ξεῖν', ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις κατὰ δῶμα,
ἀνέρας αἰτίζων, ἀτὰρ οὐκ ἔξεισθα θύραζε;
πάντως οὐκέτι νῶϊ διακρινέεσθαι ὀΐω,
πρὶν χειρῶν γεύσασθαι, ἐπεὶ σύ περ οὐ κατὰ κόσμον
αἰτίζεις· εἰσὶν δὲ καὶ ἄλλαι δαῖτες Ἀχαιῶν.“
Ὣς φάτο· τὸν δ' οὔτι προσέφη πολύμητις Ὀδυσσεὺς,
ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
Τοῖσι δ' ἐπὶ τρίτος ἦλθε Φιλοίτιος, ὄρχαμος ἀνδρῶν,
βοῦν στεῖραν μνηστῆρσιν ἄγων, καὶ πίονας αἶγας·
πορθμῆες δ' ἄρα τούσγε διήγαγον, οἵτε καὶ ἄλλους
ἀνθρώπους πέμπουσιν, ὅτις σφέας εἰσαφίκηται.
καὶ τὰ μὲν εὖ κατέδησεν ὑπ' αἰθούσῃ ἐριδούπῳ,
αὐτὸς δ' αὖτ' ἐρέεινε συβώτην, ἄγχι παραστάς·
„Τίς δὴ ὅδε ξεῖνος νέον εἰλήλουθε, συβῶτα,
ἡμέτερον πρὸς δῶμα; τέων δ' ἐξ εὔχεται εἶναι
ἀνδρῶν; ποῦ δέ νύ οἱ γενεὴ, καὶ πατρὶς ἄρουρα;
δύσμορος! ἦ τε ἔοικε δέμας βασιλῆϊ ἄνακτι.
ἀλλὰ θεοὶ δυόωσι πολυπλάγκτους ἀνθρώπους,
ὁππότε καὶ βασιλεῦσιν ἐπικλώσονται ὀϊζύν.“
Ἦ, καὶ δεξιτερῇ δειδίσκετο χειρὶ παραστὰς,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·

bubulci oratio pathetica.

„Χαῖρε, πάτερ ὦ ξεῖνε! γένοιτό τοι ἔς περ ὀπίσσω
ὄλβος· ἀτὰρ μὲν νῦν γε κακοῖς ἔχεαι πολέεσσι.
Ζεῦ πάτερ, οὔτις σεῖο θεῶν ὀλοώτερος ἄλλος!
οὐκ ἐλεαίρεις ἄνδρας, ἐπὴν δὴ γείνεαι αὐτὸς,

178—181. ξεῖν', ἔτι — δῶμα. cf. τ', 66. — πάντως — ὀΐω. similiter σ', 148.: οὐ γὰρ ἀναιμωτί γε διακρινέεσθαι ὀΐω Μνηστῆρας καὶ κεῖνον. — οὐ κατὰ κόσμον, *non recte et uti decet.* ϑ', 179 etc.

184. ρ', 465.

185—197. ὄρχαμος ἀνδρῶν, *princeps virorum*, vir praestans. γ', 454, ξ', 24 etc. — βοῦν στεῖραν. κ', 522, λ', 30. — Am. B.: βοῦν στεῖραν. τῶν γὰρ ἀτόκων τὸ κρέας κάλλιστον. E: βοῦς ἄγεται στεῖρα βιωτικῶς (victus causa), ἐπεὶ τὰς τοκάδας περιέπεσθαι (curare, alere) χρή. — διήγαγον, *trajiciebant*, trajicere solebant, quoties opus esset. pascebantur hi greges boum et caprarum in insula Cephallenia. v. inferius 209, 210, et cf. ξ, 100. — αἰθούσῃ. γ', 399. — τέων, τίνων. ζ, 119, Matth. §. 152, ann. — δύσμορός ἐστι. — ἦ τε, *profecto.* ν', 211 etc. — βασιλῆϊ ἄνακτι, *regi imperatori*, ut θεοὶ ἄνακτες μ', 290, ubi v. ann. cf. et Il. α', 7. Ap.: ἄναξ. ὅτε μὲν βασιλεύς· Ἀτρείδης τε, ἄναξ ἀνδρῶν (Il. α', 7). εἴρηται δὲ ἀπὸ τοῦ ὑπεράνω εἶναι τῶν ὑποτεταγμένων. εἴρηται δὲ καὶ ἐπὶ τοῦ οἰκοδεσπότου. similiter ω', 253.: βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικας, Il. γ', 170: βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικεν etc., nec recte Montbel.: „L'infortuné, comme il est semblable au roi *notre maître!*“ de Ulysse inferius cogitat 205. — Am. Q.: δυόωσι. εἰς δύην καὶ κακοπάθειαν βάλλουσι. a δυᾷν. semel dixit. verum esse ait pastor, quod vulgo dici soleat, deos affligere homines, quando ne ipsis quidem regibus parcant, quibus comparavit hospitem. — ἐπικλώσονται. ἐπικλώσωνται. v. α', 17. — δειδίσκετο. γ', 41, σ', 120.

199, 200. σ', 121, 122.

201. Il. γ', 365. cf. Il. ψ', 439.

202—206. ἐλεαίρεις, *misereris*, parcis. — γείνεαι, γείνηαι, γείνῃ. Sch. ed. Argent.: *ΕΠΕΩΔΗ* (ἐπειδὴ) *ΓΕΙΝΕΑΙ*, καθὸ πατὴρ ἀνδρῶν

μισγέμεναι κακότητι καὶ ἄλγεσι λευγαλέοισιν.
ἴδιον, ὡς ἐνόησα, δεδάκρυνται δέ μοι ὄσσε,
μνησαμένῳ Ὀδυσῆος, ἐπεὶ καὶ κεῖνον ὀΐω
τοιάδε λαίφε' ἔχοντα κατ' ἀνθρώπους ἀλάλησθαι,
εἴπου ἔτι ζώει, καὶ ὁρᾷ φάος ἠελίοιο.
εἰ δ' ἤδη τέθνηκε, καὶ εἰν Ἀΐδαο δόμοισιν,
ὤ μοι ἔπειτ' Ὀδυσῆος ἀμύμονος, ὅς μ' ἐπὶ βουσὶν
εἷσ', ἔτι τυτθὸν ἐόντα, Κεφαλλήνων ἐνὶ δήμῳ.
νῦν δ' αἱ μὲν γίγνονται ἀθέσφατοι, οὐδέ κεν ἄλλως
ἀνδρί γ' ὑποσταχύοιτο βοῶν γένος εὐρυμετώπων,
τὰς δ' ἄλλοι με κέλονται ἀγινέμεναί σφισιν αὐτοῖς
ἔδμεναι, οὐδέ τι παιδὸς ἐνὶ μεγάροις ἀλέγουσιν,
οὐδ' ὄπιδα τρομέουσι θεῶν· μεμάασι γὰρ ἤδη
κτήματα δάσσασθαι δὴν οἰχομένοιο ἄνακτος.
αὐτὰρ ἐμοὶ τόδε θυμὸς ἐνὶ στήθεσσι φίλοισι
πόλλ' ἐπιδινεῖται. μάλα μὲν κακὸν, υἷος ἐόντος,
ἄλλων δῆμον ἱκέσθαι, ἰόντ' αὐτῇσι βόεσσιν
ἄνδρας ἐς ἀλλοδαπούς· τὸ δὲ ῥίγιον, αὖθι μένοντα,
βουσὶν ἐπ' ἀλλοτρίῃσι καθήμενον, ἄλγεα πάσχειν.

τε, θεῶν (τε. v. α', 28 etc.) *ΓΕΙΝΕΑΙ.* γενήσεις. Buttmann.: γεννήσῃς. similiter Ap.: γείνεαι. γεννήσεις, ubi Toll. recte: γεννήσῃς. E: — ἤγουν γεννήσῃς· — πατρὸς γὰρ τὸ γείνεσθαι, ἤτοι γεννᾷν. — μισγέμεναι κακότητι, *miscere calamitati*, ut Pind. Nem. 1, 25.: λαὸν — Ὀλυμπιάδων φύλλοις ἐλαιᾶν χρυσέοις μιχθέντα etc. — λευγαλέοισιν, λυγροῖς. β', 61 etc. — Am. B. emend.: ἴδιον, ὡς ἐνόησα. ψιλωτέον τὸ ἴδιον. κυρίως μὲν ἵδρωσα, νῦν δὲ ἠγωνίασα· παρακολουθεῖ γὰρ τοῖς ἀγωνιῶσι καὶ ἱδρώς. — Ap. itidem emend.: ἴδιον. ἵδρωσα· ἴδιον — ὄσσε. τῶν ἅπαξ εἰρημένων παρ' Ὁμήρῳ· ἐν δὲ τῇ ἀρχαίᾳ Κωμῳδίᾳ πλειστάκις τὸ ἰδίειν ἔστιν εὑρεῖν ἐπὶ τοῦ ἱδροῦν. Aristoph. Pace, 85.: πρὶν ἂν ἰδίσῃς, ubi Schol.: πρὶν ἱδρώσῃς. — Sch.: λαίφεα (ν', 399.). ῥάκη, ἢ λεπτὰ (vilia) ἱμάτια. Am. Q.: κυρίως τῶν πλοίων αἱ ὀθόναι, νῦν δὲ τὰ παχέα ἱμάτια. E: λαίφεα κἀνταῦθα πτωχικὰ παχέα ἱμάτια, ὡς καὶ τὰ σπεῖρα ἐν τῷ σπεῖρα κάκ' ἀμφ' ὤμοισι (δ', 245). κυρίως δὲ λαίφεα αἱ τῶν πλοίων, φασὶν, ὀθόναι· ὅθεν οἱ κοινότεροι συνθέντες ἐκ τοῦ σάγος κ. τοῦ λαῖφος σαγολαίφεα λέγουσιν.

207. et 8. δ', 833, 34. cf. ω', 263. et 64.

209, 210. Ὀδυσῆος, *propter Ulyssem.* — ὅς μ' ἐπὶ βουσὶν — ἐόντα. E: ὅς μ' ἐπὶ β. ἔταξε, τυτθὸν ἐόντα. invenerat τάξ', ἔτι τ. ἐ., quo tamen verbo haud utitur Homerus. contra εἷσε passim legitur, velut δ', 531, η', 169, καθεῖσε Il. γ', 382. — Κεφαλλήνων. v. Il. β', 631.

211 — 225. ἀθέσφατοι, *ne deo quidem effabiles*, nedum homini, *innumerae.* v. ann. ad Il. γ', 4. — οὐδέ κεν ἄλλως — εὐρυμετώπων, *nec aliter cuipiam succrescat boum genus latifrontium.* modeste dicit ἄλλως pro ἄμεινον, *melius*, felicius. E: τὸ ὑποσταχύῳτο (sic plurimi codd.; sed A. 2., Ald. 3., W, B: ὑπ — ύοιτο.) ἀντὶ τοῦ αὔξοιτο δίκην σταχύων, ὧν ἕκαστος ἐξ ἑνὸς κόκκου πολύχους γίνεται τὸν καρπόν. ἐκ τοῦ στάχυος γὰρ τὸ ὑποσταχύεσθαι. οὐδὲν δὲ ἐκώλυεν, εἴπερ ἤθελεν, εἰπεῖν καὶ ὑποσταχύοιτο. — οὐδ' ὄπιδα τρ. θεῶν. cf. ξ', 82, Il. π', 388. — τόδε, *hoc*, quod dicturus est. — ἐπιδινεῖται, *volvit*, considerat. medium pro activo. v. ι', 538 etc. Sch.: ἐν τοῖς στήθεσιν ἀνακυκλεῖ ὁ λογισμὸς, πολλὰς στροφὰς λαμβάνει. — μάλα μὲν κακὸν, — ἄλγεα πάσχειν. duas se res sive duplicem agendi modum expendere et secum reputare dicit: utrum fugiat superstite herili filio, ipsosque boves furto abigat in peregrinam terram; an maneat apud alienum gregem (βουσὶν ἐπ' ἀλλοτρίῃσιν), h. e. eum, cujus fructum alieni, proci, intercipiant; id quod multo etiam intolerabilius videtur servo

καί κεν δὴ πάλαι ἄλλον ὑπερμενέων βασιλήων
ἐξικόμην φεύγων, ἐπεὶ οὐκέτ᾽ ἀνεκτὰ πέλονται·
ἀλλ᾽ ἔτι τὸν δύστηνον ὀΐομαι, εἴ ποθεν ἐλθὼν
ἀνδρῶν μνηστήρων σκέδασιν κατὰ δώματα θείη.“

cui jurat personatus hospes, statim Ulyssem adfuturum esse.

Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„βουκόλ᾽, ἐπεὶ οὔτε κακῷ οὔτ᾽ ἄφρονι φωτὶ ἔοικας,
γιγνώσκω δὲ καὶ αὐτὸς, ὅ τοι πινυτὴ φρένας ἵκει,
τοὔνεκά τοι ἐρέω, καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι·
ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα,
ἱστίη τ᾽ Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
ἦ σέθεν ἐνθάδ᾽ ἐόντος ἐλεύσεται οἴκαδ᾽ Ὀδυσσεὺς,
σοῖσιν δ᾽ ὀφθαλμοῖσιν ἐπόψεαι, αἴ κ᾽ ἐθέλησθα,
κτεινομένους μνηστῆρας, οἳ ἐνθάδε κοιρανέουσι.“

vota faciunt ambo pastores, id ut fiat.

Τὸν δ᾽ αὖτε προσέειπε βοῶν ἐπιβουκόλος ἀνήρ·
„αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τελέσειε Κρονίων!
γνοίης χ᾽, οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕπονται.“
Ὣς δ᾽ αὔτως Εὔμαιος ἐπεύξατο πᾶσι θεοῖσι,
νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.

datur omen sinistrum procis, dum in aedes Ulyssis conveniunt.

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
μνηστῆρες δ᾽ ἄρα Τηλεμάχῳ θάνατόν τε, μόρον τε,
ἤρτυον. αὐτὰρ ὁ τοῖσιν ἀριστερὸς ἤλυθεν ὄρνις,

frugi. — *ὑπερμενέων*, *potentium.* ν', 205, Il. θ', 235. ridicule A. 1.: *εὐτροφέων βασ.* pro *ἐϋτρεφ.* sive *ἐϋτραφ.* — *ἀνεκτά.* Il. α', 573.: *ἦ δὴ λοίγια ἔργα τάδ᾽ ἔσσεται, οὐδ᾽ ἔτ᾽ ἀνεκτά.* — E: *ὀΐομαι*, *ἐλπίζω.* *spero, imaginor.* β', 198, γ', 47 etc. — *εἴ ποθεν* — *θείη.* cf. α', 115. et 16.

227—229. E: *βουκόλε.* *δῆλον, ὡς καὶ αἰπολίοις ἐπιστατεῖ ὁ Φιλοίτιος, εἴ γε καὶ πίονας αἶγας ἄγει* (186)· *καλεῖται δὲ ὅμως βουκόλος ἢ ἐκ τοῦ τιμιωτέρου, ἢ ἐκ τοῦ πλεονάζοντος* (a majore numero boum, quos pascebat). *εἰ δὴ καὶ πίονας αἶγας ἁπλῶς οὗτος ἄγει, ἀλλ᾽ οὐκ ἤδη τὰς πᾶσι μεταπρεπούσας αἰπολίοισιν* (ρ', 213)· *ἐκεῖνο γὰρ Μελανθίου ἔργον, ὃς μισῶν τοὺς δεσπότας τοῖς μνηστῆρσιν ἔχαιρεν.* — *ἐπεὶ* — *ἔοικας.* ζ', 187. de synizesi in *ἐπεὶ οὔτε* v. τ', 314 etc. — *ὅ τοι* (h. e. *ὅτι σοι*) *πινυτὴ φρένας ἵκει* dixit ut haec et similia *μάλιστα δέ μ᾽ ἄλγος ἱκάνει* β', 41, *τίνα χρειὼ τόσον ἵκει* ibidem 28., in quibus *τὸ ἵκειν* sive *ἱκάνειν* communionem ac societatem indicat a consequente ejus, quod advenisse dicitur, quemadmodum nostrates dicant: *und da ich auch selbst erkenne, dass Klugheit deiner Seele beiwohnt.* cf. 237. — *τοὔνεκα* — *ὀμοῦμαι.* Il. α', 233, ι', 132.

230, 31. ξ', 160, 61. A. 2. et 3.: — *θεῶν ὕπατος καὶ ἄριστος*, ut τ', 303 et Il. τ', 258. dittographia, quam commemoravit Schol. Harl.

235—246. *βοῶν ἐπιβ. ἀνήρ.* γ', 422. — *δύναμις καὶ χεῖρες.* hendiadys pro *δύναμις χειρῶν.* similiter dixit *ἕπεσθαι χεῖρας*, *sequi manus*, h. e. sequi Philoetium, atque *ἵκειν πινυτὴν φρένας αὐτοῦ* 228, siquidem et hoc et illud significat, esse sive inesse viro et vim manuum (v. ann. ad 263) et prudentiam. ceterum haec itidem leguntur φ', 202. — *θάνατόν τε, μόρον τε.* ι', 61 etc. — *ἤρτυον*, *struebant.* γ', 152 etc. — *ἀριστερὸς*, *sinister*, itaque infaustus. cf. ο', 160 et ann. ad Il. μ', 201, item Feith. 1,

αἰετὸς ὑψιπέτης, ἔχε δὲ τρήρωνα πέλειαν.
τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο, καὶ μετέειπεν·
„Ὦ φίλοι, οὐχ ἡμῖν ξυνθεύσεται ἥδε γε βουλὴ,
Τηλεμάχοιο φόνος· ἀλλὰ μνησώμεθα δαιτός."
Ὣς ἔφατ' Ἀμφίνομος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
ἐλθόντες δ' ἐς δώματ' Ὀδυσσῆος θείοιο
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε, θρόνους τε,
οἱ δ' ἵερευον ὄϊς μεγάλους, καὶ πίονας αἶγας,
ἵρευον δὲ σύας σιάλους, καὶ βοῦν ἀγελαίην.
σπλάγχνα δ' ἄρ' ὀπτήσαντες ἐνώμων, ἐν δέ τε οἶνον
κρητῆρσιν κεράσαντο· κύπελλα δὲ νεῖμε συβώτης·
σῖτον δέ σφ' ἐπένειμε Φιλοίτιος, ὄρχαμος ἀνδρῶν,
καλοῖς ἐν κανέοισιν· ἐφνοχόει δὲ Μελανθεύς.
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.

Ulyssem prope limen considere, procos autem vim abstinere, jubet Telemachus.

Τηλέμαχος δ' Ὀδυσῆα καθῖδρυε, κέρδεα νωμῶν,
ἐντὸς ἐϋσταθέος μεγάρου, παρὰ λάϊνον οὐδὸν,
δίφρον ἀεικέλιον καταθεὶς, ὀλίγην τε τράπεζαν,
πὰρ δ' ἐτίθει σπλάγχνων μοίρας, ἐν δ' οἶνον ἔχευεν
ἐν δέπαϊ χρυσέῳ, καί μιν πρὸς μῦθον ἔειπεν·
„Ἐνταυθοῖ νῦν ἧσο μετ' ἀνδράσιν οἰνοποτάζων·
κερτομίας δέ τοι αὐτὸς ἐγὼ καὶ χεῖρας ἀφέξω
πάντων μνηστήρων, ἐπεὶ οὔτοι δήμιός ἐστιν
οἶκος ὅδ', ἀλλ' Ὀδυσῆος, ἐμοὶ δ' ἐκτήσατο κεῖνος.
ὑμεῖς δὲ, μνηστῆρες, ἐπίσχετε θυμὸν ἐνιπῆς,
καὶ χειρῶν, ἵνα μή τις ἔρις καὶ νεῖκος ὄρηται."

16, 3. — *τρήρωνα πέλειαν.* v. ann. ad Il. ε', 778. — Ap.: *συνθεύσεται* (pro *ξυνθ.*). *συνδραμεῖται.* E: — *οὐ γὰρ συνδραμεῖται, φησὶν, ἡμῖν τὸ βουλευθὲν, ἀλλὰ δηλονότι σκεδασθήσεται, ἀφ' ἡμῶν, καὶ οὐκ ἂν ἴδοιμεν αὐτό. εἰς κώλυσιν οὖν βουλῆς οἰκεῖον τὸ οὐχ ἡμῖν — βουλή.* de hac forma futuri v. Matth. §. 176, c. et Grammaticos. — *ἀλλὰ μνησώμεθα δαιτός.* vox *χαρακτηριστικὴ* in proco. at heroës Iliadis (ο', 477, τ', 148): *ἀλλὰ μνησώμεθα χάρμης.* Horat. Epist. 1, 2, 27.: *nos numerus sumus et fruges consumere nati, Sponsi Penelopae.*

247. cf. ν', 16 etc.

249—251. ϱ', 179—181.

252—255. *ἐνώμων, distribuebant.* γ', 340 etc. — *κεράσαντο* A. 1. et Ald. 3. cf. Am. B. vulgo: *κερόωντο.* cf. ϑ', 470, ο', 499 etc. — *καλοῖς ἐν κανέοισιν.* Il. ι', 216., ω', 625., et seqq. cf. Odyss. α', 147. memorabile sacrificium procorum. E: *σημειοῦνται ἐν τοῖς ῥηθεῖσιν οἱ παλαιοὶ, ὡς ἐνθάδε, καὶ μόνον, οἱ μνηστῆρες ἱερεύουσιν ὄϊς καὶ τὰ ἑξῆς, — ἀλλαχοῦ δὲ τῆς Ὁμηρικῆς ταύτης ποιήσεως οὐχ εὕρηνται τοῦτο ποιοῦντες.* sic inferius 276. sacris publicis haud intersunt.

256. α', 149, Il. ι', 91 etc.

258, 9. *ἐϋσταθέος μεγάρου.* χ', 120, Il. σ', 374 etc. — *ἀεικέλιον, indignum*, vilem. δ', 244 etc.

262—266. *οἰνοποτάζων.* ζ', 309. — *κερτομίας.* Il. υ', 202. — *χεῖρας, manus*, vim, quemadmodum dicunt *εἰς χεῖρας ἐλθεῖν.* cf. 267. — *δήμιος, publicus*, de quo jus sit populo et procis. — Sch.: *ἐνιπῆς* (κ', 448). *ἐπιπλήξεως. ἐνιπὴ ἡ διὰ λόγων ἐπίπληξις κ. ἀπειλὴ* (germ. *das Anfahren*), *ἀπὸ τοῦ ἐνέπω.* imo ab *ἐνίπω* sive *ἐνίπτω.* v. Buttmann. *Lexil.* 63, 14—21, et cf. 303.

Ὣς ἔφαϑ'· οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες
Τηλέμαχον ϑαύμαζον, ὃ ϑαρσαλέως ἀγόρευε.
τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείϑεος υἱός·

Antinoi irati vox.

„Καὶ χαλεπόν περ ἐόντα δεχώμεϑα μῦϑον, Ἀχαιοὶ,
Τηλεμάχου· μάλα δ' ἧμιν ἀπειλήσας ἀγορεύει.
οὐ γὰρ Ζεὺς εἴασε Κρονίων, τῷ κέ μιν ἤδη
παύσαμεν ἐν μεγάροισι, λιγύν περ ἐόντ' ἀγορητήν."

popului sacrum Apollinare celebrat, epulantibus in regia procis.

Ὣς ἔφατ' Ἀντίνοος· ὁ δ' ἄρ' οὐκ ἐμπάζετο μύϑων.
κήρυκες δ' ἀνὰ ἄστυ ϑεῶν ἱερὴν ἑκατόμβην
ἦγον· τοὶ δ' ἀγέροντο καρηκομόωντες Ἀχαιοὶ
ἄλσος ὕπο σκιερὸν ἑκατηβόλου Ἀπόλλωνος.
οἱ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα, καὶ ἐρύσαντο,
μοίρας δασσάμενοι δαίνυντ' ἐρικυδέα δαῖτα·
πὰρ δ' ἄρ' Ὀδυσσῆϊ μοῖραν ϑέσαν, οἳ πονέοντο,
ἴσην, ὡς αὐτοί περ ἐλάγχανον· ὣς γὰρ ἀνώγει
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος ϑείοιο.

Ctesippi proci violentia.

Μνηστῆρας δ' οὐ πάμπαν ἀγήνορας εἴα Ἀϑήνη
λώβης ἴσχεσϑαι ϑυμαλγέος, ὄφρ' ἔτι μᾶλλον
δύῃ ἄχος κραδίην Λαερτιάδεω Ὀδυσῆος.

268, 69. α', 381, 82, σ', 409, 10.

272—275. *ἧμιν* correpta posteriore, ut ϑ', 569. et alias. v. ann. ad π', 372. et E h. l. — *οὐ γὰρ — ἀγορητήν.* sententiam, quae continet causam, priore loco posuit, more Graecorum: ideo enim (*τῷ*, propter minaces ejus orationes, *διὰ τὸ ἀγορεύειν μάλα ἀπειλήσαντα*) jam diu se silentium impostituros fuisse ait Telemacho; at Jove prohibente non potuisse. v. α', 337, κ', 174 etc. *λιγὺν — ἀγορητήν.* Il. α', 248 etc. — *ἐμπάζετο.* 384, ρ', 488. cf. α', 271.

276 — 278. *ἀνὰ ἄστυ, in urbe* Ithaca. — *ϑεῶν — ἦγον.* v. Il. α', 99, Odyss. γ', 144 etc. de hoc festo diximus ann. ad 156. — *καρηκομόωντες.* α', 90. — *Ἀχαιοί.* Ithacenses, quos etiam in sequentibus dicit, non procos, qui est error Scholiastae Am. B. et Eustathii. transversos egerunt illos verba *πὰρ δ' ἄρ' Ὀδυσσῆϊ μοῖραν ϑέσαν, οἳ πονέοντο,* quos famulos intelligebant procorum. at epularum domi instructarum partem jam ipse Telemachus apposuerat patri 260.; nunc itidem bono omine praecones et ministros publicos de victimis Apollinaribus ei impertire jussit honoris causa, tanquam regi, qui adhuc quidem lateret sub persona vili, sed statim in pristinam dignitatem, cujus inter jura etiam jus *προεδρίας* (v. Il. ϑ', 162, η', 321 etc.), restituendus esset. — *ἄλσος.* ζ', 291, Il. β', 506, ubi v. ann.

279, 80. γ', 65, 66. cf. ibidem 470.

284 — 86. σ', 345 — 47. sicut ibi scriptum est, ita et h. l. dedi *Λαερτιάδεω Ὀδυσῆος*: neque enim tolerabile est id, quod habent codd., *δύῃ ἄχος κραδίην Λαερτιάδην Ὀδυσῆα.* perperam E: *ἤγουν ἵνα ὑπεισέλϑῃ λύπη τὸν Ὀδυσσέα κατὰ καρδίαν.* nusquam ita loquitur Hom., quod sciam, nec vel ejusmodi homoeoteleuton admisisset. saepe ος et α confusa. librarii forte scripserunt *Ὀδυσῆα*, correctores de industria *Λαερτιάδην*.

ἦν δέ τις ἐν μνηστῆρσιν ἀνὴρ, ἀθεμίστια εἰδὼς,
Κτήσιππος δ' ὄνομ' ἔσκε, Σάμῃ δ' ἐνὶ οἰκία ναῖεν,
ὃς δή τοι κτεάτεσσι πεποιθὼς θεσπεσίοισι
μνάσκετ' Ὀδυσσῆος δὴν οἰχομένοιο δάμαρτα.
ὅς ῥα τότε μνηστῆρσιν ὑπερφιάλοισι μετηύδα·
„Κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, ὄφρα τι εἴπω!
μοῖραν μὲν δὴ ξεῖνος ἔχει πάλαι, ὡς ἐπέοικεν,
ἴσην· οὐ γὰρ καλὸν ἀτέμβειν, οὐδὲ δίκαιον,
ξείνους Τηλεμάχου, ὅς κεν τάδε δώμαθ' ἵκηται.
ἀλλ' ἄγε οἱ καὶ ἐγὼ δῶ ξείνιον, ὄφρα καὶ αὐτὸς
ἠὲ λοετροχόῳ δώῃ γέρας, ἠέ τῳ ἄλλῳ
δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
  Ὣς εἰπὼν ἔῤῥιψε βοὸς πόδα χειρὶ παχείῃ
κείμενον, ἐκ κανέοιο λαβών· ὁ δ' ἀλεύατ', Ὀδυσσεὺς,
ἦκα παρακλίνας κεφαλὴν, μείδησε δὲ θυμῷ
σαρδάνιον μάλα τοῖον· ὁ δ' εὔδμητον βάλε τοῖχον.

287—290. ἀθεμίστια εἰδώς. h. e. ἀθεμίστιος. v. ι', 189, 428, ibidem quoque 106, ubi habetur forma ἀθέμιστος, ρ', 363 etc. — Σάμῃ. α', 246. — θεσπεσίοισι, *ingentibus.* sic A. 1. et E, idque superscriptum est vulgatis πατρὸς ἑοῖο in Harl.: quare accipiendum duxere W et B. — μνάσκετο, ἐμνᾶτο. semel dixit. — δὴν οἰχομένοιο. α', 281.

294, 5. οὐ γὰρ — ἵκηται. φ', 312. et 13. cf. β', 90, ι', 42 etc.

296—303. δῶ, *dederim.* v. ι', 37. — Sch.: λοετροχόῳ. νῦν τῷ τὰ λουτρὰ παρέχοντι, ἢ παρασκευάζοντι. Am. B.: ἴσως τινὶ πρὸς τὰ λουτρὰ ἀποδεδειγμένῃ γυναικί. τοὺς γὰρ βασιλικωτέρους εὐγενεῖς ἔλουον παρθένοι. v. ann. ad γ', 464. λοετροχόον τρίποδα dixit θ', 435. et Il. σ', 346. — οἵ εἰσι. — ἀλεύατ', *evitavit.* ρ', 67 etc. — ἦκα παρ. κεφαλὴν, *paulum declinato capite.* v. ρ', 254, Il. γ', 155 etc. — θυμῷ, *prae ira.* putide interpretes: *subrisit autem animo.* — σαρδάνιον μάλα τοῖον, *sardanium vehementer tale,* h. e. valde σαρδάνιον, σαρδανιώτατον, si ita fas est dicere. significat σαρκασμὸν, risum fictum et amarum, qualis est iratorum. Am. B.: σαρδόνιον (sic plurimi codd. scripti, sed editi fere σαρδάνιον, vel Σαρδάνιον). σεσηρὸς, σαρκαστικὸν, ἐπίπλαστον, παρὰ τὸ μόνον σεσηρέναι τὰ χείλη, μὴ μέντοι γελᾶν. Sch.: σαρδάνιον μ. τοῖον. σεσηρὸς ἐπ' ὀλέθρῳ. φασὶ τὸν ἡφαιστότευκτον, ὑπὸ Διὸς Εὐρώπῃ δοθέντα, φύλακα τοὺς ἐπιβαίνοντας τῇ Κρήτῃ ἰδίως τιμωρεῖσθαι. πηδῶντα γὰρ εἰς πῦρ, καὶ θερμαίνοντα τὸ στῆθος, περιπτύσσεσθαι αὐτούς· ὧν καιομένων ἐκεῖνον σεσηρέναι. ἔνιοι δὲ γίνεσθαι λέγουσιν ἐν Σαρδοῖ τῇ νήσῳ σέλινον τοιοῦτον, ὃ τοὺς φαγόντας ξένους μετὰ σπασμοῦ σεσηρότας ἀπόλλυσθαι ποιεῖ. Τίμαιος δέ φησι (Tauromenitanus historicus tempore Ptolemaei Lagi. v. doctissimi Crusii *myth.-histor. Wörterbuch* p. 621.), τοὺς γεγηρακότας τῶν γονέων ἄγειν αὐτοὺς (Sardos dicit) πρὸς βόθρον, κ. καταβάλλειν εἰς αὐτόν· τοὺς δὲ ὡς μακαρίως ἀποθνήσκοντας γελᾶν. ἄλλοι δὲ ἄλλως. ἄμεινον δὲ τὸν ἐπὶ καταμωκήσει προσποίητον γέλωτα, παρὰ τὸ σεσηρέναι, ὅ ἐστιν ἀνοίγειν τὰ χείλη etc. „Pausanias 10, 17. de insula Sardinia: πλὴν δὲ βοτάνης μιᾶς καθαρεύει καὶ ἀπὸ φαρμάκων ἡ νῆσος, ἃ ἐργάζεται θάνατον. ἡ πόα δὲ ἡ ὀλέθριος σελίνῳ μέν ἐστιν ἐμφερής· τοῖς φαγοῦσι δὲ γελῶσιν ἐπιγίνεσθαι τὴν τελευτὴν λέγουσιν. ἐπὶ τούτῳ δὲ Ὅμηρός τε καὶ οἱ ἔπειτα ἄνθρωποι τὸν ἐπὶ οὐδενὶ ὑγιεῖ Σαρδόνιον γέλωτα ὀνομάζουσι. meminerunt hujus explicationis E et Sch., qui ad verba illa de Junone Il. ο', 101. ἡ δ' ἐγέλασσε χείλεσιν, οὐδὲ μέτωπον ἐπ' ὀφρύσι κυανέῃσιν ἰάνθη: Οὗτος ὁ γέλως, inquit, σαρδόνιος καλεῖται, ὅταν τις μὴ ἐκ διαθέσεως γελᾷ. Cic. Epist. ad Fam. 7, 25.: *ne — rideamus* γέλωτα σαρδόνιον." E *Cl.* P. Knight.: „σαρδανιον a σαρδαινω, eodem quod σαιρω, Anglice *sneer.* (similiter Riemerus ap. Schn. v. Σαρδόνιος γέλως, ubi Schn. herbam istam

verbis eum castigat Telemachus, morique optat potius quam adeo indigna facta adspiciat.

Κτήσιππον δ' ἄρα Τηλέμαχος ἠνίπαπε μύθῳ·
„Κτήσιππ', ἦ μάλα τοι τόδε κέρδιον ἔπλετο θυμῷ!
οὐκ ἔβαλες τὸν ξεῖνον· ἀλεύατο γὰρ βέλος αὐτός.
ἦ γάρ κέν σε μέσον βάλον ἔγχεϊ ὀξυόεντι,
καί κέ τοι ἀντὶ γάμοιο πατὴρ τάφον ἀμφεπονεῖτο
ἐνθάδε. τῷ μή τίς μοι ἀεικείας ἐνὶ οἴκῳ
φαινέτω. ἤδη γὰρ νοέω καὶ οἶδα ἕκαστα,
ἐσθλά τε, καὶ τὰ χέρεια (πάρος δ' ἔτι νήπιος ἦα)·
ἀλλ' ἔμπης τάδε μὲν καὶ τέτλαμεν εἰσορόωντες,
μήλων σφαζομένων, οἴνοιό τε πινομένοιο,
καὶ σίτου· χαλεπὸν γὰρ ἐρυκακέειν ἕνα πολλούς·
ἀλλ' ἄγε, μηκέτι μοι κακὰ ῥέζετε δυσμενέοντες.
εἰ δ' ἤδη μ' αὐτὸν κτεῖναι μενεαίνετε χαλκῷ,
καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη
τεθνάμεν ἢ τάδε γ' αἰὲν ἀεικέα ἔργ' ὁράασθαι,
ξείνους τε στυφελιζομένους, δμωάς τε γυναῖκας
ῥυστάζοντας ἀεικελίως κατὰ δώματα καλά."
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
ὀψὲ δὲ δὴ μετέειπε Δαμαστορίδης Ἀγέλαος·

venenatam vocat σαρδόνιον, *Sardoniam herbam*, h. e. batrachion, seu ranunculum. v. Harduin. ad Plin. H. N. 20, 11, 45., Billerbeck. Flor. class. p. 144. *Both.*) Σαρδονιον, quod alii veterum ediderunt, ab insula Sardo (sic), quam poëta ignoraverat, plane ineptum est." Montbel.: — „Knight croit que ce mot σαρδάνιον vient de l'ancien verbe σαρδαίνω, qui a la même signification que σαίρω, *ricaner, rire avec amertume.* On trouve des traces de ce verbe σαρδαίνω dans les mots σαρδανάφαλλος, *bouffon*, et ἀσαρδανὸς, *triste*, que nous a conservés Hésychius. Knight repousse avec raison l'étymologie ordinaire, qui dérive ce mot de l'île de Sardaigne, où croissait une herbe qui avait la propriété de contracter les lèvres (Schol. ed. a Buttm. h. l., Eust. p. 1893, l. 11 seqq., Paus. l. c., Lucian. Asino, t. 2, p. 592.), parce qu' Homère ne connaissait point l'île de Sardaigne. Au reste, quoi qu'il en soit de l'origine du mot σαρδάνιον, c'est de là que nous vient l'expression française de *ris sardonique* ou *sardonien.*" nostrates quoque σαρκασμὸν dicunt *ein sardonisches Lachen.* — εὔδμητον, *bene aedificatum.* η', 110 etc. — ἠνίπαπε. 17.

304—310. ἦ μάλα — θυμῷ, *nae hoc bene fuit de vita tua.* bene cum Ctesippo actum esse ait, quod non ferierit hospitem: alioqui enim se jaculo ipsum medium trajecturum fuisse. θυμῷ, *animae*, vitae, ut θυμοῦ δευομένους Il. γ', 294, ubi Sch.: ἐνδεομένους κ. χρήζοντας τοῦ θυμοῦ, ὅ ἐστι τῆς ψυχῆς, τεθνηκότας. cf. λ', 202, Il. ζ', 17 etc. — ἔγχεϊ ὀξυόεντι, *jaculo orneo.* v. ann. ad Il. ε', 50. — ἀμφεπονεῖτο. Il. ψ', 681. cf. ο', 467 etc.: nam idem est ἀμφιπένεσθαι atque ἀμφιπονεῖσθαι. — ἀεικείας, ἀεικέα, *indigna*, injurias. Il. ω', 18.: τοῖο δ' Ἀπόλλων Πᾶσαν ἀεικείην ἄπεχε χροΐ. cf. 314, 317. variantem scripturam ἀεικίην, ἀεικίας, commemoravit E. v. ann. ad Il. α', 205. — ἤδη γὰρ — ἦα. v. σ', 227, 28. jam se adolevisse ait, et intelligere, quid fas nefasve sit; tamen effusiones procorum ferre necessitate; cetera non item.

311—313. τέτλαμεν. perperam Cl. et Alterus ex suis codd.: τετλάμεν, qui est infinitivus. v. Buttmann. Ald. 3., Bergler. et aliae edd. recte: τέτλαμεν. — πινομένοιο pertinet ad σίτου per zeugma. — ἐρυκακέειν, *cohibere.* γ', 144, Il. ε', 262 etc.

316—319. cf. π', 106—109.

320. θ', 234, λ', 332 etc.

321. ὀψὲ — Ἀγέλαος. η', 155 etc.

Agelaus placabili oratione optimo procorum nubere Penelopen jubet.

„Ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ
ἀντιβίοις ἐπέεσσι καθαπτόμενος χαλεπαίνοι·
μήτε τι τὸν ξεῖνον στυφελίζετε, μήτε τιν' ἄλλον
δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
Τηλεμάχῳ δέ κε μῦθον ἐγὼ καὶ μητέρι φαίην
ἤπιον, εἴ σφωϊν κραδίῃ ἅδοι ἀμφοτέροιϊν.
ὄφρα μὲν ὑμῖν θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει,
νοστήσειν Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε,
τόφρ' οὔτις νέμεσις μενέμεν τ' ἦν, ἰσχέμεναί τε
μνηστῆρας κατὰ δώματ', ἐπεὶ τόδε κέρδιον ἦεν,
εἰ νόστησ' Ὀδυσεὺς, καὶ ὑπότροπος ἵκετο δῶμα·
νῦν δ' ἤδη τόδε δῆλον, ὅτ' οὐκέτι νόστιμός ἐστιν.
ἀλλ' ἄγε, σῇ τάδε μητρὶ παρεζόμενος κατάλεξον,
γήμασθ', ὅστις ἄριστος ἀνὴρ, καὶ πλεῖστα πόρῃσιν,
ὄφρα σὺ μὲν χαίρων πατρώϊα πάντα νέμηαι,
ἔσθων, καὶ πίνων, ἡ δ' ἄλλου δῶμα κομίζῃ."

cui respondet Telemachus, nec se impedire matris nuptias, nec domo invitam expulsurum esse.

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„οὐ μὰ Ζῆν', Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο,
ὅς που τῆλ' Ἰθάκης ἢ ἔφθιται, ἢ ἀλάληται,
οὔτι διατρίβω μητρὸς γάμον, ἀλλὰ κελεύω
γήμασθ', ᾧ κ' ἐθέλῃ, ποτὶ δ' ἄσπετα δῶρα δίδωμι·
αἰδέομαι δ' ἀέκουσαν ἀπὸ μεγάροιο δίεσθαι

322—325. σ', 413—16.

326—337. *μῦθον ἤπιον*, *verbum mite*, conditionem aequam. Il. κ', 288.: αὐτὰρ ὁ μειλίχιον μῦθον φέρε Καδμείοισι. — Ὀδ. *πολύφρονα*. ξ', 424 etc. — *νέμεσις*, μέμψις. α', 350. — *ἰσχέμεναι*, ἔχειν, κατέχειν, *detinere*. Il. ι', 255 etc. os hominis! detinere procos apud se ait Penelopen, cui invitae assident quotidie, conviviis domum regiam exhaurientes. — *ὑπότροπος*, *redux*. χ', 35, Il. ζ', 367, 501. — *νόστιμος*. δ', 806, α', 9 etc. — *παρεζ. κατάλεξον*. δ', 738. — *νέμηαι*, *fruaris*. 164, β', 167 etc. — *ἔσθων*, *κ. πίνων*. ε', 197 etc. — *κομίζῃ* A. 2, Ald. 3. et nonnulli apud Cl., W, B. A. 3. κομίζοι. vulgo: ἵκηται. E: ὅρα τὸ *ἔσθων καὶ πίνων*, ἐν οἷς ὁ τρυφητὴς Ἀγέλαος τὸ ἀνθρώπινον περιγράφει καλόν. σημείωσαι δὲ καὶ τὸ ἐν τοῖς μνηστῆρσι πολύβουλον, ὃ καὶ στάσεως ἦν εἰκὸς γενέσθαι ἂν αὐτοῖς αἴτιον, εἴπερ ἐτεθνήκει Ὀδ. Ἀγέλαος μὲν γὰρ ἐθέλει τὸν Τηλέμαχον πάντα πατρῷα νέμεσθαι μετὰ τὸν τῆς μητρὸς γάμον· ἑτέρωθι δέ τινι πρὸ τούτων (β', 335) ἤρεσκε, τὰ μὲν ἄλλα πάντα δάσασθαι, τῇ δὲ Πηνελόπῃ, καὶ ὃς ἂν ὀπυίοι, ἀφεῖναι τὸ δῶμα, τὸ μὴ ἐκείνης ὄν. Ὀδ. γὰρ τῷ υἱῷ ἐκτήσατο αὐτὸ, καθὰ πρὸ ὀλίγων (265) εἴρηται etc.

340—344. *ἔφθιται*. Il. σ', 99.: — ὁ μὲν μάλα τηλόθι πάτρης Ἔφθιτ', ἐμεῖο δὲ δῆσεν. — Am. B.: *οὔτι διατρίβω* (β', 204 etc.). οὐχ ὑπερτίθεμαι. Sch.: *διατρίβω*. κωλύω. — *δίδωμι* A. 2. et 3., MS. Thomae Bentleji apud Cl., Ald. 3., Barn., W, B. ceteri libri: δίδωσι, ut E. τουτέστιν, inquit, ὃς αὐτῇ πολλὰ δίδωσιν· ἀπὸ κοινοῦ γὰρ ληπτέον τὸ ὅς. fortius est *δίδωμι*, quamvis haud ex more Telemachus vel dona se praebiturum dicat ei, qui ducat matrem; quae res male habuit Clarkeum, conferentem 335, λ', 281, π', 77, 392, φ', 161 et 62., quibus in locis procorum dona memorantur. sed non fugit Barnesium, τὸ *δίδωμι* majorem ostendere Telemachi alacritatem. — *αἰδέομαι* — *τελέσειεν*. v. ρ', 398. et 99.

μύθῳ ἀναγκαίῳ. μὴ τοῦτο θεὸς τελέσειεν."

effuse videre procos facit Minerva mentibus turbatis, mortemque praesagientibus.

Ὣς φάτο Τηλέμαχος· μνηστῆρσι δὲ Παλλὰς Ἀθήνη
ἄσβεστον γέλω ὦρσε, παρέπλαγξεν δὲ νόημα.

346—357. *παρέπλαγξεν δὲ νόημα*, *et mentem* eorum *alienavit*. v. ι', 81 etc. — E: ἰστέον, ὅτι τὸ γναθμοῖς γελᾶν ἀλλοτρίοις καὶ νῦν ἐπιπολάζει λέγεσθαι παροιμιακῶς. τοὺς γάρ τοι, ἐφ' οἷς μὴ ἄξιον, γελῶντας ἐκ θυμοῦ ἢ ἀμηχανίας τινὸς, ξέναις φαμὲν γελᾶν παρειαῖς, ὥσπερ καὶ τοὺς πρὸς βίαν ἐσθίοντας ἀλλοτρίοις ἐσθίειν γναθμοῖς, ὡς τῶν οἰκείων δῆθεν ὀκνούντων. καὶ ἔστιν ὁ τοιοῦτος γέλως ἕτερός τις παρὰ τὸν σαρδόνιον (302). καὶ ἄλλως δὲ φράσαι, τὸ μὴ κατὰ προαίρεσιν, μηδὲ ἡδέως, ἐνεργοῦν μόριον οὐδὲ μέλος οἰκεῖον εἶναι λογιζόμεθα· ὃ καὶ οἱ μνηστῆρες πάσχουσιν. ἔτι δὲ καὶ ἄλλως, σύμβολόν ἐστι τὸ ῥηθὲν τοῦ ἐξεστηκέναι τοὺς μνηστῆρας ἑαυτῶν, ὡς οἷον μηδὲ ἐν σώμασιν εἶναι· — ὄσσοντο γὰρ ἤδη θάνατον αὐτοῖς αἱ ψυχαὶ, καὶ ἁρμονίας φυσικῆς παράλυσιν, καὶ μελῶν [καὶ μερῶν] ἀποξένωσιν etc. notavit Barn., Euripidem hujusmodi risum vocare vesanum, γέλωτα παραπεπληγμένον, Herc. fur. 844. Cl. adhiberi jussit Gatakeri annotationes ad Antoninum 1, 15. B.: „Opportune contulit Riccius inde expressa Horatii verba (Sat. 2, 3, 72.): quum rapies in jus *malis ridentem alienis*. Dacerius et Daceria intelligunt cachinnos effusissimos; quod vix placet. similis nostra locutio *un rire emprunté*, *un rire*, *une joie d' emprunt*, de risu aut gaudio coacto, non genuino. latinis et graecis verbis non alius est sensus; nempe, ridere non ex animo, ridere ore quasi non suo." D. Montbel.: „*Ils riaient d'un rire étrange.* Mot à mot, „„ils riaient avec des mâchoires étrangères."" Expression admirable pour exprimer cette joie qui tenait du vertige, et dont Minerve ellemême avait frappé tous les prétendants. C'est ce que mad. Dacier traduit par cette phrase vulgaire, *ils riaient à gorge déployée.* Je ne crois pas qu'il existe même dans l'Iliade une situation plus terrible et qui laisse des impressions plus pathétiques: jamais l'effroi des pressentiments ne fut exprimé d'une manière plus sublime. Ces hommes qui dévorent des viandes encore toutes sanglantes, qui rient à grand bruit, et dont pourtant les yeux se remplissent de larmes; ce prophète qui déja les plaint et déplore leurs maux; les ténèbres dont il les voit enveloppés; le sourd mugissement qui frappe ses oreilles; ces ruisseaux de sang; ces ombres remplissant les portiques et les cours, et que découvre son oeil prophétique; le soleil qui s'obscurcit dans les cieux; la nuit qui se précipite de toutes parts: ce sont là de ces beautés qu'on ne trouve que dans Homère, ou dans la Bible; et le repas de Baltazar (Daniel, chap. 5, v. 1. et suiv.) est le seul morceau de l'antiquité qui puisse inspirer une émotion plus forte, une terreur plus profonde." Daniel l. c. secundum interpretationem Imman. Tremellii et Francisci Junii: 1. Beltschatzar rex (Nebucadnetzari nepos), facturus convivium magnum proceribus suis mille coram mille his vinum bibiturus erat. 2. Belt. edixit ad gustandum vinum afferri vasa aurea, et argentea, quae exportaverat Nebucad-netzar avus suus ex templo, quod *fuerat* Jeruschalaimis: ut biberent in eis rex ipse, proceresque ejus, uxores ejus, et concubinae ejus. 3. Tunc allatis vasis aureis, quae exportaverant e templo domûs dei, quae *fuerat* Jeruschalaimis, bibebant in eis rex ipse, proceresque ejus, uxores ejus, et concubinae ejus: 4. Bibentes vinum, etiam laudabant deos aureos, et argenteos, aereos, ferreos, ligneos, et lapideos. 5. Eadem hora egressi digiti manûs humanae scripserunt, e regione lychnuchi, in tectorio parietis palatii regii, rege vidente partem manûs, quae scribebat. 6. Tunc toto regis splendore (h. e. vultu, qui radiabat gaudio) immutato, et cogitationibus ejus conturbantibus ipsum, cum cingula lumborum ejus dissoluta essent, genuaque ejus colliderent alterum alteri, 7. Inclamavit rex strenue, ut adducerentur astrologi, Chaldaei, et haruspices; et proloquens rex dixit sapientibus Babylonis: Quisquis legerit scripturam hanc, et interpretationem ejus indicaverit mihi, purpura induetur cum torque aureo ad collum ipsius, ac tertius in hoc regno dominabi-

οἱ δ' ἤδη γναθμοῖσι γελοίων ἀλλοτρίοισιν,
αἱμοφόρυκτα δὲ δὴ κρέα ἤσθιον, ὄσσε δ' ἄρα σφέων
δακρυόφιν πίμπλαντο· γόον δ' ὠΐετο θυμός.

visio Theoclymeni vatis.

τοῖσι δὲ καὶ μετέειπε Θεοκλύμενος θεοειδής·
„Ἆ δειλοί, τί κακὸν τόδε πάσχετε; νυκτὶ μὲν ὑμέων
εἰλύαται κεφαλαί τε, πρόσωπά τε, νέρθε τε γοῦνα·
οἰμωγὴ δὲ δέδηε, δεδάκρυνται δὲ παρειαί·
αἵματι δ' ἐῤῥάδαται τοῖχοι, καλαί τε μεσόδμαι·
εἰδώλων δὲ πλέον πρόθυρον, πλείη δὲ καὶ αὐλὴ,
ἱεμένων Ἔρεβόσδε ὑπὸ ζόφον· ἠέλιος δὲ
οὐρανοῦ ἐξαπόλωλε, κακὴ δ' ἐπιδέδρομεν ἀχλύς."

derisum illum abduci in concionem jubet Eurymachus.

Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν.
τοῖσιν δ' Εὐρύμαχος, Πολύβου πάϊς, ἦρχ' ἀγορεύειν·
„Ἀφραίνει ξεῖνος νέον ἄλλοθεν εἰληλουθώς.
ἀλλά μιν αἶψα, νέοι, δόμου ἐκπέμψασθε θύραζε,

tur. — 30. Eadem nocte interfectus est Beltschatzar, rex Chaldaeorum. — τὸ γελοίων πλεονασμὸν ἔχει τοῦ ἰῶτα, ὡς ἀπὸ τοῦ γελόων, ἤγουν ἐγέλων, γενόμενον. ἔστι γὰρ γελόω ῥῆμα, ὡς ὀρόω, βοόω, κ. τὰ τοιαῦτα. διὸ καὶ γελόωντες ἐρεῖ ἐν τοῖς ἑξῆς (374), καὶ αὐτὰρ ἐγὼ γελόω κ. τέρπομαι (φ', 105), καὶ προϊὼν δὲ αὖθις γελοίωντες (ἂν) εἴποι κατὰ ὅμοιον πλεονασμὸν (390), οἷα μὴ ἔχων εἰπεῖν γελώωντες μετὰ ἐκτάσεως τῆς λο συλλαβῆς. τὰ γὰρ διὰ τοῦ όω ὑπὲρ δύο συλλαβὰς βαρύτονα μακροῦ (fort. μακράν.) θέλει ἔχειν τὴν προπαραλήγουσαν, ὡς τὸ μαιμώω, ἡβώω· τὸ δὲ γελόω βραχείᾳ συλλαβῇ προπαραλήγεται, ὅθεν διὰ προσθήκης τοῦ ἰῶτα ἡ τῆς παραληγούσης ἔκτασις γίνεται, ὁμοίως τῷ ἠγνόησαν ἠγνοίησαν (ε', 78 etc.), κ. τῷ ἀλοῶ ἀλοιῶ, οἷον ὀστέον ἄχρις ἀπηλοίησε (Il. δ', 522), κ. τοῖς τοιούτοις. — Am. B. emend.: αἱμ. δὲ δὴ κρέα. ἡμαγμένα. (cruenta ac semicruda, qualia vorant bestiae.) τοῦτο δὲ σημεῖον, ὅτι ἤμελλε τὸ σῶμα αὐτῶν αἵματι μολύνεσθαι. δέδηε (Il. υ', 18 etc.). ἀπὸ τοῦ δαίω τὸ καίω γίνεται τὸ δέδηε, ἀντὶ τοῦ φαίνεται. οὐ τοῖς μνηστῆρσι δὲ, ἀλλὰ τῷ Θεοκλυμένῳ ταῦτα ἐφαίνετο, τῷ μάντει, τῷ παρὰ τοῦ Τηλεμάχου ἀχθέντι ἀπὸ τῆς Πύλου. οὐ γὰρ ἡλίου ἔκλειψις ἐγένετο, ἀλλὰ Θεοκλ. οὕτως ὁρᾷ ὑπό τινος ἐνθουσιασμοῦ, μαντευόμενος, ὅτι ἐκλείψει αὐτοῖς ὁ ἥλιος. ἀμέλει οἱ μνηστῆρες, ὡς οὐδὲν τοιοῦτον θεωροῦντες, καὶ ἐκβληθῆναι αὐτὸν ἀξιοῦσιν, ὡς παραπαίοντα. perperam liber: — μολύνεσθαι. οὐ τοῖς — Πύλου. δέδηε. — φαίνεται. εἰδώλων δὲ πλ. — ἀπιουσῶν. ἠέλιος — ἐξαπ. οὐ γὰρ ἡλίου etc. collegimus *disjecti membra Grammatici*. — ὄσσε — θυμός. cf. κ', 247. et 48. — ἆ δειλοί. κ', 431. — εἰλύαται, εἴλυνται, *circumfusae sunt*. recte Am. B. haec ita videri ait Theoclymeno vaticinanti. E ad 349.: ἐδήλου δὲ ταῦτα, inquit, τῷ μαντικοῖς ὄμμασι βλέποντι χύσεις αἱμάτων, κ. γόους, κ. δάκρυα, ὧν πειράσονται οἱ κακοί· ὥς που καὶ ἡ παρὰ Λυκόφρονι Κασάνδρα οἰμωγὴν αὐτῇ λέγει ἰνδάλλεσθαι μαντευομένη τὰ ὕστερον τῶν Τρώων κακά. — δεδάκρυνται δὲ π. Il. χ', 491. cf. 204. hujus libri. — ἐῤῥάδαται, ἐῤῥασμένοι εἰσί. v. Il. μ', 431. — μεσόδμαι. τ', 37. — Am. B.: εἰδώλων δὲ πλέον. (τουτέστι πλῆρες. E.) ὡς τῶν ψυχῶν αὐτῶν ἐπὶ τὸν ᾅδην ἀπιουσῶν. ψυχὰς, εἴδωλα καμόντων dixit ω', 14. et Il. ψ', 72. cf. Odyss. λ', 475. — ὑπὸ ζόφον. γ', 335. — ἐξαπόλωλε. Il. σ', 290. — κακὴ δ' ἐπ. ἀχλύς. contra ζ', 45.: λευκὴ δ' ἐπιδέδρομεν αἴγλη.

360—374. ἀφραίνει, *insanit*. Il. β', 258, η', 109. „lexicon Bekk. p. 472.: ἀφραίνει. παρανομεῖ, μωραίνει, πα-

εἰς ἀγορὴν ἔρχεσθαι, ἐπεὶ τάδε νυκτὶ ἐΐσκει.“

Theoclymeni responsum male ominatum.

Τὸν δ' αὖτε προσέειπε Θεοκλύμενος θεοειδής·
„Εὐρύμαχ', οὔτι σ' ἄνωγα ἐμοὶ πομπῆας ὀπάζειν·
εἰσί μοι ὀφθαλμοί τε, καὶ οὔατα, καὶ πόδες ἄμφω,
καὶ νόος ἐν στήθεσσι τετυγμένος οὐδὲν ἀεικής.
τοῖς ἔξειμι θύραζε, ἐπεὶ νοέω κακὸν ὔμμιν
ἐρχόμενον, τό κεν οὔτις ὑπεκφύγοι, οὐδ' ἀλέαιτο,
μνηστήρων, οἳ δῶμα κατ' ἀντιθέου Ὀδυσῆος
ἀνέρας ὑβρίζοντες ἀτάσθαλα μηχανάασθε.“

pergunt proci hospites deridendo irritare Telemachum.

Ὣς εἰπὼν, ἐξῆλθε δόμων εὐναιετάοντων,
ἵκετο δ' ἐς Πείραιον, ὅ μιν πρόφρων ὑπέδεκτο.
μνηστῆρες δ' ἄρα πάντες, ἐς ἀλλήλους ὁρόωντες,
Τηλέμαχον ἐρέθιζον, ἐπὶ ξείνοις γελόωντες.
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
* *„Τηλέμαχ', οὔτις σεῖο κακοξεινώτερος ἄλλος,*
οἷον μέν τινα τοῦτον ἔχεις ἐπίμαστον ἀλήτην,
σίτου καὶ οἴνου κεχρημένον, οὐδέ τι ἔργων
ἔμπαιον, οὐδὲ βίης, ἀλλ' αὔτως ἄχθος ἀρούρης·

ϱαφϱονεῖ.“ B. — E: *τὸ οὐδὲν ἀεικὴς πρὸς τὸ τετυγμένος κολλᾶται, ἵνα εἴη νοῦς οὐ τετυγμένος ἀεικής.* mentem quoque suam haud male comparatam esse ait. *ἀεικὴς*, *indecorus*, imminutus, vel interprete Clarkeo *incongruus* membris sanis. cf. *χ'*, 308, Il. *κ'*, 483 etc. — *ἀνέρας* — *μηχ.* *γ'*, 207. cf. 170 etc. — *δόμων εὐν.* *ϱ'*, 28 etc. — *πρόφρων ὑπ.* *ξ'*, 52, 54 etc. — *ἐς ἀλλ. ὁρόωντες.* gestus irridentium. v. *σ'*, 320. — *ἐρέθιζον*, *irritabant*, germ. *sie neckten ihn.* *ι'*, 493 etc. male Ald. 3.: *ἐπὶ ξείνοιο γελόντες*, cum de duobus hospitibus agatur.

375. *β'*, 324 etc.

376—379. *κακοξεινώτερος.* ponendum videri *κακοξεινέστερος*, significavi ann. ad *β'*, 350., quo remitto lectores, nec jam probo illa, quae dixi de Homero interdum *σολοικίζοντι* ad Il. *ϱ'*, 446. codd. Vindobonenses: *κακοξεινότερος*, versu pessumdato. frustra quoque, Barnesio auscultans, Cl. excusat originem *τοῦ κακόξεινος* a *κακόξενος*, cujus cum legitimus sit comparativus *κακοξενώτερος*, propterea Iones etiam *κακοξεινώτερος* dixisse autumat, ut haec et similia, *τεθνειῶτος* pro *τεθνεῶτος*, *χαλκείη* pro *χαλκέη*. at horum verborum non eadem est ratio, nec Iones cum proprias ejusmodi formas reperiunt, diversam a communi Graecorum usu analogiam sequuntur. — Am. B.: *ἐπίμαστον ἀλ. ἐνδεᾶ ἐπαίτην, παρὰ τὸ μαστεύειν τροφήν.* — *κεχρημένον*, indigum, *avidum.* v. *α'*, 13. — *ἔργων*, *operum*, inprimis rusticorum: v. *ω'*, 388 etc. quibus operibus opponit procus *βίην*, *vim*, h. e. bellum, quasi dicens, nec domi nec foris utilem esse hospitem. E: *ἔμπαιος δὲ ὁ ἔμπειρος κ. ἐντριβὴς, παρὰ τὸ παίω, ὁ πολλοῖς δηλαδὴ προσπεπαικὼς πράγμασι. καὶ νῦν μὲν ἐν ἀρχῇ στίχου ἡ λέξις κειμένη δόξοι ἂν συστέλλειν τὴν παραλήγουσαν κατὰ λόγον δακτύλου ποδός·* (hinc nonnulli scripserunt *ἔμπεον.* Am. B.: *ἔμπεον. ἀπὸ τοῦ παίω τὸ τύπτω. διὰ τὸ μέτρον γράφεται ψιλὸν τὸ πέ.* item Ap.: *ἔμπεος. ἔμπειρος· κακῶν ἔμπεος ἀλήτης* (*φ'*, 400), cum isto quidem loco metrum postularet *ἔμπαιος.* corripuit Hom. diphthongum, ut in *οἶος.* v. ann. ad Il. *ψ'*, 792.) *ἐν δὲ τῇ ἑξῆς ῥαψῳδίᾳ ἐν τῷ κακῶν ἔμπαιος ἀλήτης ἔκδηλος ἡ διὰ διφθόγγου γραφή· διὸ καὶ ἐνταῦθα οὕτω γραπτέον κ. μετρητέον τὴν λέξιν κατὰ πόδα σπονδεῖον ἐκ συνιζήσεως.* (*αὔτως*, *sic*, sine ullo fructu eorum, a quibus alitur) *τὸ δὲ ἄχθος ἀρούρης παροιμιῶδες μέν*

ἄλλος δ' αὖτέ τις οὗτος ἀνέστη μαντεύεσθαι
ἀλλ' εἴ μοί τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη,
τοὺς ξείνους ἐν νηΐ πολυκληΐδι βαλόντες
ἐς Σικελοὺς πέμψωμεν, ὅθεν κέ τοι ἄξιον ἄλφοι."

ἔστιν, ὑποδηλοῖ δὲ τὸν βουγάϊον. Cl.: „ita de se ipso Achilles Il. σ', 104.: *ἀλλ' ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης.* similiter Nicander *Θηριακῶν* versu 9.: *ἑρπηστάς τ' ἔχιάς τε, καὶ ἄχθεα μυρία γαίης*, et Plato Theaeteto p. 176.: *ὅτι οὐ λῆροί εἰσι, γῆς ἄλως ἄχθη, ἀλλ' ἄνδρες"* etc.

381. formula dicendi persuadere cupientium. v. Il. η', 28. similiter ibidem 48.: *ἦ ῥά νύ μοί τι πίθοιο;* cf. Il. δ', 93, ξ', 190.

382, 3. *πολυκληῗδι.* ψ', 324, Il. β', 74 etc. — Sch.: *ἐς Σικελούς. ἐγινώσκετο ἄρα τὰ κατὰ τοὺς Σικελούς· οὐκ εἰκὸς οὖν, ἐκεῖ τὴν πλάνην* (errores Ulyssis in reditu ex bello Trojano) *γεγονέναι. διαφέρουσι δὲ Σικελιῶται Σικελῶν· οἱ μὲν γὰρ Ἕλληνες, οἱ δὲ βάρβαροι.* haec velut commentatus E: *ἐν δὲ τῷ ἐς Σικ. πέμψωμεν*, inquit, *ὅρα ὡς ἐγίνωσκον οἱ παλαιοὶ* (*veteres* nunc dicit Homerum et ejus aequales, secus atque alias solet, cum Grammaticos Alexandrinos et se antiquiores eo nomine appellat *κατ' ἐξοχήν.*) *τοὺς Σικελούς. διὸ, εἴπερ ἐκεῖ πλανᾶσθαι τὸν Ὀδυσσέα ἱστορικῶς ἐδόξαζε καὶ* (etiam ipse, ut alii, a quibus E dissentit) *ὁ ποιητὴς, εἶχεν ἂν ἐπισημήνασθαι, καὶ οὐκ ἂν ἐσίγησε· νῦν δὲ, ὡς καὶ προεῤῥέθη* (v. inprimis ann. ad ε', 34. et 35.), *ἑκὼν τερατευόμενος ποιητικώτερον, ἐξετόπισε τὴν πλάνην. καὶ ἐν τοῖς ἑξῆς δὲ* (ω', 211, 366, 389. Sicaniam nominat ib. 307.) *Σικελὴ γραῦς ἱστορεῖται, γυνὴ τοῦ Δολίου* etc. assentiri non possum Montbelio, qui haec addubitat, Siculosque hinc expellere conatur. sic autem vir doctissimus: „*Envoyons-les aux Siciliens.* Rochefort (Homeri interpres francogallicus), qui soutient qu' Ulysse n'a point voyagé dans les mers de Sicile, et qui repousse l'opinion de ceux qui prétendent que le mot *Θρινακία* dans Homère doit s'entendre de la Sicile (Schol. ed. a Buttm. in Odyss. λ', 106), s'appuie de ce passage pour prouver qu' Hom. connaissait le nom que porte aujourd'hui la Sicile, et que par conséquent il ne devait pas la nommer *Thrinacie.* Je réponds à cela que ce pays pouvait avoir les 2 noms: Théocrite (Id. 1, 125, et 28, 18), Virgile (Eclog. 4, 1, Aen. 3, 582 et 410), Ovide (Metam. 5, 361 et 476), les lui donnent indifféremment. Ce pays ne serait pas le seul qui eût porté 2 noms. La ville de Priam se nomme tantôt *Troie*, tantôt *Ilion;* mais *Ilion* n'a point donné le nom de peuple, et de *Troie* seule on a fait les *Troyens.* (certe *Ἰλιεῖς*, *Ilienses*, non Trojani vocantur generatim, sed incolae Ilii pagi, quem *πόλιν* appellari jussit Alexander M. v. Cellar. 2. p. 52.) — J'ai une autre remarque à faire: c'est qu'il me paraît fort extraordinaire que les prétendants, pour se défaire d'un mendiant et d'un devin qu'ils méprisent, songent à les envoyer en Sicile, c'est-à-dire à leur faire entreprendre un voyage de près de 100 lieues. On conçoit que dans une occasion pareille, Antinoüs menace un mendiant de l'envoyer chez le roi Echétus, dont les états étaient sur le continent et par conséquent peu éloignés d'Ithaque (Odyss. σ', 83 seqq.). Mais en Sicile! Quelles relations pouvaient exister entre ces 2 pays? Quelle rançon assez forte eût été capable de dédommager les prétendants d'une navigation si longue et si périlleuse pour cette époque? Certainement il y a ici erreur de nom ou d'explication; mais je ne puis en découvrir la source." at navigaverant Graeci Trojam, navigabant in Cretam, in Aegyptum: quidni etiam in Siciliam profecti fuerint nonnunquam, mercaturam facientes, vel rapinarum causa, velut Taphii, de quibus ad α', 105.? ibi haud dubie Ithacenses emerant, vel vi inde abduxerant, Siculam illam anum, Dolii uxorem, cujus fit mentio libro 24., locis supra citatis; eoque nunc proci ejicere volunt invisos hospites, quo quam longissime absint ab ipsis, venditique Siculis cogitare de reditu non possint. quod attinet ad locum illum de Echeto rege, non simplex tantum profectio ibi agitur, aut venditio, sed supplicium dirum, quo affici cupit Irum impotens irae Antinous, pessimus procorum. — *ὅθεν — ἄλφοι.* ο', 452 etc. minus bene MS. Thomae Bentleji: *ὅ. κέ τις ἄ. ἄ. ἄξιον, ἄξιον ὦνον*, ut ait ο', 387. et alias. Am. B.: *ἄξιον ἄλφοι. ἀξίαν εὕροι τιμὴν ἡ τῶν ξένων πρᾶσις.*

qui nihil respondet insolentibus, sed patris nutum observat, matre ex propinquo auscultante.

Ὣς ἔφασαν μνηστῆρες· ὁ δ' οὐκ ἐμπάζετο μύθων,
ἀλλ' ἀκέων πατέρα προσεδέρκετο, δέγμενος αἰεί,
ὁππότε δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσει.
Ἡ δὲ κατ' ἄντησιν θεμένη περικαλλέα δίφρον
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια,
ἀνδρῶν ἐν μεγάροισιν ἑκάστου μῦθον ἄκουεν.
δεῖπνον μὲν γὰρ τοίγε γελοίωντες τετύκοντο
ἡδύ τε, καὶ μενοεικὲς, ἐπεὶ μάλα πόλλ' ἱέρευσαν·
δόρπου δ' οὐκ ἄν πως ἀχαρίστερον ἄλλο γένοιτο,
οἷον δὴ τάχ' ἔμελλε θεὰ καὶ καρτερὸς ἀνὴρ
θησέμεναι· πρότεροι γὰρ ἀεικέα μηχανόωντο.

384. v. 275.

385—394. *δέγμενος*, *exspectans*. Il. β', 794 etc. — *ὁππότε — ἐφήσει*. cf. 29, ν', 376. — *κατ' ἄντησιν*, *exadversum*, e regione. ita Sch. ed. antiqua et Hesych., qui tamen et conjuncte habet *καταντήσειν* pro *κατάντησιν*. corrupte etiam Ap.: *κατάντιστην. κατ-αντιον*. vulgo: *κατάντηστιν*, de quo E: *τὸ δὲ κατάντηστιν δηλοῖ μὲν τὸ ἀντικρὺ, φασὶ, τοῦ ἀνδρεῶνος, πλεονασμὸν δὲ τοῦ σίγμα ἔχει, ὁμοίως τῷ προμνηστῖνοι* (λ', 232), *διὰ τὸ καλλιφωνότερον*. at alia est ratio adjectivi *προμνηστῖνος*, nec quam inesse *τῷ κατάντησιν* putet E euphoniam intelligo, imo forte geminasse puto librarios oscitantes caninam litteram, ut in verbis *Παρνησσὸς*, *Κασσάνδρα*, *κνίσση*: quo facto alterum σ in τ simile abierit. certe non *ἄντηστις* dicitur, non *ἄντησις*. Sch.: *κατ' ἄντησιν. ἀντικρὺς τοῦ ἀνδρῶνος, ἐν τῇ γυναικωνίτιδι*. — *γελοίωντες*. v. 347. — *τετύκοντο*. θ', 61, Il. α', 467 etc. — *μενοεικές*. ε', 166 etc. — *δόρπου*, *coenae*. v. Il. λ', 730. — *καρτερὸς ἀνὴρ* audit Ulysses, ut δ', 242. et 271. — Am. B.: *πρότεροι γάρ. οἱ μνηστῆρες δηλαδή*. E: — *πρότ. γὰρ, φησὶν, ἀ. μηχ.· οὗ ἕνεκεν δηλαδὴ καὶ ὤλοντο, οἷα κακῶν, προκατάρξαντες*. cf., si tanti est, π', 72 etc.

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΙΔΙΑ Φ.

ΥΠΟΘΕΣΙΣ
ΤΗΣ Φ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Πηνελόπη τῷ τείνοντι τὸ τόξον ὁμολογεῖ τὸν αὑτῆς γάμον· Ὀδυσσεὺς δὲ, Εὐμαίῳ καὶ Φιλοιτίῳ ἐντειλάμενος περὶ τῆς τῶν θυρῶν ἀσφαλείας, αὐτὸς ἀφίησι τὸ βέλος διὰ τῶν πελέκεων, ἄλλου τεῖναι τὸ τόξον μὴ δυνηθέντος.

ΟΔΥΣΣΕΙΑΣ Φ.

ΤΟΞΟΥ ΘΕΣΙΣ.

Promit Penelope Ulyssis arcum, quo ab Iphito donatus erat.

Τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη
κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ,
τόξον μνηστήρεσσι θέμεν, πολιόν τε σίδηρον,
ἐν μεγάροις Ὀδυσῆος, ἀέθλια καὶ φόνου ἀρχήν.
κλίμακα δ' ὑψηλὴν προσεβήσατο οἷο δόμοιο,
εἵλετο δὲ κληῗδ' εὐκαμπέα χειρὶ παχείῃ
καλὴν, χρυσείην, κώπη δ' ἐλέφαντος ἐπῆεν,

Annotationes. Vers. 1. et 2. σ', 157, 58. cf. ε', 427.

3—9. *θέμεν*, *ponere*, proponere. E: *ἐκ τοῦ τόξον θέμεν Τόξου θέσις ἡ παροῦσα ῥαψῳδία ἐπιγράφεται.* — *πολιόν τε σίδηρον.* Il. ι', 366, ψ', 261. secures ferreas dicit. — *ἀέθλια*, *ἀέθλους.* cf. θ', 108, inferius 91. — Palat. et Sch.: *κλίμακα δ' ὑψ. τὴν ἐκ τῆς γυναικωνίτιδος εἰς τὴν ἀποθήκην* (horreum, cellam, germ. *Speicher*), *ἵνα τὴν κλεῖν λάβῃ.* cf. α', 330. — *εὐκαμπέα*, *aduncam*, quemadmodum *δρέπανον εὐκαμπὲς* dixit σ', 367. v. ann. ad Il. μ', 456, Schn. v. *κλεὶς*, §. 2. — *χειρὶ παχείῃ*, *manu crassa*, h. e. carnosa, quod est in parte pulcritudinis. Minervae quoque *χεὶρ παχεία* dicitur Il. φ', 403. et 424. cf. ann. ad Il. κ', 454. nec tamen temere est, quod ait E: *τὸ χειρὶ παχ. ἁπλῶς οὕτω κεῖται παραῤῥιφὲν ἐπὶ τῇ Πηνελόπῃ· ἀνδρὶ γὰρ μᾶλλον γενναίῳ ἐπιπρέπει ἡ παχεῖα χεὶρ* (v. ζ', 128, Il. γ', 376 etc.), *γυναικὶ δὲ τὸ λευκώλενον* (ζ', 101, Il. α', 55 etc.), *καὶ ῥοδόπηχυ* (hymn. in Solem 6.: *Ἠῶ τε ῥοδόπηχυν*, quam hic noster *ῥοδοδάκτυλον* appellare solet), *καὶ εἴ τι τοιοῦτον. διὸ καὶ κατὰ ἀκυρολεξίαν οἱ παλαιοὶ ἐνταῦθα κεῖσθαι τὴν λέξιν φασί.* sed inepta sunt, quae hisce addidit: *εἰ δὲ δαΐφρων* (imo *ἐχέφρων* et *περίφρων* α', 329, δ', 111 etc.) *ἡ Πην. ἐῤῥέθη που, ὡς ἀνδρεία γυνὴ, ἁρμόττει ἂν αὐτῇ διατοῦτο καὶ ἡ παχ. χεὶρ, διὰ τὸ τοῖς ἀνδρείοις τοιαῦτα ὡς ἐπιπολὺ τὰ ἀκρωτήρια εἶναι.* — *χρυσείην.* sic A. 2. et 3., quam scripturam vulgatae *χαλκείην* merito E praefert: *χρυσῷ γὰρ οἰκεῖον*, inquit, *τὸ καλόν.* propterea et aurum argentumque conjungi solet cum ebore, non item aes vel ferrum. ψ', 199.: — *λέχος ἔξεον*, — *Δαιδάλλων χρυσῷ τε, καὶ ἀργύρῳ, ἠδ' ἐλέφαντι.* θ', 403.: *δώσω οἱ τόδ' ἄορ παγχάλκεον, ᾧ ἔπι κώπη Ἀργυρέη, κολεὸν δὲ νεοπρίστου ἐλέφαντος.* τ', 55.: — *κλισίην*, — *Δινωτὴν ἐλέφαντι καὶ ἀργύρῳ* etc. *ἐλέφαντος.* genit. materiae.

βῆ δ' ἴμεναι θάλαμόνδε σὺν ἀμφιπόλοισι γυναιξὶν
ἔσχατον, ἔνθα δέ οἱ κειμήλια κεῖτο ἄνακτος,
χαλκός τε, χρυσός τε, πολύκμητός τε σίδηρος.
ἔνθα δὲ τόξον κεῖτο παλίντονον, ἠδὲ φαρέτρη
ἰοδόκος, πολλοὶ δ' ἔνεσαν στονόεντες ὀϊστοί·
δῶρα, τά οἱ ξεῖνος Λακεδαίμονι δῶκε τυχήσας,
Ἴφιτος Εὐρυτίδης, ἐπιείκελος ἀθανάτοισι.
τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν,

v. ann. ad ε', 72. E: *κώπην δὲ ἐλεφαντίνην* τὴν λαβὴν λέγει, τοιαύτην οὖσαν διὰ τὸ τιμιώτερον· αἱ γὰρ λοιπαὶ ξύλινοι, ὡς εἰκός. οὔκουν ἐπὶ ξίφους μόνου (malim μόνον) ἡ κώπη, ἀλλ' ἰδοὺ καὶ ἐπὶ τῆς δρεπανοειδοῦς ταύτης κληῗδος etc. Sch.: *κώπη.* ἡ λαβὴ τοῦ ξίφους, ἡ κόπτειν δυναμένη, παρὰ τὸ κοπὴ, ἀναβιβασμῷ κ. τροπῇ κώπη. καὶ ἡ τῶν ἐρετῶν κώπη λέγεται παρὰ τὸ κόπτειν τὸ ὕδωρ. — *θάλαμον* E recte interpretatur τὸ ταμιεῖον. v. β', 337 etc. — Palat. et Sch.: *ἔσχατον* νῦν τὸ ἐνδότατον. — proprie dixit *κειμήλια κεῖτο*, siquidem κειμήλιον a verbo κεῖσθαι appellatum est. Ap. κειμήλια. ἀπόθετα χρήματα. v. α', 312, Il. ξ', 47 etc.

10. Il. ζ', 48, κ', 379, λ', 133. cf. Odyss. ξ', 326.

11—16. bene A. 2. et 3. et nonnulli apud Cl., item W et B: *τόξον κεῖτο*, quo pacto vox gravissima τόξον regionem illam versus totam explet, cum in vulgatis libris, in quibus legitur τόξον ἔκειτο, metri velut flumine abripiatur atque occultetur. sic inferius 188. poëta dixit οἱ δ' ἐξ οἴκου βῆσαν, et Il. χ', 158. πρόσθε μὲν ἐσθλὸς φεῦγε, quod habet Parisiensis codex, non ἔφευγε, ut vulgo; passimque hoc artificio pondus addit vocibus illis, in quibus praecipua quaedam vis sita est sententiae. ceterum cf. inferius 59. et Il. ο', 443. — Am. 2: *Λακεδαίμονι.* νῦν ἐπὶ τῇ Λακωνικῇ χώρᾳ, ἧς μέρος κατὰ τοὺς ἡρωϊκοὺς χρόνους ἡ Μεσσήνη. διχασθῆναι δέ φασι τὴν Λακωνικὴν τῆς Μεσσηνίας ἐπὶ τῶν Ἡρακλειδῶν, οἱ μετὰ τὴν τοῦ Ἰλίου ἅλωσιν κατέσχον τὴν Πελοπόννησον. similiter Sch. et E. nomen Lacedaemonis et regionem et urbem significare hoc loco probat Geographus 8. v. ann. ad δ', 1. et cf. 15. „Parmi les raisons que donne Knight (Proleg. in Hom. §. 43.) pour prouver que l'Iliade est plus ancienne que l'Odyssée, c'est que dans l'Iliade il n'est jamais parlé de la *Messénie* ni des *Messéniens*, et qu'il en est ici question aux vers 15 et 18. Pausanias (4, 1.) observe aussi que dans le catalogue des vaisseaux, il n'est pas parlé de la ville de *Messène*, quoiqu'il soit fait mention de celle de Pylos et de celle d'Arène.“ *Montbel.* speciosum quidem argumentum; sed dubitari vix potest, quin mutatus multis in locis fuerit Catalogus navium, et quemadmodum versus Il. β', 558. studio Atheniensium additus esse dicitur a Solone vel Pisistrato, ita fieri potuit, ut locus ille, in quo mentio fieret Messeniorum, odio eorum induceretur ab aliquo διασκευαστῇ Lacone. — Sch.: *Ἴφιτος* Εὐρύτου μὲν παῖς (Euryti filiorum natu major: nam plures ille habuit), Οἰχαλιεὺς δὲ τὸ γένος, (fuit scil. Eurytus rex Oechaliae urbis in Thessalia: v. Il. β', 596.) ἀπολομένων αὐτῷ τῶν ἵππων περιῄει τὰς πέριξ ἐρευνῶν πόλεις, εἴ που φανεῖεν. Πολυΐδου δὲ τοῦ μάντεως εἰπόντος αὐτῷ μὴ παραγίνεσθαι εἰς Τίρυνθα χάριν ζητήσεως, οὐ γὰρ εἶναι συμφέρον, λέγεται παρακούσαντα παραγενέσθαι. τὸν δὲ Ἡρακλέα μηχανῇ τινι καὶ στρατηγίᾳ συνεφελκυσάμενον αὐτὸν ἄγειν εἰς ἐπίκρημνον τεῖχος, καὶ καταστρέψαι (aliter Hom. 27.) διὰ τὸ πρὸς αὐτὸν ἔχειν ἔγκλημα καὶ τὸν πατέρα, ὅτι τελευτήσαντι αὐτῷ τὸν ἆθλον τὴν Ἰόλην γαμεῖν οὐκ ἔδωκαν, ἀλλ' ἀτιμάσαντες ἀπέπεμψαν. λέγεται δὲ, ὡς ἀγανακτήσας ὁ Ζεὺς ἐπὶ τῇ ξενοκτονίᾳ προσέταξεν Ἑρμῇ λαβόντα τὸν Ἡρακλέα πωλῆσαι δίκην τοῦ φόνου· τὸν δὲ εἰς Λυδίαν ἀγαγόντα τῇ τῶν τόπων βασιλευούσῃ Ὀμφάλῃ δοῦναι τριῶν τιμηθέντα ταλάντων. ἡ ἱστορία παρὰ Φερεκύδῃ (Sturz. n. 46., p. 185.). cf. Apollod. 2, 6. Iphitus, Nauboli fil., memoratur Il. β', 518 et ρ', 306. — *ἐπιείκελος ἀθαν.* Il. δ', 394, ι', 485 etc. idem est θεοειδής, θεῖος, δῖος. v. ann. ad Il. α', 4. — Sch.: *Μεσσήνῃ.* τῇ Μεσσηναίᾳ χώρᾳ, ἥτις ἦν μέρος τῆς Λακεδαίμονος

οἴκῳ ἐν Ὀρσιλόχοιο δαΐφρονος. ἦτοι Ὀδυσσεὺς
ἦλθε μετὰ χρεῖος, τό ῥά οἱ πᾶς δῆμος ὄφελλε·
μῆλα γὰρ ἐξ Ἰθάκης Μεσσήνιοι ἄνδρες ἄειραν
νηυσὶ πολυκλήϊσι τριηκόσι', ἠδὲ νομῆας.
τῶν ἕνεκ' ἐξεσίην πολλὴν ὁδὸν ἦλθεν Ὀδυσσεὺς,
παιδνὸς ἐών (πρὸ γὰρ ἧκε πατὴρ, ἄλλοι τε γέροντες)·
Ἴφιτος αὖθ' ἵππους διζήμενος, αἵ οἱ ὄλοντο,
δώδεκα θήλειαι, ὑπὸ δ' ἡμίονοι ταλαεργοὶ,
αἳ δή οἱ καὶ ἔπειτα φόνος καὶ μοῖρα γένοντο,
ἐπειδὴ Διὸς υἱὸν ἀφίκετο καρτερόθυμον,
φῶθ', Ἡρακλῆα, μεγάλων ἐπιΐστορα ἔργων,
ὅς μιν ξεῖνον ἐόντα κατέκτανεν ᾧ ἐνὶ οἴκῳ,
σχέτλιος, οὐδὲ θεῶν ὄπιν ᾐδέσατ', οὐδὲ τράπεζαν,

πρὸ τῆς τῶν Ἡρακλειδῶν καθόδου. (hexameter spondiacus, ut χ', 175.) οἴκῳ ἐν Ὀρσ. ἐν Φεραῖς (Φηραῖς). Strabo l. c. (vol. 2., p. 193., ed. Tauchn.): τῆς Φηρῆς τὴν χώραν λέγει. — αἱ δὲ Φηραὶ τῆς Μεσσηνίας εἰσί. v. ann. ad γ', 488.

17—22. χρεῖος, *debitum*. α', 409. — ἄειραν, *sustulerant*, abstulerant. Palat. et Sch.: ἄειραν. νῦν ἥρπασαν. v. γ', 312, ν', 117 etc. — πολυκλήϊσι. Il. β', 74 etc. — Am. Q. emend.: ἐξεσίην. δημοσίαν ἔκπεμψιν. ἥσσω, ἐσίαν, (liber: αἰτίαν, ε et αι, itemque σ et τ, inter se commutatis, ut saepe alias. αἰτίαν pro αἰτίαν dedit corrector.) καὶ ἐξεσίαν. Palat.: ἐξεσίην. δημοσίαν ἔκπεμψιν, κ. πρᾶξιν. E: ἐξεσία — ἡ δημοσία πρεσβεία κ., ὡς εἰπεῖν, ἔκπεμψις, ὡς ἀπὸ τοῦ ἐξίημι, ἐξήσω, ὅθεν καὶ ἔξεσις παρ' Ἡροδότῳ ἡ ἀπόπεμψις. διὸ ἱποκαταβὰς ἔφη, πρὸ γὰρ ἧκε πατὴρ etc. cf. ann. ad Il. ω', 235. — E: παιδνὸς (ω', 338) ὁ παῖς, παρὰ τὸ παίζειν, ὁμοίως τῷ ὀλοφυδνὸς, κ. ἀκιδνὸς, κ. τοῖς τοιούτοις. πολὺς δὲ ἔπαινος τοῦ Ὀδυσσέως τὸ ἐν παιδικῇ ἡλικίᾳ δι' ὑπερβολὴν συνέσεως πρέσβυν δημοσίᾳ πεμφθῆναι οὐ παρὰ μόνου πατρὸς, ἀλλὰ καὶ τῶν γερόντων. nempe nihil decernere poterat de negotio publico rex Laërtes sine interventu senatus principumque Ithacensium. v. ann. ad α', 387, β', 6, σ', 162. — διζήμενος. α', 261 etc.

23. δ', 636.

24—38. φόνος καὶ μοῖρα, μοῖρα φονία. hendiadys. E: μοῖραν φανερῶς τὴν θανάσιμον δηλοῖ. — φῶτα ἐπιΐστορα μεγ. ἔργων, ut φῶτα υἱὸν Ἀσκληπιοῦ, *virum filium Aesculapii*, h. e. filium adultum. E: μεγ. ἐπ. ἔργων. τουτέστιν ἐπιστήμονα, οὐ τὸ ἁπλοῦν ἐν Ἰλιάδι (σ', 501), οἷον, ἱέσθην ἐπὶ ἵστορι (*apud peritum*, arbitrum seu judicem) πεῖραρ ἑλέσθαι. ἄλλως δέ γε εἰπεῖν μεγάλων ἐπιΐστωρ ἔργων ὁ παρὰ τοῖς ὕστερον συνθέτως λεγόμενος μεγαλουργὸς, ὁποῖος καὶ ὁ Μακεδὼν Ἀλέξανδρος. Sch.: μεγ. ἐπ. ἔργων. μεγαλουργὸν, ἐπὶ μεγάλοις ἔργοις ἱστορούμενον, (?) ἐπιστήμονα. cf. Schn. vv. ἵστωρ, ἱστορέω, ἱστορία. — Am. B.: ξεῖνον ἐ. κατ. ξενιζόμενον παρ' αὐτῷ. οἱ δὲ νεώτεροί φασιν, ὡς ὅτι αὐτὸν ἀπὸ τοῦ τείχους κατέβαλεν. furentem adeo saeviisse Herculem, auctor est Apollodorus l. c.: — μετ' οὐ πολὺ δὲ κλαπεισῶν ἐξ Εὐβοίας ὑπὸ Αὐτολύκου βοῶν, Εὔρυτος μὲν ἐνόμιζεν ὑφ' Ἡρακλέους γεγονέναι τοῦτο. Ἴφιτος δὲ ἀπιστῶν ἀφικνεῖται πρὸς Ἡρακλέα, κ. συντυχὼν ἥκοντι ἐκ Φερῶν αὐτῷ, σεσωκότι τὴν ἀποθανοῦσαν Ἄλκηστιν Ἀδμήτῳ, παρακαλεῖ συζητῆσαι τὰς βόας. Ἡρακλῆς δὲ ὑπισχνεῖται, κ. ξενίζει μὲν αὐτὸν, μανεὶς δὲ αὖθις ἀπὸ τῶν Τιρυνθίων ἔῤῥιψεν αὐτὸν τειχῶν. quod ita evenisse, verisimile est propterea quia bene volebat Iphitus Herculi, et Iolen sororem, praemium certaminis, victori illi tradi jusserat, Euryto ceterisque ejus filiis vetantibus, ne denuo heros insaniens liberos ex ea suscipiendos interficeret, ut ibidem narrat Apollodorus. — σχέτλιος. γ', 161, Il. β', 112 etc. — θεῶν ὄπιν, *deorum vindictam*, inprimis Jovis hospitalis. Il. π', 388.: θεῶν ὄπιν οὐκ ἀλέγοντες. ξ', 82.: οὐκ ὄπιδα φρονέοντες ἐνὶ φρεσὶν, οὐδ' ἐλεητὺν etc. — τράπεζαν, *mensam*, quam hospiti illi ap-

τὴν δή οἱ παρέθηκεν, ἔπειτα δὲ πέφνε καὶ αὐτὸν,
ἵππους δ' αὐτὸς ἔχε κρατερώνυχας ἐν μεγάροισι.
τὰς ἐρέων Ὀδυσῆϊ συνήντετο, δῶκε δὲ τόξον,
τὸ πρὶν μέν ῥ' ἐφόρει μέγας Εὔρυτος, αὐτὰρ ὁ παιδὶ
κάλλιπ' ἀποθνήσκων ἐν δώμασιν ὑψηλοῖσι.
τῷ δ' Ὀδυσεὺς ξίφος ὀξὺ καὶ ἄλκιμον ἔγχος ἔδωκεν,
ἀρχὴν ξεινοσύνης προσκηδέος. οὐ δὲ τραπέζῃ
γνώτην ἀλλήλων· πρὶν γὰρ Διὸς υἱὸς ἔπεφνεν
* Ἴφιτον Εὐρυτίδην, ἐπιείκελον ἀθανάτοισιν,
* ὅς οἱ τόξον ἔδωκε. τὸ δ' οὔποτε δῖος Ὀδυσσεὺς
ἐρχόμενος πόλεμόνδε μελαινάων ἐπὶ νηῶν
ᾑρεῖτ', ἀλλ' αὐτοῦ μνῆμα ξείνοιο φίλοιο
κέσκετ' ἐνὶ μεγάροισι, φόρει δέ μιν ἧς ἐπὶ γαίης.

quem arcum manibus versans postquam se fletu satiavit, defert eum ad procos, et certamen edicit.

Ἡ δ' ὅτε δὴ θάλαμον τὸν ἀφίκετο, δῖα γυναικῶν,
οὐδόν τε δρύϊνον προσεβήσατο, τόν ποτε τέκτων
ξέσσεν ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνεν,
ἐν δὲ σταθμοὺς ἄρσε, θύρας δ' ἐπέθηκε φαεινὰς,
αὐτίκ' ἄρ' ἥγ' ἱμάντα θοῶς ἀπέλυσε κορώνης,

posuerat. *ξενίην* dixit ξ', 158 et ρ', 155. cf. 35. — *ἵππους κρατερώνυχας.* Il. π', 724 etc. — Am. B.: *τὰς ἐρέων. ἀνερεύνων, ζητῶν, ὁμοίως τῷ κνημοὺς ἐξερέησι.* (δ', 337, ρ', 128.) — E: *τὸ δὲ ἐρέων ἐστὶ μὲν ποιητικὴ λέξις, ἀπ' αὐτοῦ δὲ γίνεται τὸ ἐρευνᾶν ἐπενθέσει τοῦ υ καὶ τοῦ ν, ὁποίῳ τρόπῳ καὶ τὸ ἐλαύνειν ἀπὸ τοῦ ἐλάειν γίνεται.* addi poterant, pariter inde derivata, verba *ἐρεείνειν* et *ἐξερεείνειν*, quae saepe hic noster usurpavit. — *συνήντετο*, *occurrit.* δ', 367, Il. φ', 34. — Sch.: *ἀρχὴν ξεινοσύνης. ἀρχὴν ποιούμενα ξενίας. προσκηδέος. τῆς ποιούσης κηδεμονικῶς ἔχειν πρὸς ἀλλήλους.* (Am. B. *κηδεμονικῆς φιλίας· κήδονται γὰρ ἀλλήλων οἱ φίλοι κ. ξένοι.* E: — *ἐναντίον δὲ τῷ προσκ. τὸ δυσκηδέος* [ε', 466] *καὶ ἀκηδέος* [ζ', 26 etc.].) *ὅς — ἔδωκε. τρίτον εἴρηκε τὴν δόσιν, ἐπεὶ διὰ μέσου τινὰ παραδιηγεῖται.* frigent tamen verba *ἐπιείκελον — ἔδωκε*, vereorque sane, ne illa *ἐπ. ἀθαν.* nescio quis sublecta in superioribus adscripserit propter similitudinem, quibus in ordinem receptis, ut fieri solet, versus explendi gratia alius inculcaverit verba *ὅς οἱ τ. ἔδ.* quodsi divinavi, sic scribamus: *Ἴφιτον Εὐρυτίδην. τὸ δὴ οὔποτε* etc. mutavit, ni fallor, idem ille *τὸ δὴ* metri causa: neque enim *δὲ* placet non elisum sequente vocali. *τὸ* arcum dici, non est obscurum, cum is tota hac narratione agatur, brevique intervallo nominatus fuerit, unicum Iphiti donum, sed Ulyssis duobus illis procul dubio pretiosius.

42—53. *θάλαμον τὸν*, ut *ἄνδρα τὸν* κ', 74., h. e. *τοῦτον*, *illum*, quem dixit 8., *θάλαμον ἔσχατον*: nam plures et diversi erant *θάλαμοι* in aedibus. v. α', 425, Il. ζ', 244, Schn. v. *θάλαμος* etc. — *οὐδὸν δρύϊνον*, *limen quernum*, non aeneum aut lapideum, propter levitatem, utpote in superiore parte aedium. quanquam et coenaculi *οὐδὸν μέλινον* dixit ρ', 339. — *τόν ποτε — ἴθυνεν.* ρ', 340. et 41. — *θύρας φαεινὰς*, *fores splendidas*, fortasse auro, ut η', 88. cf. ζ', 19, Il. ξ', 169 etc. — Am. Q.: *αὐτίκ' ἄρ' ἥγ' ἱμάντα. ἱμάντα τὸν ἀνοίγοντα τὸ ἔνδοθεν περιγινόμενον, κοχλῷ ἐοικὸς, κλεῖθρον. δύο γὰρ ἱμάντες ἦσαν, ὁ μὲν κλείων,* (ut α', 442, ubi nunc malim *ἐτάνυσσ' ἱμάντι* et similiter *ἤειρ' ἱμᾶσι* Il. κ', 499., ne temere augeatur numerus locorum, in quibus anceps videtur ι littera.) *ὁ δὲ ἀνοίγων. ἑκάτερος δὲ κρίκου τινὸς ἐξήρτητο. ἡ Εὐρύκλεια οὖν θύραν ἐπέρυσσε κορώνῃ ἀργυρέῃ* (α', 441) *κλείουσα. τὸ δὲ ἄντα τιτ.* (θ', 556 etc.), *ὥστε*

ἐν δὲ κληῗδ' ἧκε, θυρέων δ' ἀνέκοπτεν ὀχῆας,
ἄντα τιτυσκομένη. τὰ δ' ἀνέβραχεν ἠΰτε ταῦρος,
βοσκόμενος λειμῶνι· τόσ' ἔβραχε καλὰ θύρετρα,
πληγέντα κληῗδι, πετάσθησαν δέ οἱ ὦκα.
ἡ δ' ἄρ' ἐφ' ὑψηλῆς σανίδος βῆ, ἔνθα δὲ χηλοὶ
ἕστασαν· ἐν δ' ἄρα τῇσι θυώδεα εἵματ' ἔκειτο.
ἔνθεν ὀρεξαμένη ἀπὸ πασσάλου αἴνυτο τόξον
* αὐτῷ γωρυτῷ, ὅς οἱ περίκειτο φαεινὸς,
ἑζομένη δὲ καταῦθι, φίλοις ἐπὶ γούνασι θεῖσα,
κλαῖε μάλα λιγέως, ἐκ δ' ᾕρεε τόξον ἄνακτος.
ἡ δ' ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,

τὰς βαλάνους (pessulos) ἀντίας γίνεσθαι τοῖς τῆς κλειδὸς γόμφοις. ἢ αὐτῇ (fort. αὐτοῦ) ἀντικρὺ κ. ἔμπροσθεν τῆς θύρας ἑστῶσα, κ. οὕτως στοχαζομένη. immittebatur clavis loro, quo fortius attrahi aut retrahi possent duo pessuli; quod lorum appensum erat annulo. minus perspicue hac de re dixit J. H. Vossius ann. ad Aratum. v. Il. ξ', 168, collatis sequentibus, itemque Il. μ', 121, 455. et 56. — Sch.: ἀνέκοπτεν. ἀνέκρουεν, ἀνώθει. — Sch.: ὀχῆας (Il. μ', 121 etc.). νῦν τὰς λεγομένας βαλάνους τὰς ἐν τῷ λεγομένῳ χελωνίῳ (κοχλὸν dixit alter Am. in superioribus.), κατ' ἀντικρὺ τῆς κλειδὸς, αἷς (perperam liber: ἅς.) περιάγονται κ. ἀνοίγονται (scil. αἱ θύραι). Am. B.: τὰς βαλάνους. ἐν Ἰλιάδι δὲ (μ', 455) τοὺς μοχλούς. — E: τὸ τὰ δ' ἀνέβραχε (Il. τ', 13) μετεσχημάτισται ἀπὸ τοῦ θηλυκοῦ γένους τῶν θυρῶν, ὡς πρὸς τὰ ἐπαγόμενα καλὰ θύρετρα. τὸ δὲ βοσκ. λειμῶνι παρατετηρημένως ἔφη, ὡς τοῦ ταύρου τότε ὑπὸ τρυφῆς ἀναβράχοντος μάλιστα. indicat autem stridor iste, difficulter apertas esse fores propter gravitatem valvarum excelsarum, quales sunt aedium regalium. — πληγέντα, percussa clavi fortiter immissa et velut incussa in pessulum seu vectem, quemadmodum et ἀνέκοπτεν dixit 47. — Eichhoff. ann. ad Virg. Aen. 7, 607. (*Sunt geminae belli portae, sic nomine dicunt, Religione sacrae et saevi formidine Martis. Centum aerei claudunt vectes aeternaque ferri Robora, nec custos absistit limine Janus. Has, ubi certa sedet patribus sententia pugnae, Ipse, quirinali trabeâ cinctuque Gabino Insignis, reserat stridentia limina Consul. — Tum regina deûm, coelo delapsa, morantes Impulit ipsa manu portas, et cardine verso Belli ferratos rupit Saturnia postes.*): „Sous le rapport de l'harmonie imitative, les vers latins, supérieurement imités par Milton (*Paradis*, ch. 2, v. 879) et par Klopstock (*Messiade*, ch. 9, v. 750), peuvent se comparer à l'entrée de Pénélope dans le dépôt des armes d'Ulysse, Od. 21, 46—50." — σανίδος, σανιδώματος. v. Schn. v. σανίς. accessit Penelope ad tabulatum quoddam, in quo arcae vestium erant repositae. — ἔνθα δὲ, ἔ. δή. — θυώδεα εἵματα. ε', 264. gaudebant veteres unguentis. cf. δ', 121 etc. — ἀπὸ πασσάλου. Il. ε', 209. cf. Odyss. α', 440 etc. — αἴνυτο, *cepit*. ξ', 144 etc. interpretantis est εἵλετο, quod habet A. 1.

54. versiculus affectus: neque enim tolerabilis est trochaeus, pro dactylo seu spondeo usurpatus medio hexametro (-τῷ, ὅς). hoc ponamus, suadeo: αὐτῷ τῷ γωρυτῷ, *una cum theca illa* pretiosa et celebri, in qua conditus erat arcus. offecit articulo-τῷ antecedens. Sch.: γωρυτῷ. τῇ θήκῃ τοῦ τόξου. Ap.: γωρυτός. ἡ τοξοθήκη, οἱονεὶ χωρυτὸς, παρὰ τὸ τόξον χωρεῖν. συγγενὲς γὰρ τὸ γ τῷ χ. [οἷον χώρημα τοῦ τόξου.] τῶν ἅπαξ εἰρημένων. cf. Schn. h. v., ubi tamen male miscet γωρυτὸν et φαρέτραν.

55, 56. καταῦθι, ut κ', 567 et Il. ν', 653, ubi v. ann. minus bene codd.: κατ' αὖθι, nec ferendi sunt Henr. Steph. et Cl., qui praepositionem ad alterutrum participium referendum putant. — ἐκ δ' ᾕρεε τόξον. A. 2. et 3.: ᾕρετο. fraus scripturae continuae, mendaque generis contrarii atque illa, cui modo medicati sumus omissam vocem similem restituendo; hic τό- sequens forte geminatum est: ᾕρεετόξον, ᾕρεετοτόξον, ᾕρετοτόξον.

57. τ', 213, 251.

βῆ ῥ' ἴμεναι μέγαρόνδε μετὰ μνηστῆρας ἀγαυοὺς,
τόξον ἔχουσ' ἐν χειρὶ παλίντονον, ἠδὲ φαρέτρην
[ἰοδόκον· πολλοὶ δ' ἔνεσαν στονόεντες ὀϊστοί].
τῇ δ' ἄρ' ἅμ' ἀμφίπολοι φέρον ὄγκιον, ἔνθα σίδηρος
κεῖτο πολὺς, καὶ χαλκὸς, ἀέθλια τοῖο ἄνακτος.
ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα,
[ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη.]
αὐτίκα δὲ μνηστῆρσι μετηύδα, καὶ φάτο μῦθον·
„Κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, οἳ τόδε δῶμα
ἐχράετ' ἐσθιέμεν καὶ πινέμεν ἐμμενὲς αἰεὶ
ἀνδρὸς ἀποιχομένοιο πολὺν χρόνον, οὐδέ τιν' ἄλλην
μύθου ποιήσασθαι ἐπισχεσίην ἐδύνασθε,
ἀλλ' ἐμὲ ἱέμενοι γῆμαι, θέσθαι τε γυναῖκα.
ἀλλ' ἄγετε, μνηστῆρες, ἐπεὶ τόδε φαίνετ' ἄεθλον!
θήσω γὰρ μέγα τόξον Ὀδυσσῆος θείοιο·
ὃς δέ κε ῥηΐτατ' ἐντανύσῃ βιὸν ἐν παλάμῃσι,
καὶ διοϊστεύσῃ πελέκεων δυοκαίδεκα πάντων,

58. *μετὰ μνηστῆρας*, ad procos. π', 151, σ', 184.

60. versus iners, quem ex superioribus irrepsisse arbitror. v. 12.

61, 62. Am. B.: *ὄγκιον.* προπαροξυτόνως τὸ *ὄγκιον.* ἔστι δὲ κυρίως τὸ δεκτικὸν τῶν ὄγκων (Il. δ', 151), ὅ ἐστιν ἀκίδων. Hesych.: ὄγκιον. ἀγγεῖον, ἐν ᾧ αἱ ἀκίδες. ἢ πλέγμα κιστοειδὲς, ἐν ᾧ ἀπέκειντο αἱ πελέκεις. similiter Ap.: ὄγκιον. ἀγγεῖον, ἐν ᾧ οἱ πελέκεις κεῖνται, (quae interpretatio haud dubie ex hoc loco ducta est.) ἀπὸ τοῦ ἐγκεῖσθαι. ἢ παρὰ τὸ ὀγκώδες εἶναι. nescio quis apud Sch.: *ὄγκιον.* — τῶν ὄγκων ἀγγεῖον, ὡς *κρεῖον* (Il. ι', 206) τὸ κρεοδόχον ἀγγεῖον. — *ἀέθλια.* 4.

63—66. α', 332—35, σ', 207—210. postremo horum versuum carent A. 2. et 3., et MS. Thomae Bentleji, nec habetur loco simili π', 414.

68—73. *κέκλυτέ μευ, μν. ἀγ.* cf. σ', 43. — Sch.: *ἐχράετε.* ἐβιάσασθε, ἐβαρήσατε. v. ann. ad ε', 396. — *ἐσθιέμεν καὶ πινέμεν δῶμα*, *comedere et bibere domum*, ut Terentius Eun. 5, 8, 57. secundum Nonium v. Propinare: *hunc comedendum et bibendum vobis propino*, ubi Bentlejus: *ebibendum*, nec male. v. ibi Lindenbrog. Plautus Pseud. 4, 7, 25.: *Jamne illum comesurus es?* BALLIO. *Dum recens est, Dum datur, dum calet, devorari decet.* ceterum id opus esse procorum, ipse Antinous significat β', 305. — *μύθου ἐπισχεσίην.* h. e. *πρόφασιν πράγματος*, *praetextum* ejus *rei.* nam quod Pseudodidymus et veteres illi apud Eustathium *μῦθον* h. l. interpretantur *στάσιν*, prorsus id abhorret ab usu Homeri, qui *μῦθον* nihil aliud novit nisi *λόγον*, seu *πρᾶγμα* a consequente dicendi de re, quae agitur; quemadmodum ille χ', 288.: *θεοῖσι Μῦθον ἐπιτρέψαι*, *den göttern Ueberlass das geschäft*, ut reddidit Vossius. idem recte h. l.: *und die sogar nichts Anderes ihr dem beginnen nur vorzuwenden vermögt.* Aeolum quidem vox fuisse videtur *μύθος* (non *μῦθος*) pro *μόθος*, *tumultus*, unde Anacreon *στασιαστὰς* dixisse putatur *μυθιήτας*: v. E, Sch. et ad eum annotata a Buttmanno, item Ap. v. *μῦθος*, et Hesych. v. *μύθαρχοι*, οἱ προεστῶτες τῶν στάσεων. sed quid haec ad Homerum? — E: τὸ δὲ *ἀλλ' ἐμὲ ἱέμενοι γῆμαι* σχήματος ἀλλαγήν· τὸ γὰρ ἀκόλουθον ἦν οὕτως, οὐδέ τινα ἄλλην πρόφασιν ποιήσασθαι ἔσχετε, ἀλλὰ τὸ ἐμὲ ἵεσθαι γῆμαι. A. 2.: *ἀλλά μέ.* Alterus: *ἀλλά με*, errore haud insolito. v. Porsoni Advers. p. 252, 257, 260. — Am. B. ad 106.: *τόδε φ. ἄεθλον.* τὸ γῆμαι τὴν Πηνελόπην πρόκειται νικητήριον. εἰ γὰρ τὸν ἀγωνισμὸν ἔλεγεν (ut τ', 576 etc.), ἀρσενικὸν ἂν ἔφη. cf. 106—109.

75—79. τ', 577—581.

τῷ κεν ἅμ' ἑσποίμην, νοσφισσαμένη τόδε δῶμα
κουρίδιον, μάλα καλὸν, ἐνίπλειον βιότοιο,
τοῦ ποτὲ μεμνήσεσθαι ὀΐομαι, ἔν περ ὀνείρῳ."

jussu reginae Eumaeus arcum et secures disponit apud procos.

Ὣς φάτο, καί ῥ' Εὔμαιον ἀνώγει, δῖον ὑφορβὸν,
τόξον μνηστήρεσσι θέμεν, πολιόν τε σίδηρον.
δακρύσας δ' Εὔμαιος ἐδέξατο, καὶ κατέθηκε·
κλαῖε δὲ βουκόλος ἄλλοθ', ἐπεὶ ἴδε τόξον ἄνακτος.
Ἀντίνοος δ' ἐνένιπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·

increpat Antinous flentes pastores.

„Νήπιοι ἀγροιῶται, ἐφημέρια φρονέοντες!
ἆ δειλὼ, τί νυ δάκρυ κατείβετον, ἠδὲ γυναικὶ
θυμὸν ἐνὶ στήθεσσιν ὀρίνετον, ᾗτε καὶ ἄλλως
κεῖται ἐν ἄλγεσι θυμὸς, ἐπεὶ φίλον ὤλεσ' ἀκοίτην;
ἀλλ' ἀκέων δαίνυσθε καθήμενοι, ἠὲ θύραζε
κλαίετον ἐξελθόντε, κατ' αὐτόθι τόξα λιπόντε,
μνηστήρεσσιν ἄεθλον ἀάατον! οὐ γὰρ ὀΐω
ῥηϊδίως τόδε τόξον ἐΰξοον ἐντανύεσθαι.
* οὐ γάρ τις μέτα τοῖος ἀνὴρ ἐν τοῖσδεσι πᾶσιν,

81—84. *σίδηρον*, *ferrum*, secures ferreas. v. 3, τ', 572—575, 587 etc. — *ἐνένιπεν* A. 2. et 3. vulgo: *ἐνένιπτεν*. v. 167, 287, π', 417.

85—92. *ἀγροιῶται*. λ', 292, Il. λ', 549 etc. — Sch.: *ἐφημέρια* (δ', 223) *φρονέοντες*. τὸ παραυτίκα μόνον φρονοῦντες, οὐ προνοοῦντες τοῦ μέλλοντος. E: — τοῦτο δὲ καὶ σκῶμμά ἐστι κατὰ ἀγροίκων ἀνδρῶν, καὶ ἀπειλὴν δέ τινα ἔχει κατὰ τῶν ῥηθέντων δούλων, ὡς μὴ προσκεπτομένων ἃ πείσονται. scil. punire cogitat eos Antinous, qui tanto Ulyssis desiderio teneantur; quemadmodum occiso Agamemnone libere loquentibus Mycenaeis senibus supplicia minatur Aegisthus apud Aeschylum Ag. 1526. „Aeschylus ap. Stob. Ethic. Serm. 98.: τὸ γὰρ βρότειον σπέρμ' ἐφημέρια φρονεῖ. Theocr. 13, 4.: οἳ θνατοὶ πελόμεσθα, τὸ δ' αὔριον οὐκ ἐσορῶμες. Terent. Ad. 3, 3, 32.: *Istuc est sapere, non quod ante pedes modo est Videre, sed etiam illa, quae futura sunt, Prospicere.*" Cl. — *ἆ δειλώ*. κ', 431, Il. λ', 816 etc. — *ᾗτε — θυμός*. Antigone ap. Eurip. Phoen. 1541.: ὦ πάτερ, ἐν οἵοις κείμεθ' ἀθλίοις κακοῖς, et passim jacere dicuntur lugentes miserique propter similitudinem victorum, vel aegrotantium. v. Aeschyl. Cho. 897, Eum. 526, Eurip. Hel. 1137 etc. — *ἐξελθόντε — λιπόντε*. v. δ', 477 etc. *κατ' αὐτόθι τ. λιπ.* tmesis, καταλιπ. — *ἀάατον*, *innoxium*, sensu activo. v. ann. ad Il. ξ', 271. negat Antinous, quidquam timendum esse procis, etiamsi res male successerit; id quod futurum esse auguratur verbis οὐ γὰρ — ἐκτανύεσθαι. hinc Ulysses, eadem voce usus per sarcasmum, χ', 5.: οὗτος μὲν δὴ *ἄεθλος ἀάατος* ἐκτετέλεσται· Νῦν αὖτε σκοπὸν ἄλλον, ὃν οὔπω τις βάλεν ἀνὴρ, Εἴσομαι. — *τόξον εὔξοον*. τ', 586, Il. δ', 105. — *ἐντανύεσθαι*. 97, 403, τ', 577 etc.

93. itane loqui Homerum? potuit dicere οὐ γάρ τις μέτα τοῖος ἀνὴρ τοῖσδεσι πᾶσιν, potuit οὐ γάρ τις τοῖος ἀνὴρ ἐν τ. πᾶσιν, h. e. μέτεστιν, ἔνεστιν, utramque praepositionem simul inferre eodem sensu non potuit sine soloecismo. putide E: τὸ *μετὰ* (sic) ἐστὶ μὲν ταυτὸν τῇ *ἐν* προθέσει, νοηθὲν δὲ ὑπερβατῶς (?) μετὰ τοῦ *ἐν τοῖσδ. πᾶσιν* ἐκ παραλλήλου κεῖται μετὰ ἰσοδυνάμου προθέσεως. imo adulterata haec sunt, nec longe quaerendum remedium, sed ponendum est confidenter οὐ γάρ τις μάλα τοῖος ἀνὴρ etc. sic λ', 133.: θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῷ Ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ σε πέφνῃ Γήρᾳ ὕπο λιπαρῷ ἀρημένον, et υ', 302.: μείδησε δὲ θυμῷ Σαρδάνιον μάλα τοῖον. con-

οἷος Ὀδυσσεὺς ἔσκεν. ἐγὼ δέ μιν αὐτὸς ὄπωπα·
καὶ γὰρ μνήμων εἰμί. πάϊς δ᾽ ἔτι νήπιος ἦα."
Ὣς φάτο· τῷ δ᾽ ἄρα θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
νευρήν τ᾽ ἐντανύσαι, διοϊστεῦσαί τε σιδήρου.
ἤτοι ὀϊστοῦ γε πρῶτος γεύσεσθαι ἔμελλεν
ἐκ χειρῶν Ὀδυσῆος ἀμύμονος, ὅν ποτ᾽ ἀτίμα,
ἥμενος ἐν μεγάροις, ἐπὶ δ᾽ ὤρνυε πάντας ἑταίρους.
τοῖσι δὲ καὶ μετέειφ᾽ ἱερὴ ἲς Τηλεμάχοιο·

Telemachi oratio ficta ad procos, qua magis eos incitat.

„Ὢ πόποι, ἦ μάλα με Ζεὺς ἄφρονα θῆκε Κρονίων!
μήτηρ μέν μοί φησι φίλη, πινυτή περ ἐοῦσα,
ἄλλῳ ἅμ᾽ ἕψεσθαι, νοσφισσαμένη τόδε δῶμα·
αὐτὰρ ἐγὼ γελόω, καὶ τέρπομαι ἄφρονι θυμῷ.
ἀλλ᾽ ἄγετε, μνηστῆρες, ἐπεὶ τόδε φαίνετ᾽ ἄεθλον,
οἵη νῦν οὐκ ἔστι γυνὴ κατ᾽ Ἀχαιΐδα γαῖαν,
οὔτε Πύλου ἱερῆς, οὔτ᾽ Ἄργεος, οὔτε Μυκήνης,
οὔτ᾽ αὐτῆς Ἰθάκης, οὔτ᾽ ἠπείροιο μελαίνης,

fundi solent in codd. verba *μάλα*, *μέγα*, *μετὰ*, id quod ostenderunt Heyn. ann. ad Il. ϱ', 629., ubi quidam libri habent *μέγα νήπιος* pro *μάλα ν.*, Jacobs. Anthol. Palat. 3. p. 12. aliique. cf. ann. ad ο', 227.

97—100. *ἐντανύσαι.* sic A. 2. et 3. nonnulli apud Cl.: *ἐντανύειν*, quae videtur esse interpretatio *τοῦ ἐντανύσαι.* alii apud eundem: *νευρήν τ᾽ ἐντ.* male Alterus: *ν. ἐντανύσαι, διοϊστεύσειν τε σιδ.*, siquidem posito *ἐντανύσαι* ponendum quoque erat *διοϊστεῦσαι*, ut τ', 587. de infinitivo aoristi pro futuri usurpato v. ann. ad β', 198. vulgata asperat homoeoteleuton *νευρὴν ἐντανύσειν, διοϊστεύσειν.* sic tamen inferius 127., cui loco hunc assimilatum esse arbitror. *γεύσεσθαι.* eodem tropo υ', 181.: *πρὶν χειρῶν γεύσασθαι*, et Il. φ', 60.: *ἀλλ᾽ ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς ἡμετέροιο Γεύσεται.* cf. Il. υ', 258, Eurip. Hecuba, 360, Aristoph. Ran. 427, Plaut. Most. 5, 1, 15 etc. Hesych.: *γεύσασθαι, πειράσαι, ἅψασθαι.* — *ἥμενος*, *sedens*, accubans in convivio. v. ϱ', 411—465. — *ἐπὶ δ᾽ ὤρνυε*, *et incitabat*, h. e. incitare conabatur: revera enim ipsi tum Antinoo ceteri proci irascebantur: v. ϱ', 481 — 487. Jocaste ap. Euripidem Phoen. 81.: *ἐγὼ δ᾽ ἔριν λύουσ᾽ ὑπόσπονδον μολεῖν Ἔπεισα παιδὶ παῖδα.* ibi Schäferus: „Iocaste," inquit, „colloquium parans filiorum *ἔλυε τὴν ἔριν*, componendi belli initium faciebat; non item *ἔλυσε* (ut scribi voluit Valck.), quod illi matrem non audirent. Falluntur, qui talia de sola voluntate agendi intelligunt: vere enim incipit actus, sed ob impedimenta caret eventu. Atque haec causa est, cur omnium harum locutionum proprium sit tempus aut praesens, aut imperfectum. V. not. ad Demosth. p. 44, 5." cf. et Orest. 1171, Iphig. Taur. 1248, Aristoph. Av. 1253, inferius 298, etc.

101. 130, β', 409, σ', 404 etc.

107, 8. *Ἀχαιΐδα γαῖαν.* Il. α', 254 etc. E: *ἰστέον, ὅτι, ὅτε εἶπεν Εὐρύμαχος τῇ Πηνελόπῃ* (σ', 245), *ὡς εἰ πάντες σὲ ἴδοιεν ἂν Ἴασον Ἄργος Ἀχαιοὶ, πλέονες ἂν μνηστῆρες εὑρεθεῖεν ἐνταῦθα ἕωθεν, ἐπεὶ περίεσσι γυναικῶν, τοιοῦτόν τινα καὶ ἐκεῖνος ἔπαινον ἔλεγε τῆς γυναικὸς, ὁποῖον καὶ ὁ Τηλέμαχος ἐνταῦθά φησιν· Ἀχαιῒς γὰρ γῆ δύναται νοηθῆναι νῦν ἡ κατὰ τὸ ῥηθὲν ἐκεῖ Ἴασον Ἄργος, περὶ ὃ καὶ χώρα ἡ ἰδίως Ἀχαΐα λεγομένη.* recentius aevum sapiunt, quae habet Am. B., haec: *κατ᾽ Ἀχ. γαῖαν. γενικῶς εἶπε, καὶ αὖθις τοὺς ἐπισημοτάτους τόπους ἐδήλωσε.* cf. ann. ad Il. β', 683 et 84. — *ἱερῆς.* v. γ', 278, Il. α', 38 etc. — *ἐπεὶ — ἄεθλον.* v. 73.

109. haud legitur hic versus in A. 2. et 3. et MS. Th. Bentleji, neglectus, opinor, a librariis propter simile initium antecedentis. certe mirum esset, memoratis exterarum nationum mulieribus

(καὶ δ' αὐτοὶ τόδε γ' ἴστε· τί με χρὴ μητέρος αἴνου;)
ἀλλ' ἄγε μὴ μύνῃσι παρέλκετε, μηδ' ἔτι τόξου
δηρὸν ἀποτρωπᾶσθε τανυστύος, ὄφρα ἴδωμεν!
καὶ δέ κεν αὐτὸς ἐγὼ τοῦ τόξου πειρησαίμην·
εἰ δέ κεν ἐντανύσω, διοϊστεύσω τε σιδήρου,
οὔ κέ μοι ἀχνυμένῳ τάδε δώματα πότνια μήτηρ
λείποι, ἅμ' ἄλλῳ ἰοῦσ', ὅτ' ἐγὼ κατόπισθε λιποίμην,
* οἷός τ' ἤδη πατρὸς ἀέθλια κάλ' ἀνελέσθαι."

dein statuit secures, primusque arcum experitur; sed clam deterretur ab Ulysse.

* Ἦ, καὶ ἀπ' ὤμοιϊν χλαῖναν θέτο φοινικόεσσαν,

ipsius Ithacae virgines feminasque silentio praeteriri, secus ac fit loco simili, inferius 251., ubi primae nominantur. uncis tamen haec inclusit W.

111—117. E ad 71.: *ἀλλ' ἄγε μὴ μύνῃσι παρέλκετε.* ἤγουν προφάσεσιν, ἵνα ᾖ μύνη οἱονεί τις μονή. μονῆς γάρ τινος χρεία τοῖς προφασιζομένοις. — ἐκ δέ γε τοῦ *μονὴ* γίνεται Αἰολικῶς *μύνη* κατά τε συνήθη βαρὺν τόνον κ. τροπὴν τοῦ ο, ὁμοίως τῷ ὄνομα ὄνυμα, ἀσσότεροι ἀσσύτεροι, κ. τοῖς ὁμοίοις. λέγει δὲ, φασὶ, καὶ Ἀλκαῖος τὸ προφασίζεσθαι μύνεσθαι, οἷον, *οὐδέ τι μυνάμενος ἄλλο νόημα.* (v. Alcaei fragmenta, edita a Blomfieldio, 55. ibi vir egregius suspicatur scribendum esse ἄλλα τὸ νόημα, et μυνάμενος pro μυνώμενος dictum putat Aeolice. hoc recte, nisi fallor; sed illud ἄλλα τὸ ν. ex parte tantum probo, malimque: ἀλλῶν νόημα. sic apparet metrum Alcaïcum:

|⏒ - ⏑ - |⏒ |- ⏑ ⏑ -|⏑ ⏒⏒
οὐδέ τι μυσάμενος
|- - ⏑ - |⏑
Ἀλλῶν νόημα.

de soluta longa finali in verbo μυσάμενος v. Hermann. Elem. doctr. metr. p. 251.) ἕτεροι δὲ *μύνην* φασὶ τὴν πρόφασιν, παρὰ τὸ μύειν τὸ στόμα. Ap.: μύνῃσι, προφάσεσι. τῶν ἅπαξ εἰρημένων· *ἀλλ' ἄγε — παρέλκετε.* ἐτυμολογοῦσι δὲ ἀπὸ τοῦ μύσαντας τὰ ὄμματα σκέπτεσθαι, ὅ τι προφασίζονται. οἱ δὲ παρὰ τὸ μένειν· καὶ γὰρ οἱ προφασιζόμενοι τούτου χάριν προφασίζονται, ἵν' ἐπιμείνωσι. Sch. emend.: *μὴ μύνῃσι.* προφάσεσι. μὴ μύσαντες τὰ ὄμματα σκέπτεσθε, τί χρῆ δρᾶν. τούτου γὰρ προφασίζονται, ἵνα ἐπιμείνωσι. (animadvertit Buttm., hoc spectare ad alteram notationem vocis μύνη, cum ducitur a μονὴ seu μένειν. ceterum in utroque verbo intelligamus: οἱ μνηστῆρες.) οἱ δὲ, κατασιωπῶντες, παρὰ τὸ μύειν τὸ στόμα. „Etym. M.: Μύνη, πρόφασις· ἐπιμονῆς (?) γὰρ χρεία τῷ προφασιζομένῳ εἰς τὸ ψεύδεσθαι κ. μὴ εἰπεῖν τἀληθές· ὥστε ἀπὸ τοῦ μονὴ μύνη, ὡς γονὴ γυνή. τὰς προφάσεις δὲ μύνας καλοῦσιν οἱ Αἰολεῖς... *ἀλλ' ἄγε — παρέλκετε,* προφάσεσι. —" B. rursum E: τὸ δὲ *παρέλκειν* (σ', 281) ταυτὸν τῷ διατρίβειν ἐστὶν, οἷον, *οὔτι διατρίβω μητρὸς γάμον* (υ', 341). ἡ δὲ *τανυστὺς* λέξις μὲν καὶ αὐτὴ ποιητικὴ, γίνεται δὲ ἀπὸ τοῦ τανύειν, κ. κεῖται ὑπὸ ἀναλογίαν τοῦ ὀϊζὺς, ῥυστακτὺς, βρωτὺς, ἐδητὺς, κ. τῶν ὁμοίων. — *ἀποτρωπᾶσθε*, *aversamini*, recusate. π', 405. — Sch.: *σιδήρου.* τῶν πελέκεων. — *ὅτ' ἐγὼ — λιποίμην*, *cum ego pone relinquar.* v. Matth. §. 521, ann. 2. — *οἷός τ' — ἀνελέσθαι*, *valens jam patris brabea pulcra reportare.* haec non cohaerent cum antecedentibus, sed cum versu 114., post quem inserenda sunt: neque enim domi solus relinquetur Telemachus, si par fuerit certaminibus patris, h. e. si secures illas 12 sagitta percusserit, sed manebit tum mater; contra, si relinquetur, consequens est, eum certamina ista non sustinuisse, *οὐχ* οἷόν τε εἶναι ἀνελέσθαι ἀέθλια πατρός. Am. 2.: *ἀνελέσθαι.* ἀναλαβεῖν, μεταχειρίσασθαι. (qui haec scripsit, ἀέθλια intellexit ἔπαθλα, certaminum praemia.) ὑποστῆναι. hoc alius subjecit, qui ἀέθλια interpretaretur ἄθλους. sed praestat altera illa explicatio, quemadmodum Il. ψ', 822. dixit: καὶ τότε δή ῥ' Αἴαντι περιδδείσαντες Ἀχαιοὶ Παυσαμένους ἐκέλευσαν ἀέθλια ἶσ' ἀνελέσθαι, *brabea paria auferre.*

118. malim *χλαῖναν βάλε*, ut ξ',

ὀρθὸς ἀναΐξας, ἀπὸ δὲ ξίφος ὀξὺ θέτ' ὤμων.
πρῶτον μὲν πελέκεας στῆσεν, διὰ τάφρον ὀρύξας
πᾶσι μίαν μακρὴν, καὶ ἐπὶ στάθμην ἴθυνεν,
ἀμφὶ δὲ γαῖαν ἔναξε. τάφος δ' ἕλε πάντας ἰδόντας,
* ὡς εὐκόσμως στῆσε· πάρος δ' οὐ πώποτ' ὀπώπει.
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν, καὶ τόξου πειρήτιζε.
τρὶς μέν μιν πελέμιξεν, ἐρύσσεσθαι μενεαίνων·
τρὶς δὲ μεθῆκε βίης, ἐπιελπόμενος τόγε θυμῷ,
νευρὴν ἐντανύσειν, διοϊστεύσειν τε σιδήρου.
καί νύ κε δή ῥ' ἐτάνυσσε, βίῃ τὸ τέταρτον ἀνέλκων,
ἀλλ' Ὀδυσεὺς ἀνένευε, καὶ ἔσχεθεν ἱέμενόν περ.

502., ubi v. nota. congruit hoc τῷ ἀναΐξας.

119—129. ὀρθὸς ἀναΐξας, *subito exsurgens*. — E: τάφρος οὐ μόνον ἐπὶ πολλοῦ βάθους ὀρύγματος (ut Il. η', 341, 440. et 41, θ', 335, etc.), ἀλλ' ἰδοὺ καὶ ἐπὶ ὀλιγίστου· τὸ γὰρ ἐπὶ τῇ στάσει τῶν πελέκεων ὄρυγμα τάφρον εἶπεν. ἣν μακρὰν μὲν ὀρύττει ὁ παῖς, ὅτι μηδὲ ἔδει πλάτους αὐτῇ· ἐπὶ στάθμην δὲ ἰθύνει (v. ε', 245.), ὡς ἂν αἱ στειλειαὶ τῶν πελέκεων κατ' εὐθὺ ἐφεξῆς κείμεναι διοϊστευθῶσιν ἀκωλύτως. τὸ δὲ ἔναξεν ἀντὶ τοῦ ἐπίλησεν, ἢ πατήσας, ἢ χερσὶ συμπιλήσας. ἀπὸ τοῦ νάσσω δὲ ἡ λέξις γίνεται, ὅθεν καὶ ναστὸς ἄρτος ὁ πυκνός· εἰς ὃ φέρεται καὶ χρῆσις (τοῦ) μάζαν ναξάμενος, ὅ τινες καὶ μαξάμενος γράφουσιν, ὡς εἶναι ἐτυμολογικὸν τὸ μάζαν μαξ. ἐν δὲ τοῖς τοῦ Ἀθηναίου δηλοῦται, ὅτι ναστὸς ἄρτον πεπιλημένον εἶδος, κ. οὐχὶ ὠγκωμένον. ἦν δὲ, φησὶ, καὶ ναστὸς πλακοῦς ἔχων ἔνδον καρυκείας. (v. Aristoph. Plut. 1138. Am. B.: ἔναξε. ἀντὶ τοῦ ἔνηξε, ὅ ἐστιν ἐσώρευσε. ibi Buttm.: „scrib. ἔνησε.“ a νέω, *acervo*. mire Ap.: ἔναξε. ἔσαξε, κ. συνεπλήρωσε. — imperite Ap.: τάφος. ἐπὶ μὲν τῆς καταπλήξεως, τάφος δ' ἕλε πάντας. ἐπὶ δὲ τοῦ περιδείπνου, ἤτοι ὁ τὸν κτείνας δαίνυ τάφον Ἀργείοισι [γ', 309.] etc., quasi idem sit ὁ τάφος et τὸ τάφος, quod hic dicitur. ceterum cf. ψ', 93, ω', 441. — εὐκόσμως, κατὰ κόσμον [υ', 181 etc.], *rite*, ordine.) τὸ δὲ οὐ πώποτ' ὀπώπει οὐκ ἂν εἴη ζηλωτὸν ἐν γραφῇ πεζῇ διὰ τὸ ἐπάλληλον τῆς τῶν ἀφώνων ἀηδίας κατὰ τὴν ἐκφώνησιν. hoc vere dixit, nec adducor, ut ita locutum esse Homerum credam, vatem elegantissimum, sed malim πάρος δ' οὔτοι ποτ' ὀπώπει, ut Aristophanes Vesp. 1085.: οὔτοι ποτὲ ζῶν τοὔτον ἀποδυθήσομαι etc. proclive est permutari inter se τ et π litteras, itemque οι et ω. hinc error, in quem facilius etiam inducti fuerint librarii scriptura continua. longe lenius est, et proprietate quadam graeci eloqui blanditur, illud δ', 754.: κακοῦ κεκακωμένον. — στῆ — ἰών. comes de Caylus *Tableaux tirés de l'Odyssée* p. 255.: — „Ulysse sur les dégrés du Palais, doit être éloigné de la première hache au moins de 10 à 12 pieds, et chacune doit laisser entr' elle un intervalle égal que l'on peut estimer aux environs de 2 pieds; ce qui peut produire une totalité de 40 pieds, espace nécessaire pour cet exercice. On ne doit point oublier qu' Homère place ces haches dans la cour depuis les dégrés de la salle jusqu'à la porte d'entrée, qui doit être représentée fermée.“ — πελέμιξεν, *movit*, impulit. Il. δ', 535 etc. similiter Maro Georg. 1, 281.: *ter sunt conati imponere Pelio Ossam, — Ter pater exstructos disjecit fulmine montes.* — E.: καί νύ κε δή ῥ' ἐτ. νοητέον, ἠσκημένον εἶναι τὸν παῖδα τοξεύειν· οὐ γὰρ ἂν ἄλλως τοιαῦτα εἶχε ποιεῖν. sane artis sagittariae periti erant heroës, praesertim antiquiores, velut Hercules, cui exprobrans eam Lycus apud Euripidem Hercule fur., 154—159, ubi v. ann., prodit recentius aevum Tragici, cum ad velites id genus armorum devenisset. v. ann. ad α', 262, Il. β', 718—720, λ', 385, ν', 313 etc. B.: „Placuit lectio a Scholiaste Townlejano memorata in collatione Porsoniana haec: καί νύ κε δὴ τανύσειε.“ dittographia haud contemnenda, de qua v. Il. α', 232, δ', 223, ε', 311. — ἀνένευε, *abnutavit*. Il. χ', 205.: λαοῖσιν δ' ἀνένευε καρήατι δῖος Ἀχιλλεὺς, Οὐδ' ἔα ἱέμεναι ἐπὶ Ἕκτορι πικρὰ βέλεμνα. cf. Il. ζ', 311 etc. — ἔσχεθεν —

τοῖς δ' αὖτις μετέειφ' ἱερὴ ἲς Τηλεμάχοιο·
„Ὢ πόποι, ἦ καὶ ἔπειτα κακός τ' ἔσομαι, καὶ ἄκικυς,
ἠὲ νεώτερός εἰμι, καὶ οὔπω χερσὶ πέποιθα
ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ.
ἀλλ' ἄγεθ', οἵπερ ἐμεῖο βίῃ προφερέστεροί ἐστε,
τόξου πειρήσασθε, καὶ ἐκτελέωμεν ἄεθλον."
Ὣς εἰπὼν τόξον μὲν ἀπὸ ἕο θῆκε χαμᾶζε,
κλίνας κολλητῇσιν ἐϋξέστῃς σανίδεσσιν,
αὐτοῦ δ' ὠκὺ βέλος καλῇ προσέκλινε κορώνῃ,
ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου, ἔνθεν ἀνέστη.
τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·

jam Antinous procos omnes ordine certamen subire jubet.

„Ὄρνυσθ' ἑξείης ἐπιδέξια, πάντες ἑταῖροι,
ἀρξάμενοι τοῦ χώρου, ὅθεν τέ περ οἰνοχοεύει!"

quorum primus Leodes vates conatur arcum tendere, sed frustra.

Ὣς ἔφατ' Ἀντίνοος, τοῖσιν δ' ἐπιήνδανε μῦθος.

περ. δ', 284.: κατέρυκε κ. ἔσχεθεν ἱεμένω περ, et similiter π', 430. Il. μ', 184.: οὐδ' ἄρα χαλκείη κόρυς ἔσχεθεν, ubi Sch.: ἔσχεθεν. ἐπέσχεν, ἐκώλυσε. — μετέειφ'. A. 1., variare orationem studens, male: μετέφη ἱερή.

131—134. ἔπειτα, postea, ut ante, cum puer essem. — ἄκικυς. v. ι', 514. — νεώτερος, νέος. Matth. §. 457, 3. — καὶ οὔπω — χαλεπ. π', 71. — προφερέστεροι, praestantiores. Il. κ', 352 etc. Ald. 3.: πολὺ φέρτεροι. parvi refert, utrum legatur. θ', 128: ἅλματι δ' Ἀμφίαλος πάντων προφερέστατος ἦεν, Δίσκῳ δ' αὖ πάντων πολὺ φέρτατος ἦεν Ἐλατρεύς.

137—139. 164—166. κολλητῇσιν. Il. ι', 583. E: ἐϋξέστας (Il. σ', 276) σανίδας τὰς θύρας λέγει, κορώνην δὲ τοῦ τόξου ἄκρον, ἔνθα τὸ καλῇ κορώνῃ ὅμοιόν τί ἐστι τῷ χρυσέῃ κορώνῃ (Il. δ', 111, ubi v. ann.). — τινὲς δὲ (inepti illi quidem) καὶ νῦν ἐνόησαν τὸ τῆς θύρας ἐπίσπαστρον (46)· κρεῖττον δὲ ὅμως τὸ πρῶτον.

141, 142. Sch.: ἐπιδέξια. ἐκ τοῦ δεξιοῦ μέρους. imo: dextrorsum. v. ann. ad sequentem versum et ad Il. β', 353. — ἑταῖροι. A. 1.: ἄριστοι. in margine eadem manu: γρ. ἑταῖροι. — ἀρξάμενοι — οἰνοχοεύει. Il. α', 597. de Vulcano: αὐτὰρ ὁ τοῖς ἄλλοισι θεοῖς ἐνδέξια πᾶσιν Ὠινοχόει, ubi v. ann. E secundum Sch.: εὔλογον δὲ, φασὶν, εἰσιόντων εἰς τὸν ἀνδρῶνα ἐν δεξιᾷ κεῖσθαι τὸν κρατῆρα. Vossius *Krit. Blätter* 1. p. 43.: „Die Wendung rechtshin oder rechtsherum, da die bewegte Sache, wie der scheinbare Sonnenlauf, von ihrer linken zur rechten geht, war dem Griechen heilig und von günstiger Vorbedeutung. Rechtshin wandte er sich im Gebet, δεξιὸς ἀθανάτοις θεοῖσιν ἐπευχόμενος (Theogn. V. 922 Brunck.); — rechtshin trug der Herold die Loose herum, Il. 7, 184; rechtshin ging Odysseus bettelnd zu den Freiern im Saal, Odyss. 17, 365; und so standen die Freier nach einander zum Versuche des Bogens auf 21, 141: *Rechtshin nun in der Ordnung erhebt euch, alle Genossen, Dort von dem End' anfangend, woher umgehet der Weinschenk*" etc. qui vir eruditissimus quod craterem ad laevam introeuntibus in ἀνδρῶνα collocatum fuisse putat, et quidem in anteriore ejus parte, (l. c. p. 44.: „Die Scholiasten behaupten, dass ἐνδέξια u. ἐπιδέξια *von der rechten Seite* sei, und dass Odyss. 21, 142 der Mischkrug, dem der Vossische Grundriss die linke Vorderecke des Saals anweiset, dem Eingehenden zur Rechten stehe.") qua ratione ductus ita existimaverit, ignoro; et illud quidem in medio relinquo; quod autem locum crateri in anteriore parte coenaculi assignavit, id vix ac ne vix quidem concilies cum verbis illis 145. παρὰ κρητῆρα δὲ καλὸν Ἶζε μυχοίτατος αἰεὶ, h. e. interprete Scholiaste ἐνδότατος: nec per se veri-

Λειώδης δὲ πρῶτος ἀνίστατο, Οἴνοπος υἱὸς,
ὅ σφι θυοσκόος ἔσκε, παρὰ κρητῆρα δὲ καλὸν
ἷζε μυχοίτατος αἰεί· ἀτασθαλίαι δέ οἱ οἴῳ
ἐχθραὶ ἔσαν, πᾶσιν δὲ νεμέσσα μνηστήρεσσιν.
ὅς ῥα τότε πρῶτος τόξον λάβε καὶ βέλος ὠκὺ,
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν, καὶ τόξου πειρήτιζεν.
οὐ δέ μιν ἐντάνυσε· πρὶν γὰρ κάμε χεῖρας ἀνέλκων
ἀτρίπτους, ἁπαλὰς, μετὰ δὲ μνηστῆρσιν ἔειπεν·
„Ὦ φίλοι, οὐ μὲν ἐγὼ τανύω· λαβέτω δὲ καὶ ἄλλος.
πολλοὺς γὰρ τόδε τόξον ἀριστῆας κεκαδήσει
θυμοῦ καὶ ψυχῆς, ἐπειὴ πολὺ φέρτερόν ἐστι
τεθνάμεν ἢ ζώοντας ἁμαρτεῖν, οὗθ' ἕνεκ' αἰεὶ
ἐνθάδ' ὁμιλέομεν, ποτιδέγμενοι ἤματα πάντα.

simile videtur, positum fuisse craterem loco eo, quo vinum e penu afferentibus servis per totum ἀνδρῶνα transeundum fuisset, non sine ipsorum et convivarum molestia.

144—160. *Οἴνοπος*. A. 2. et 3.: ἤνοπος. v. Il. ξ', 445. — E: *θυοσκόος* ἐστὶν ὁ διὰ τοῦ θυμιᾶν ἢ ἱερεύειν μαντευόμενος. θύος μὲν γὰρ τὸ θέμα (θῦμα), ἤγουν ἱερεῖον ἢ [τὸ] θυμίαμα· κοεῖν δὲ τὸ νοεῖν, ὅθεν καὶ *μακκοᾶν* (ap. Aristoph. Equ.) τὸ μὴ νοεῖν, ἀλλ' ἀνοηταίνειν. θυοσκόος οὖν ὁ διὰ θυῶν κοῶν, ἤτοι νοῶν, τὰ μέλλοντα. καὶ ἄλλως δὲ θυοσκόος ὁ θύτης, ὁ τὰ θύη κέων, ἀπὸ τοῦ κέω τοῦ γραφομένου διὰ τοῦ ε ψιλοῦ, ἐξ οὗ μετ' ὀλίγα (176) καὶ τὸ *ἄγε δὴ πῦρ κεῖον ἐνὶ μεγάροισιν*, ὅ ἐστι καῦσον, ἀπὸ τοῦ κέον, πλεονασμῷ τοῦ ἰῶτα. — ἔστι γὰρ κέω πρωτότυπον, ἐξ οὗ κατὰ συναίρεσιν κῶ, ἐκ δὲ τούτου τὸ καίω, ὡς γῶ γαίω, μῶ μαίω, καὶ ὅσα τοιαῦτα. Etym. M.: θυοσκόοι εἰσὶν οἱ ἀπὸ τῶν θυομένων διὰ πυρὸς μαντευόμενοι· ἱερεῖς δὲ οἱ ἀπὸ τῶν ἱερῶν [σπλάγχνων μαντευόμενοι]. cf. χ', 318, ann. ad Il. ω', 221 et Feith. 1, 16, 5. Schol. A ad Il. l. c.: — τὰ μὲν γὰρ θυμιάματα *θύη* καλεῖται, τὰ δὲ σπλάγχνα *ἱερά*· κοινὸν δέ ἐστι τὸ *μάντις*. Villois. ad Ap. h. v.: „θυοσκόοι, inquit Salmasius, vulgo sunt *aruspices*. hinc enim dictos fuisse Thuscos scribit Festus, a sacrificandi studio“ etc. — E: *καλόν*. *καλὸς* ὁ τοιοῦτος διὰ τὸ ἐξ ὕλης τιμίας τοὺς κρατῆρας εἶναι. memorantur sane pluribus in locis poëtarum (ι', 203, ο', 103, Il. ψ', 219, Eurip. Iphig. Aul. et Ione, Virg. Aen. 2, 765 etc.) crateres aurei et argentei, quo pertinent etiam *splendidi*, φαεινοί, ο', 121, Il. γ', 247; dixit tamen hic noster etiam Nympharum crateres lapideos ν', 105., nec opus est, τὸ καλὸν intelligere aureum vel argenteum, ut quidem solet bonus vir E. — *μυχοίτατος* pro μυχότατος, ut παροίτατος (Il. ψ', 459. παροίτεροι ἵπποι), πρωϊαίτερος, προυργιαίτερος, καμινιαῖος, μναaῖος et apud Aristotelem μναϊαῖος, φιλαίτερος, μεσαιπόλιος (Il. ν', 361), Πυλαιμένης, (Il. β', 851), τιθαιβώσσειν (ν', 106), quae exempla protulit E. cf. Il. β', 54. — *ἀτασθαλίαι*. α', 7 etc. — E: τὸ *ἔκαμε χεῖρας ἀτρ.*, *ἁπαλὰς*, ἀγυμνάστου ἀνδρὸς δήλωσις. διασαφητικὸν δὲ τοῦ *ἀτρίπτους* τὸ ἁπαλάς· τὸ γὰρ οὕτως ἄτριπτον καὶ ἁπαλὸν, εἴτε λόφος τραχήλου, εἴτε ποδὸς πέλμα, εἴτε χειρὸς θέναρ. — τὸ δὲ *κεκαδ. ψυχῆς*, ὅ ἐστι στερήσει, ἔστι μὲν ἀπρόσιτον ῥήτορι μὴ μετρικῷ, γίνεται δὲ οὕτως. ἔστι ῥῆμα πρωτότυπον ἄῤῥητον (inusitatum), ἐξ οὗ ῥητὸν (usitatum) παράγωγον χάζω, ὡς φρῶ φράζω, ῥῶ ῥάζω, ἐξ οὗ ἐφάνη γενέσθαι τό τε *ῥάσατε* (ν', 150) κ. τὸ *ἐῤῥάδαται* (ibid. 354.). τούτου τοῦ χάζω δεύτερος ἀόριστος Ἰωνικὸς χάδω, ὅθεν δεύτερος μέλλων χαδῶ, ἐξ οὗ, ἀναγωγῆς γενομένης εἰς ἐνεστῶτα κ. τροπῆς Ἰωνικῆς τοῦ ψιλοῦ εἰς δασὺ (imo τοῦ δασέος εἰς ψιλὸν), γίνεται τὸ καδῶ καδήσω, κ. κατὰ ἀναδιπλασιασμὸν *κεκαδήσω*, ἵνα ᾖ κεκαδήσειν τὸ ἀναγκάσαι τινὰ χάσασθαι, τουτέστιν ὑποχωρῆσαι. οὕτως οὖν καὶ *τόδε τὸ τόξον πολλοὺς ἀριστῆας κεκαδήσει*, τουτέστι ποιήσει χάσασθαι, τῆς *ψυχῆς*. cf. Il. λ', 334. — *ποτιδέγμενοι*. β', 205 etc.

νῦν μέν τις καὶ ἔλπετ' ἐνὶ φρεσὶν, ἠδὲ μενοινᾷ
γῆμαι Πηνελόπειαν, Ὀδυσσῆος παράκοιτιν·
αὐτὰρ ἐπὴν τόξου πειρήσεται, ἠδὲ ἴδηται,
ἄλλην δή τιν' ἔπειτα Ἀχαιϊάδων εὐπέπλων
μνάσθω, ἐέδνοισιν διζήμενος· ἡ δέ κ' ἔπειτα
γήμαιθ', ὅς κε πλεῖστα πόροι, καὶ μόρσιμος ἔλθοι."

quem de male ominatis verbis reprehendit Antinous; tum ignem accendi et sevum efferri jubet, quo calefacto arcus ungatur.

Ὣς ἄρ' ἐφώνησεν, καὶ ἀπὸ ἕο τόξον ἔθηκε,
κλίνας κολλητῇσιν ἐϋξέστης σανίδεσσιν,
αὐτοῦ δ' ὠκὺ βέλος καλῇ προσέκλινε κορώνῃ,
ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου, ἔνθεν ἀνέστη.
Ἀντίνοος δ' ἐνένιπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
„Λειῶδες, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων,
δεινόν τ', ἀργαλέον τε (νεμεσσῶμαι δέ τ' ἀκούων),
εἰ δὴ τοῦτό γε τόξον ἀριστῆας κεκαδήσει
θυμοῦ καὶ ψυχῆς, ἐπεὶ οὐ δύνασαι σὺ τανύσσαι!
οὐ γάρ τοι σέγε τοῖον ἐγείνατο πότνια μήτηρ,
* οἷόν τε ῥυτῆρα βιοῦ τ' ἔμεναι καὶ ὀϊστῶν,
ἀλλ' ἄλλοι τανύουσι τάχα μνηστῆρες ἀγαυοί."
Ὣς φάτο, καί ῥ' ἐκέλευσε Μελάνθιον, αἰπόλον αἰγῶν·
„ἄγρει δὴ, πῦρ κεῖον ἐνὶ μεγάροισι, Μελανθεῦ,
πὰρ δὲ τίθει δίφρον τε μέγαν, καὶ κῶας ἐπ' αὐτοῦ,
ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν ἔνδον ἐόντος,
ὄφρα νέοι θάλποντες, ἐπιχρίοντες ἀλοιφῇ,
τόξου πειρώμεσθα, καὶ ἐκτελέωμεν ἄεθλον."

— μενοινᾷ. β', 34 etc. — πειρήσεται, πειρήσηται. E: ἐν δὲ τῷ πειρήσηται καὶ (sic) ἴδηται τὸ ἴδ. οὐ θέαν δηλοῖ, ἀλλὰ νόησιν, ἐπειδὴ καὶ νοῦς ὁρᾷ, καὶ νοῦς ἀκούει κατὰ τὸν εἰπόντα σοφόν. v. ann. ad α', 328. — Ἀχαιϊάδων εὐπέπλων. Il. ε', 424. de πέπλῳ Ap.: πέπλος ἔνδυμα γυναικεῖον, περόναις διακατεχόμενον. καὶ ἔστι κατὰ τὸ ἔτυμον ἐν συγκοπῇ περίπελος, (?) ὁ περὶ ὅλην τὴν φοροῦσαν πελόμενος, τουτέστι γινόμενος. duxerim potius hanc vocem a πέλω, πεπέλω, unde πέπελος et vocali media elisa πέπλος, vestis mota seu vibrata inter eundum, qualis erat πέπλος, ut qui non indueretur, sicut tunica, χιτὼν, sed injiceretur, cujusmodi vestimentum nostrates vocant *ein fliegendes Kleid*. H. Hase *Class. Alterthumskunde* 1. p. 64., ubi agit de hujusmodi vestimentis mulierum graecarum: „Alle diese Gewänder, wozu man noch das φᾶρος der Kalypso (Od. 5, 230) rechnen darf, waren shawlartige Umwürfe aus wollenem Zeuge, die, ohne eigentlichen Schnitt, nur durch die Nadelspangen (πορπαὶ, περόναι) festgehalten wurden, oder durch den Gürtel (ζώνη)" etc. cf. ann. ad σ', 291.

161, 62. π', 391, 92. Sch.: ἐέδνοισιν διζήμενος. πλήθει ἔδνων ζητῶν· βίᾳ γὰρ καὶ ῥώμῃ οὐ λήψεται.

163—66. 136—39.

167. 84.

168, 169. ποῖον—ὀδόντων; τ', 492 etc. — δεινόν τ', ἀργαλέον τε. ε', 175, 367, μ', 119. — νεμεσσῶμαι. δ', 195, ο', 69 etc.

173. alienum est οἷόν τε. scribamus οἷόν γε. ῥυτῆρα βιοῦ, ut ῥυτῆρας ὀϊστῶν, *sagittarios*, σ', 261.

174—187. μνηστ. ἀγαυοί. β', 87 etc. — ἄγρει. Il. ε', 765, Odyss. υ', 149 etc. — κεῖον. v. E ann. ad 145. — κῶας. π', 47 etc. — E: τροχὸν στέατος (*orbem sevi*, germ. *ein Stück Talg* sive *Unschlitt*), ὥσπερ καὶ τυροῦ, ἀκριβέστερον ἤπερ κύκλον εἰπεῖν· ἐπίπεδον (*planum*, *eine Fläche*) γὰρ ὁ κύκλος κ. ἀβαθὲς, ὁ τοιοῦτος δὲ ὁ τροχός· ὅθεν καὶ οἰκειότερος, ὥσπερ

spe decidunt omnes proci praeter principes, Antinoum et Eurymachum, qui adhuc cessarunt.

Ὣς φάθ'· ὁ δ' αἶψ' ἀνέκαιε Μελάνθιος ἀκάματον πῦρ,
πὰρ δὲ φέρων δίφρον θῆκεν, καὶ κῶας ἐπ' αὐτοῦ,
ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν ἔνδον ἐόντος.
τῷ ῥα νέοι θάλποντες ἐπειρῶντ'· οὐ δ' ἐδύναντο
ἐντανύσαι, πολλὸν δὲ βίης ἐπιδευέες ἦσαν.
Ἀντίνοος δ' ἔτ' ἐπεῖχε, καὶ Εὐρύμαχος θεοειδὴς,
ἀρχοὶ μνηστήρων· ἀρετῇ δ' ἔσαν ἔξοχ' ἄριστοι.

domo egressos Philoetium et Eumaeum convenit Ulysses, voluntatem eorum exploraturus.

Τὼ δ' ἐξ οἴκου βῆσαν ὁμαρτήσαντες ἅμ' ἄμφω
βουκόλος ἠδὲ συφορβὸς Ὀδυσσῆος θείοιο·
ἐκ δ' αὐτὸς μετὰ τοὺς δόμου ἤλυθε δῖος Ὀδυσσεύς.
ἀλλ' ὅτε δή ῥ' ἐκτὸς θυρέων ἔσαν, ἠδὲ καὶ αὐλῆς,
φθεγξάμενός σφ' ἐπέεσσι προσηύδα μειλιχίοισι·
„Βουκόλε, καὶ σὺ, συφορβὲ, ἔπος τί κε μυθησαίμην!
* ἦ αὐτὸς κεύθω; φάσθαι δέ με θυμὸς ἀνώγει.
ποῖοί κ' εἶτ' Ὀδυσῆϊ ἀμυνέμεν, εἴ ποθεν ἔλθοι

ἐπὶ τυροῦ, καὶ ἐπὶ κηροῦ δὲ τοῦ κατὰ τὰς Σειρῆνας (μ', 173), οὕτω καὶ ἐπὶ στέατος. ἀρχαῖον δὲ ἔθος τροχοειδῶς καὶ τὰ στέατα στρογγύλλεσθαι. ἴσως δὲ τῷ στέατι καὶ πιμελὴ νῦν συννοεῖται, ὧν διαφορὰ, ὅτι στέαρ μὲν τὸ τῶν κερασφόρων, ὃ καὶ θρύπτεται ψυχθὲν (quod et frangi potest refrigeratum), πιμελὴ δὲ ἐπὶ τῶν μὴ ἐχόντων κέρατα. (v. Schn. v. στέαρ. de proceleusmatico in hoc genere carminum dixi ann. ad ξ', 103.) τὸ δὲ ἔνεικε προστακτικὸν βοηθεῖ τοῖς μεθ' Ὅμηρον (imo Atticis) εἰς τὴν διὰ τοῦ ε ψιλοῦ γραφὴν τοῦ ἔνεγκε. — θάλποντες τὸ τόξον. — ἐπιχρ. ἀλοιφῇ. σ', 178. — ἀκάματον πῦρ. υ', 123 etc. — πολλὸν βίης ἐπιδευέες, *valde roboris indigi*, debilissimi, ut πολλὸν Ὀδυσῆος δευὴ α', 253. cf. 253, δ', 87 etc. Sch.: δυνάμεως ἐνδεεῖς. frustra est, cum haec addit: ἤτοι τοῦ τόξου, ἢ τοῦ Ὀδυσσέως, quemadmodum et E praeter necessitatem: πολλὸν γὰρ βίης ἐπ. ἦσαν, τῆς κατὰ τὸν Ὀδυσσέα δηλαδὴ, ὡς μετ' ὀλίγα (253. et 54.) δηλοῦται σαφῶς. — Ἀντίνοος — ἄριστοι. cf. δ', 628. et 9., χ', 244, Il. ι', 643 etc. E emend.: ἐπεῖχεν. ἔστι νῦν ἐπέχειν τὸ ἐν τῷ τέως ἀργεῖν, κ. μὴ ἐγχειρεῖν ἔργῳ. ἐκ τούτου δὲ ὕστερον καὶ οἱ ἐφεκτικοὶ φιλόσοφοι (Sceptici) ὠνομάσθησαν. ἐν μέντοι τῷ δαιμονίῃ, τί μοι ἐπέχεις (τ', 71); ἕτερόν τι σημαινόμενόν ἐστι.

188. βῆσαν. Barn.: ἔβησαν, quod sprevisse putandus est Homerus, cum taedio caesurarum similium οἴκου | ἔβησαν | ὁμαρτήσαντες|, tum propterea quia emphasin habet vox οἴκου. magni enim intererat, nunc ipsum pastores domo excedere, quo eos conveniret Ulysses, consiliumque de ulciscendis procis iniret. v. ann. ad 11. Sch.: τὼ — βῆσαν. εἰς τὸν πρόδομον ἐξῆλθον πιθανῶς, ἐπεὶ μακρῷ πρόσθεν (90) ὁ Ἀντίνοός φησι, κλαίετον ἐξελθόντες, καὶ ἅμα ἵνα τῷ Ὀδυσσεῖ συμβάλωσιν. E: ὅτι ἀσχολουμένων τῶν μνηστήρων εἰς τὴν τοῦ τόξου πεῖραν καιρὸν ἔσχεν Ὀδ. ἀναγνωρισθῆναι τοῖς δούλοις. οἱ μὲν οὖν, οἷα εἰκὸς, προσεξῆλθον, οὕτω δόξαν αὐτοῖς, ἢ διὰ λύπην, ἢ καὶ ἄλλως ὁπωσοῦν. — ὁμαρτ., *convenientes*, simul profecti. E: ὁμαρτ. ἄμφω. ἀντὶ τοῦ ἅμα ὁρμήσαντες καὶ, ὡς εἰπεῖν, ὁμοῦ ἀρηρότες ἀλλήλοις. Ap.: ὁμαρτεῖν, συντυχεῖν, quod huc pertinere arbitror. ν', 87 etc.

194. quomodo αὐτὸς, *ipse*? imo αὔτως, *sic*, ut adhuc celavi. non semel ita erratum est: v. β', 194, κ', 300 etc. — φάσθαι. θ', 549, Il. α', 187 etc.

195—198. εἶτε, εἴετε, εἴητε. syncope. Sch. ed. ant.: ποῦ ἂν εἴητε κατὰ τὴν γνώμην; *quomodo animati fueritis?* —

ὧδε μάλ' ἐξαπίνης, καί τις θεὸς αὐτὸν ἐνείκοι;
ἦ κε μνηστήρεσσιν ἀμύνοιτ', ἦ 'Οδυσῆϊ;
εἴπαθ', ὅπως ὑμέας κραδίη θυμός τε κελεύει!"

ambo sincere optant reditum Ulyssis.

Τὸν δ' αὖτε προσέειπε βοῶν ἐπιβουκόλος ἀνήρ·
„Ζεῦ πάτερ, αἲ γὰρ τοῦτο τελευτήσειας ἐέλδωρ,
ὡς ἔλθοι μὲν κεῖνος ἀνήρ, ἀγάγοι δέ ἑ δαίμων·
γνοίης χ', οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕπονται."
Ὣς δ' αὔτως Εὔμαιος ἐπεύχετο πᾶσι θεοῖσι,
νοστῆσαι 'Οδυσῆα πολύφρονα ὅνδε δόμονδε.
αὐτὰρ ἐπειδὴ τῶνγε νόον νημερτέ' ἀνέγνω,
ἐξαῦτίς σφ' ἐπέεσσιν ἀμειβόμενος προσέειπεν·

Ulyssis, agnoscendum illis se dantis, oratio.

„Ἔνδον μὲν δὴ ὅδ' αὐτὸς ἐγώ, κακὰ πολλὰ μογήσας,
ἤλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
γιγνώσκω δ', ὡς σφῶϊν ἐελδομένοισιν ἱκάνω

ἐνείκοι, ut Il. σ', 147. — Sch. *ἐνεῖκαι.* (sic etiam A. 2. et Harl., item Ap. v. *ἐνεῖκαι.* sed A. 4. et plerique codd.: *ἐνείκῃ*, quod commemoravit Schol. Harl. A. 3, W, B: *ἐνείκοι.* E: *ἐνέγκοι*, more recentiorum. similiter variant libri l. c. Iliadis.) *ἐνέγκοι, ἀγάγοι. si quis illum deus attulerit?* cf. 201. — *κραδίη κ. θυμός.* 342, α', 353, θ', 204, Il. ν', 784 etc. tautologia emphatica.

202. υ', 237.

205—207. *νημερτέα.* α', 86 etc. — *κακὰ π. μογ.* ζ', 175 etc. „Virg. Aen. 1, 594.: *coram, quem quaeritis, adsum, Troïus Aeneas.*" Cl.

208. π', 206, τ', 484, ω', 321. cf. ψ', 102, et Alithersae vaticinium 170—76.

209. Montbel.: „*Je reconnais que vous seuls parmi mes serviteurs avez desiré mon retour.* Knight supprime les 7 vers suivants de ce discours d'Ulysse, qu'il trouve mal liés avec ceux qui précèdent et d'ailleurs exprimant des sentiments peu conformes aux moeurs des anciens. (proprie Knight.: „210—6. Ejusdem *κόμματος* esse, hiatus [?] non suo loco, et sententia a veterum moribus aliena plane probant." dicit autem haec ejusdem *κόμματος* ac versus 157—62., quos e solito rhapsodorum studio amplificandi orationes profectos esse putat; id quod juncturam satis ostendere.) Je ne vois pas en quoi les promesses qu' Ulysse fait aux 2 pasteurs fidèles sont opposées aux usages des siècles héroïques, au contraire, que le vers 214, compris dans le retranchement, indique un usage des temps anciens qui me paraît fort remarquable. *Ἄξομαι ἀμφοτέροις ἀλόχους, je vous donnerai à tous deux des épouses.* C'est-à-dire qu'il les affranchira de l'esclavage, et les admettra à l'honneur d'avoir une famille." Feithius quoque 2, 20, 6., quo capite agit de servis: „*Liberabantur*," inquit, „nonnunquam dominorum potestate. quod pollicetur bubulco ac subulco Ulysses, interfectis eorum ope procis, Odyss. 21, 214 seqq. et Plut. Hellan. Problem. 14. narrat, Telemachum Eumaeum ac socios libertate donatos civibus inseruisse; unde Coliadarum ac Bucoliorum genus in Ithace celebratum permansit." sed non invenio exemplum manumissionis, quod quidem certum sit, apud Homerum: neque enim illam necesse est intelligi in matrimonio et peculio domoque propria, quae hic dicuntur. sic Dolii uxor et filii Melantheus aliique saepius memorantur (ω', 210, 386—88 etc.), non item manumissio, sed servos tantum Laërtae dicit ω', 207.: *ἔνθα οἱ οἶκος ἔην, — Ἐν τῷ σιτέσκοντο καὶ ἵζανον ἠδὲ ἴανον Δμῶες ἀναγκαῖοι.* et de ipso Eumaeo et Philoetio E ad 216 : *τὸ μὴ μόνον ἑτάρους, ἀλλὰ καὶ κασιγνήτους τῷ Τηλεμάχῳ τοὺς δούλους ἔσεσθαι, κολακεία καίριος φανερά· πῶς γὰρ ἂν ἔσονται κασίγνητοι τῷ δεσπότῃ οἱ δοῦλοι;* vereor itaque, ne recentioris aevi morem Homero affinxerint viri docti. ceterum vulgaris servorum, vel probatissimorum,

οἴοισι δμώων· τῶν δ' ἄλλων οὔ τευ ἄκουσα
εὐξαμένου, ἐμέ γ' αυτις ὑπότροπον οἴκαδ' ἱκέσθαι.
σφῶϊν δ', ὡς ἔσεταί περ, ἀληθείην καταλέξω.
εἴ χ' ὑπ' ἐμοίγε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυοὺς,
ἄξομαι ἀμφοτέροις ἀλόχους, καὶ κτήματ' ὀπάσσω,
οἰκία τ' ἐγγὺς ἐμεῖο τετυγμένα, καί μοι ἔπειτα
* Τηλεμάχου ἑτάρω τε, κασιγνήτω τε, ἔσεσθον.
εἰ δ', ἄγε δὴ, καὶ σῆμα ἀριφραδὲς ἄλλο τι δείξω,
ὄφρα μ' εὖ γνῶτον, πιστωθῆτόν τ' ἐνὶ θυμῷ,
οὐλὴν, τήν ποτέ με σῦς ἤλασε λευκῷ ὀδόντι,
Παρνησόνδ' ἐλθόντα σὺν υἱάσιν Αὐτολύκοιο."

eorum gaudia flebilia.

Ὣς εἰπὼν ῥάκεα μεγάλης ἀποέργαθεν οὐλῆς.
τὼ δ' ἐπεὶ εἰσιδέτην, εὖ τ' ἐφράσσαντο ἕκαστα,
κλαῖον ἄρ', ἀμφ' Ὀδυσῆϊ δαΐφρονι χεῖρε βαλόντε,
καὶ κύνεον ἀγαπαζόμενοι κεφαλήν τε, καὶ ὤμους·
ὣς δ' αὔτως Ὀδυσεὺς κεφαλὰς καὶ χεῖρας ἔκυσσε.
καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
εἰ μὴ Ὀδυσσεὺς αὐτὸς ἐρύκακε, φώνησέν τε·

sors describitur verbis illis Eumaei ο', 367.: αὐτὰρ ἐμὲ χλαῖνάν τε, χιτῶνά τε, εἵματ' ἐκείνη Καλὰ μάλ' ἀμφιέσασα, ποσὶν δ' ὑποδήματα δοῦσα, Ἀγρόνδε προΐαλλε· φίλει δέ με κηρόθι μᾶλλον.

211. sic nonnulli apud Cl. vulgo: ἐμὲ αὖτις. — ὑπότροπον. υ', 332, χ', 35 etc.

215, 216. καί μοι — ἔσεσθον. quid hoc sibi vult, pastores illos seniores in posterum Telemachi adolescentis sodales fratresque futuros esse, non ipsius Ulyssis aequaevi, et ejus, cui potissimum nunc opitulabuntur? apparet in annotatione Eustathii ad h. l., cujus annotationis partem in superioribus perscripsi, eum Τηλεμάχῳ legisse in suis libris, non Τηλεμάχου, quod quidem nunc habet in verbis poëtae p. 1907, 2., sed refictis illis procul dubio ad vulgatam scripturam, more librariorum. Barn. quoque Τηλεμάχῳ se invenisse ait in nonnullis exemplaribus. fallor, an latet aliquid? nam ipsum Τηλεμάχῳ non magis proficit quam Τηλεμάχου, sed viam pandere videtur emendationis. scribamus καί μοι ἔπειτα Τηλεμάχω ἑτέρω τε, κασίγνητοί τε, ἔσεσθον, *et mihi postea et alteri Telemachi, et fratres, eritis.* alteros eos sibi Telemachos futuros ait, quemadmodum Cic. *alterum Verrem* dixit Verr. 5, 33. et Epist. ad Fam. 5, 8.: *me sicut alterum parentem diligit*, sententia praeclara, qua per climacem patheticam se optimos illos pastores liberorum, imo fratrum, loco habiturum esse Ulysses dicit. quodsi divinavimus, non difficile dictu est, quomodo haec labem traxerint. confundi enim solent αι et ε in libris, ipsorumque verborum ἕτερος et ἑταῖρος permixtorum exempla protulerunt Jacobs. Anthol. Palat. 3. p. 560., L. Dindorfius indice Diodori Sic., aliique. ita et h. l. ἑτέρω transierit in ἑταίρω, cujus in locum metri gratia corrector aliquis ἑτάρω suffecisse putandus est; quo facto cum sensu cassum videretur Τηλεμάχω, scripserunt Τηλεμάχῳ, vel, quod etiam apertius tritiusque esset, Τηλεμάχου.

217—224. εἰ δ', ἄγε. ι', 37. — σῆμα ἀριφραδές. λ', 125. — οὐλὴν, — Αὐτολύκοιο. cf. τ', 465. et 66., totumque illum locum. — ἀποέργαθεν, ἀπεῖργε, *reduxit*. Il. φ', 599. cf. γ', 296. — ἐφράσσαντο. τ', 485 etc. — ἀμφ' Ὀδυσσῆϊ — ὤμους. gaudio exsultant servi, idque familiarius, ut π', 15., ρ', 35, χ', 499.

226. π', 220. cf. ψ', 241, Il. ψ', 154. „Virg. Aen. 6, 537.: *et fors omne datum traherent per talia tempus.* et 11, 201.: — *neque avelli possunt, nox humida donec Invertit coelum.*" Cl.

quos fletu abstinere jussos edocet Ulysses, quid faciendum sit.

„Παύεσθον κλαυθμοῖο, γόοιό τε, μή τις ἴδηται
ἐξελθὼν μεγάροιο, ἀτὰρ εἴπῃσι καὶ εἴσω,
ἀλλὰ προμνηστῖνοι ἐσέλθετε, μηδ' ἅμα πάντες·
πρῶτος ἐγὼ, μετὰ δ' ὔμμες. ἀτὰρ τόδε σῆμα τετύχθω.
ἄλλοι μὲν γὰρ πάντες, ὅσοι μνηστῆρες ἀγαυοὶ,
οὐκ ἐάσουσιν ἐμοὶ δόμεναι βιὸν, ἠδὲ φαρέτρην·
ἀλλὰ σὺ, δῖ' Εὔμαιε, φέρων ἀνὰ δώματα τόξον,
ἐν χείρεσσιν ἐμοὶ θέμεναι, εἰπεῖν τε γυναιξὶ
κληῖσσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας·
ἢν δέ τις ἢ στοναχῆς ἠὲ κτύπου ἔνδον ἀκούσῃ
ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι, μήτι θύραζε
προβλώσκειν, ἀλλ' αὐτοῦ ἀκὴν ἔμεναι παρὰ ἔργῳ.
σοὶ δὲ, Φιλοίτιε δῖε, θύρας ἐπιτέλλομαι αὐλῆς
κληῖσσαι κληῗδι, θοῶς δ' ἐπὶ δεσμὸν ἰῆλαι.“

compacto illi redeunt in aedes.

Ὣς εἰπὼν εἰσῆλθε δόμους εὐναιετάοντας,
ἕζετ' ἔπειτ' ἐπὶ δίφρον ἰὼν, ἔνθεν περ ἀνέστη·
ἐς δ' ἄρα καὶ τὼ δμῶε ἴτην θείου Ὀδυσῆος.

Eurymachus, postquam et ipse frustra tentavit arcum, miseratur procorum ignaviam.

Εὐρύμαχος δ' ἤδη τόξον μετὰ χερσὶν ἐνώμα,
θάλπων ἔνθα καὶ ἔνθα σέλα πυρός. ἀλλά μιν οὐδ' ὧς
ἐντανύσαι δύνατο· μέγα δ' ἔστενε κυδάλιμον κῆρ,
ὀχθήσας δ' ἄρα εἶπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
„Ὢ πόποι, ἦ μοι ἄχος περί τ' αὐτοῦ καὶ περὶ πάντων!
οὔτι γάμου τοσσοῦτον ὀδύρομαι, ἀχνύμενός περ
(εἰσὶ καὶ ἄλλαι πολλαὶ Ἀχαιΐδες, ἡ μὲν ἐν αὐτῇ
ἀμφιάλῳ Ἰθάκῃ, ἠδ' ἄλλῃσιν πολίεσσιν),
ἀλλ' εἰ δὴ τοσσόνδε βίης ἐπιδευέες εἰμὲν
ἀντιθέου Ὀδυσῆος, ὅτ' οὐ δυνάμεσθα τανύσσαι
τόξον· ἐλεγχείη δὲ καὶ ἐσσομένοισι πυθέσθαι.“

230—235. Am. Q.: *προμνηστῖνοι* (λ', 232). *εἷς παρ' εἷς, τὸ λεγόμενον, ἄλλος πρὸ ἄλλου, ὅ ἐστι παραμένοντες ἀλλήλους.* — *σῆμα*, *signum* agendi atque incipiendae *μνηστηροφονίας.* — *ἐάσουσιν τρισυλλάβως* pronuntiandum est. v. Il. ε', 256. — *ἀνὰ δώματα*, *per aedes.* — *εἰπεῖν τε.* A. 2. et 3.: *εἰπ. δέ.*

236—39. cf. 382—85. E: *μεγάροιο. τῆς γυναικωνίτιδος.* — *θύρας πυκ. ἀρ.* Il. ι', 475. cf. Il. ξ', 167 etc. — Sch.: *ἐν ἕρκεσι. τοῖς τοιχίοις.* — *προβλώσκειν* (τ', 25). *προϊέναι ἔξω.* — *ἄκην ἔμεναι.* β', 82 etc.

241. *δεσμὸν, ἱμάντα.* 46.

245—259. *ἐνώμα*, *tractabat.* 393, κ', 32 etc. — *σέλα.* σ', 353 etc. — E: *κυδ. κῆρ. κατὰ ψυχήν.* — *εἶπεν*, — *ὀνόμαζεν.* frequens apud Hom. est illud *ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν:* hic tertium *συνώνυμον* addit *εἶπε* propter majorem emphasin. A. tamen 2. et 3. et MS. Thom. Bentleji: *εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν.* — *ἄχος ἐστί.* — *αὐτοῦ, ἐμαυτοῦ.* — *πάντων μνηστήρων.* — *γάμου.* genit. causae. — *βίης ἐπ.* 185. — argutius quam verius, opinor, E: *ὅρα τὸ ἀντιθέου Ὀδ. παραῤῥιφὲν ἐπὶ θεραπείᾳ τῆς λύπης, ὡς μὴ καινὸν ὂν, εἰ τοιούτου ἀνδρὸς λείπονται.* — *ἐλεγχείη δέ* — *πυθ. δὲ* causale. — *νοέεις* — *αὐ-*

differri vult Antinous certamen in posterum diem, sub praetextu festi Apollinaris.

Τὸν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
„Εὐρύμαχ', οὐχ οὕτως ἔσται· νοέεις δὲ καὶ αὐτός.
νῦν μὲν γὰρ κατὰ δῆμον ἑορτὴ τοῖο θεοῖο
ἁγνή· τίς δέ κε τόξα τιταίνοιτ'; ἀλλὰ ἕκηλοι
κάτθετ', ἀτὰρ πελέκεάς γε καὶ εἴ κ' εἰῶμεν ἅπαντας
ἑστάμεν· οὐ μὲν γάρ τιν' ἀναιρήσεσθαι ὀΐω,
ἐλθόντ' ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
ἀλλ' ἄγετ', οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν,
ὄφρα σπείσαντες καταθείομεν ἀγκύλα τόξα.
ἠῶθεν δὲ κέλεσθε Μελάνθιον, αἰπόλον αἰγῶν,
αἶγας ἄγειν, αἳ πᾶσι μέγ' ἔξοχοι αἰπολίοισιν,
ὄφρ' ἐπὶ μηρία θέντες Ἀπόλλωνι κλυτοτόξῳ,
τόξου πειρώμεσθα, καὶ ἐκτελέωμεν ἄεθλον."

quod ejus consilium approbantes procos Ulysses petit veniam sagittandi.

Ὣς ἔφατ' Ἀντίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο,
νώμησαν δ' ἄρα πᾶσιν, ἐπαρξάμενοι δεπάεσσιν.
οἱ δ' ἐπεὶ οὖν σπεῖσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμός,
τοῖς δὲ δολοφρονέων μετέφη πολύμητις Ὀδυσσεύς·
„Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης·
[ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει·]
Εὐρύμαχον δὲ μάλιστα καὶ Ἀντίνοον θεοειδέα

τὸς, *hoc et ipse intelligis.* formula modeste reprehendendi. — E: τίς δ' ἂν καὶ τ. τιταίνοιτο; ὡς τῆς ἑορτῆς ἀργίαν (cessationem cujusvis operis) ἐθελούσης.

260. κάτθετε, κατάθετε. τ', 317 etc. — ἀτὰρ — ἑστάμεν. καλῶς ἔχει vel quiddam simile supplet Cl., ut Il. α', 135, φ', 487, Odyss. δ', 831. sed nescio quid affectati hic habere mihi videtur istud ἀναναποδότον, et usitatiores eo in genere sunt hae formulae, εἰ μὲν —, εἰ δὲ —, vel εἰ δὲ — per se, vel εἰ οὖν. quare malim ἀτὰρ πελέκεάς γε καὶ ἧκ' εἰῶμεν ἅπ. ἑστάμεν per hyberbaton pro hoc ἀτὰρ καὶ πελ. γε ἅπ. εἰῶμεν ἑστ. ἧκα, *etiamque secures omnes quiete sinamus stare*, quod enunciatum poëta sic simpliciter, nec mutata forma orationis, subjecerit similibus illis, quae antecedunt, ἀλλὰ ἕκηλοι κατάθετε τόξον. πελέκεας ἧκα ἑστάμεν, ut χιτῶνας ἧκα στίλβοντας ἐλαίῳ Il. σ', 595. cf. Odyss. ρ', 254 etc. de η et ει confusis v. Boissonad. ad Il. δ', 384, nos ad Odyss. τ', 327, υ', 86.

263. σ', 417. E: κελεύει τὸν οἰνοχόον ἐπάρξασθαι δεπάεσσιν ἐπὶ σπονδῇ. E: ἔνθα ὅρα καὶ ὡς οἱ περὶ τὸ θεῖον ῥάθυμοι δι' ἀνάγκην ἐπὶ τὸ θύειν ἔρχονται, οὐ δ' ἐν τῇ θυσίᾳ πάντως ἀπαλλαγησόμενοι τοῦ πολυφαγεῖν. — ἑορτὴ δὲ ἦν ἄρτι, ὡς προείρηται (υ', 156), Ἀπόλλωνος ἡλίου διὰ τὴν ἐν τριακάδι σύνοδον. Ἀπόλλωνος γὰρ ἱερὰ πᾶσα νουμηνία, καθὰ καὶ ἡ τοῦ σεληνιακοῦ μηνὸς ἑβδόμη, ὡς γενέθλιος Ἀπόλλωνος.

267. Ἀπόλλ. κλυτοτόξῳ. ρ', 494 etc.

271—273. γ', 338—342 etc.

275. ρ', 370 etc.

276. versus haud dubie sublectus ρ', 469, vel σ', 350, quo carent iidem scripti illi, quos nominavimus ann. ad 248, editioque Wolfii; nec E habet.

277. versus hypermeter. v. Weicherti Comment. de versu hypermetro poëtarum epicorum, G. P. E. Wagneri ann. ad Virg. Georg. 2, 69, J. P. Krebsii, viri doctissimi, *Praktische Metrik* pag. 17, etc.

λίσσομ', ἐπεὶ καὶ τοῦτο ἔπος κατὰ μοῖραν ἔειπε,
νῦν μὲν παῦσαι τόξον, ἐπιτρέψαι δὲ θεοῖσιν·
ἠῶθεν δὲ θεὸς δώσει κράτος, ᾧ κ' ἐθέλῃσιν.
ἀλλ' ἄγε μοι δότε τόξον ἐΰξοον, ὄφρα μεθ' ὑμῖν
χειρῶν καὶ σθένεος πειρήσομαι, εἴ μοι ἔτ' ἐστὶν
ἴς, οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν,
ἦ ἤδη μοι ὄλεσσεν ἄλη τ', ἀκομιστίη τε."

illi vehementer irasci, praesertim Antinous, qui verbis eum castigat, et supplicium minatur.

Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὑπερφιάλως νεμέσησαν,
δείσαντες, μὴ τόξον ἐΰξοον ἐντανύσειεν.
Ἀντίνοος δ' ἐνένιπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
„Ἆ δειλὲ ξείνων, ἔνι τοι φρένες οὐδ' ἠβαιαί!
οὐκ ἀγαπᾷς, ὃ ἕκηλος ὑπερφιάλοισι μεθ' ἡμῖν
δαίνυσαι, οὐδέ τι δαιτὸς ἀμέρδεαι, αὐτὰρ ἀκούεις
μύθων ἡμετέρων, καὶ ῥήσιος, οὐδέ τις ἄλλος
ἡμετέρων μύθων ξεῖνος καὶ πτωχὸς ἀκούει.
οἶνός σε τρώει μελιηδὴς, ὅστε καὶ ἄλλους

278—284. *καὶ τοῦτο*, *etiam hoc*, ut antea illud 176—180. Sch.: *ἐπεὶ — ἔειπεν.* ὁ Ἀντίνοος. πρὸς γὰρ τὸ δεύτερον τὸ πρότερον. (imo: πρὸς γὰρ τὸ πρότερον τὸ δεύτερον, intell. εἶπεν ἔπος, *alterum priori verbo subjecit.*) *ἐπιτρέψαι δὲ θ.* εἶξαι καὶ συγχωρῆσαι τῇ ἑορτῇ. aliter E: ὅρα τὸ ἐπ. *θεοῖσι*, μίγμα ὂν ἐπαίνου καὶ σκώμματος. δῆλον γὰρ, ὡς ἀνέθετο τὰ τοῦ τόξου Ἀντίνοος ἐς τὴν αὔριον, ὡς μὲν αὐτὸς ἂν ἐρεῖ, ἀνατιθεὶς ἁπλῶς θεῷ τὰ τοῦ ἔργου (at vero id non dicit 265—68, sed opem tantum Apollinis κλυτοτόξου expetendam esse significat.), ἀληθῶς δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ὅτι ἀμηχανοῦντες προκαλοῦνται τὸ θεῖον εἰς σύναρσιν. (cf. 338.) — *πειρήσομαι*, π—ωμαι. — *ἐνὶ γναμπτοῖσι μελ.* λ', 393 etc. — E: *ἄλη* (ο', 344) *τε*, *ἀκομιστίη τε.* ἤγουν ἡ πλάνη, καὶ τὸ μὴ ἔχειν κομιδὴν, δι' ἧς τημελεῖται τὸ σῶμα. de producta penultima verbi ἀκομ. v. Il. β', 518 etc.

285. ρ', 481.

287. 84.

288—302. *ἔνι — ἠβαιαί.* Il. ξ', 141.: ἐπεὶ οὔ οἱ ἔνι φρένες, οὐδ' ἠβαιαί. v. ibi ann. — *οὐκ ἀγαπᾷς*, *non satis habes*, non eo contentus es. E: τὸ *οὐκ ἀγ.* (hoc quidem sensu, quem explicui.) ἔπεισε τοὺς ὕστερον ἐπὶ τοῦ ἀρκεῖσθαι τιθέναι τὸ ἀγαπᾷν, ὃ καὶ μετὰ δοτικῆς ἐκεῖνοι συντάσσουσιν. (v. Schn. v. ἀγαπᾷν.) — *ὃ*, ἤγουν *ὅτι.* — Sch.: *ὑπερφιάλοισι.* νῦν τοῖς κατ' ἀρετὴν διαφέρουσι. E: σημειοῦνται οἱ παλαιοὶ, ὡς *ὑπερφιάλους* τοὺς μνηστῆρας ὁ Ἀντίνοος ἐπὶ ἐπαίνῳ φησίν· οὐ γὰρ δήπου ψέγει τοὺς κατ' αὐτόν. εἰ μὴ ἄρα βαρυνόμενος λέγει, ὡς ἄξιος κρίνῃ συνευωχεῖσθαι ἡμῖν τοῖς, ὡς οἱ πολλοί φασιν, ὑπερφιάλοις. hoc tenendum esse ajo, ut ipsa illa appellatione, qua vulgo notabantur proci Penelopae, Antinous utens famam publicam contemnat; quemadmodum olim Belgae, ab Hispanis arrogantibus vocati per contemtum mendici marini, id ipsi nomen assumserunt, tanquam honorificum. praeterea hoc verbo Antinous Telemachum videtur irridere, qui similiter β', 310.: *Ἀντίνο', οὔπως ἔστιν ὑπερφιάλοισι μεθ' ὑμῖν Δαίνυσθαι*, cujus hanc dicas παρῳδίαν. cf. ann. ad 91. paulo modestiorem se praebet Eurymachus 323. cf. 331—33. ceterum v. Il. γ', 106. — *δαίνυσαι, — ἀμέρδεαι.* χαρακτηριστικῶς inculcat rem, quae ipsi et procis summum bonum videtur. — *μύθων ἡμ., καὶ ῥήσιος*, *nostrorum sermonum et colloquii.* tautologia stolidi atque arrogantis, cui magnum pondus habere videntur futiles isti sermones procorum. — E: *τρώει* ἀντὶ τοῦ βλάπτει. (similiter Eurip. Cyclope, 405.: τρώσει νιν οἶνος. Ennius apud Fulgentium Exposit. serm. ant. v. friguttire, Poët. scen. Lat. 5, 2. p. 7.: *nimirum se flore sauciavit Liberi.* Martialis 4, 66, 12.: *saucia vena mero* etc.) γίνεται δὲ ἐκ τοῦ τρῶ, τοῦ συγκοπέντος

βλάπτει, ὅς ἄν μιν χανδὸν ἕλῃ, μηδ' αἴσιμα πίνῃ.
οἶνος καὶ Κένταυρον ἀγακλυτὸν Εὐρυτίωνα
ἄασ' ἐνὶ μεγάρῳ μεγαθύμου Πειριθόοιο,
ἐς Λαπίθας ἐλθόνθ'· ὁ δ' ἐπεὶ φρένας ἄασεν οἴνῳ,
* μαινόμενος κάκ' ἔρεξε δόμον κάτα Πειριθόοιο.
ἥρωας δ' ἄχος εἷλε, διὲκ προθύρου δὲ θύραζε
ἕλκον ἀναΐξαντες, ἀπ' οὔατα νηλέϊ χαλκῷ,
ῥῖνάς τ', ἀμήσαντες. ὁ δὲ, φρεσὶν ᾗσιν ἀασθεὶς
ἤϊεν ἣν ἄτην ὀχέων ἀεσίφρονι θυμῷ.

ἐκ τοῦ τείρω (?). ἐκ τούτου δὲ παρὰ τοῖς ὕστερον καὶ τὸ τιτρώσκω, ὁμοίως τῷ γνῶ γιγνώσκω, παρῆκται, καὶ τὸ τρῶμα κ. ἡ τρώμη ἐπὶ βλάβης Ἰωνικῶς etc. v. Schn. v. τιτράω. — μελιηδής. ζ, 90, Il. ζ', 258 etc. — Ap.: χανδόν. πολὺ, παρὰ τὸ κεχηνότα πίνειν ἀθρόως. „Sch.: χανδόν. ἀθρόως κ. κεχηνότως. Nicander Theriac. 341.: χανδὸν ἀμέτρητον δέχεται ποτὸν, ubi Schol. hunc Homeri locum laudat. Theognis 211.: οἶνόν τοι πίνειν πουλὺν κακόν· ἢν δέ τις αὐτὸν Πίνῃ ἐπισταμένως, οὐ κακὸς, ἀλλ' ἀγαθός.“ E Cl. — αἴσιμα, *justa*, modica. E: τοῦτο δὲ γνωμικῶς εἰς ψόγον μέθης φησί. — ὅρα δὲ, ὅτι προσφυῆ (accommodatam) τοῖς παροῦσιν ὁ π. ἱστορίαν παρέθηκεν. εἰλαπίνη γὰρ ἄρτι λαμπρὰ, ἤδη δὲ καὶ γάμου σκευή· τοιαύτη δέ τις καὶ ἡ κατὰ τοὺς Λαπίθας δαῒς, καθ' ἣν ὁ Εὐρυθίων ἔπαθεν. εἰκὸς δὲ ἦν, τῷ διὰ μέθην ὀνειδιζομένῳ καὶ ἱστορίαν παραχθῆναι ὁμοίαν. — τίνες δὲ οἱ Λαπίθαι, κ. ὡς ἔθνος Θετταλικὸν καὶ αὐτοὶ, δηλοῖ καὶ ἡ Ἰλιὰς (μ', 128—30, 181, 182.), καθ' ἣν περίπυστος καὶ ὁ Πειρίθοος, Λαπίθης ὢν καὶ αὐτός. (de Centauris, item populo Thessaliae antiquissimo, et hac eorum pugna cum Lapithis v. Heyn. Observ. ad Apollod. 2, 5, 4., pag. 146—149.) — τὸ δὲ ἀγακλυτὸν Εὐρ. εἰς ἔνδειξιν κεῖται τοῦ καὶ τοὺς ἀγακλυτοὺς ἀχρειοῦσθαι τῷ οἴνῳ. (epitheta heroum non ad vivum resecanda esse, sed fere omnium communes dotes vel virtutes significare, non fugit viros doctos. praeterea pertinent ad orbem epicae orationis.) τὸ δὲ ἄασεν (δ', 503 etc.) ἀντὶ τοῦ ἔβλαψε. λέξις μέν ἐστιν οὐ κοινὴ, καιριωτάτη δὲ ὡς ἐν ποιήσει. διὸ καὶ τρὶς αὐτῇ ἐνταῦθα χρᾶται Ὅμηρος. ἐκ δὲ τούτου τοῦ ῥήματος καὶ ἡ ἄτη κατὰ συναίρεσιν διὰ διχρόνου ἐκτεταμένου. Virg. Georg. 2, 455., annotante Cl.: *Bacchus et ad culpam causas dedit: ille furentes Centauros leto domuit, Rhoetumque, Pholumque, Et magno Hylaeum Lapithis cratere minantem.* Ovid. Met. 12, 219.: *nam tibi, saevorum saevissime Centaurorum, Euryte, quam vino pectus, tam virgine visa Ardet, et ebrietas geminata libidine regnat.* Eurytum vocat, quem Homerus et alii Eurytionem, ut liberi sunt poëtae in hoc genere, metro servientes; quemadmodum ipse caprarium modo Melantheum, modo Melanthium appellat, et Plautus eosdem Dolum et Dolonem, Tranium et Tranionem. sic etiam Sch. in vulgatis libris: οἶνος καὶ Κένταυρον ἀγακλειτόν. Εὐρύτῳ ὅμως μὲν, ἕνα τῶν ἐν τῷ Πειρίθου γάμῳ Κενταύρων ἀπολομένων τὸν Εὐρυτίωνα λέγει etc.; verum haec corrupta sunt, restituendaque, nisi fallor, in hunc modum: οἶνος καὶ Κέντ. ἀγακλυτὸν Εὐρυτίωνα. ὡς μὲν ἕνα etc. — Am. Q.: μαινόμενος κάκ' ἔρεξε. ἤθελε γὰρ συμμιγῆναι τῇ γυναικὶ τοῦ Πειρίθου. rectius fuerit ἔρεζε in actione, quae non venit ad finem. cf. 100. haec verba etiam Il. β', 400. confusa sunt, nec ita raro librarii ζ et ξ litteras permiscuerunt; qua de re videsis Bastium Epist. crit. ad Boissonad. p. 13., nos ann. ad Aeschyl. Ag. 885, Soph. Antig. 297, Eurip. Phoen. 1309. — ἄχος, *dolor*; ira ex dolore. — εἷλε, *cepit*, invasit. ω', 533.: τοὺς δὲ χλωρὸν δέος εἷλε. cf. Il. γ', 35, ε', 47 etc. — ἀπ' οὔατα — ἀμήσαντες. cf. σ', 85. ἀμήσαντες, θερίζαντες, quasi dicas, *abmähend*. Il. ω', 451. E: τὸ οὔατα ῥῖνάς τε ἀμ. ἀντὶ τοῦ ἐκτεμόντες κ. ῥᾷον ἀποκόψαντες, ὡσεὶ καί τι φυτὸν ἀμώμενον. — φρεσὶν ᾗσιν ἀασθεὶς, *mente sua laesus* ebrietate. 296, 97. ὀχέων, *ferens*, tolerans. α', 297. E: τὸ ἣν ἄτην ὀχ. ἀστείως (?) εἴρηται ἀντὶ τοῦ ὀχῶν κ. βαστάζων τὴν ἑαυτοῦ βλάβην, ὡς οἷά τις ἀχθοφορῶν

* ἐξ οὗ Κενταύροισι καὶ ἀνδράσι νεῖκος ἐτύχθη,
οἷ τ' αὐτῷ πρώτῳ κακὸν εὕρετο οἰνοβαρείων.
ὣς καὶ σοὶ μέγα πῆμα πιφαύσκομαι, αἴ κε τὸ τόξον
ἐντανύσῃς· οὐ γάρ τευ ἐπητύος ἀντιβολήσεις
ἡμετέρῳ ἐνὶ δήμῳ, ἄφαρ δέ σε νηῒ μελαίνῃ
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,
πέμψομεν· ἔνθεν δ' οὔτι σαώσεαι. ἀλλὰ ἕκηλος
πῖνέ τε, μηδ' ἐρίδαινε μετ' ἀνδράσι κουροτέροισι."

hospitibus incommodari vetat Penelope, negatque metuendum esse, ne hospes ille se uxorem ducere cupiat immodeste, etiamsi tendat arcum.

Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
„Ἀντίνο', οὐ μὲν καλὸν ἀτέμβειν, οὐδὲ δίκαιον,
ξείνους Τηλεμάχου, ὅς κεν τάδε δώμαθ' ἵκηται.
ἔλπεαι, αἴ χ' ὁ ξεῖνος Ὀδυσσῆος μέγα τόξον
ἐντανύσῃ, χερσίν τε βίῃφί τε ἧφι πιθήσας,
οἴκαδέ μ' ἄξεσθαι, καὶ ἑὴν θήσεσθαι ἄκοιτιν;
οὐδ' αὐτός που τοῦτό γ' ἐνὶ στήθεσσιν ἔολπε,
μηδέ τις ὑμείων τοῦγ' εἵνεκα θυμὸν ἀχεύων
ἐνθάδε δαινύσθω, ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικε."

respondet Eurymachus, tamen procos famam ignaviae pertimescere, si tendat.

Τὴν δ' αὖτ' Εὐρύμαχος, Πολύβου πάϊς, ἀντίον ηὔδα·
„κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
οὔτι σε τόνδ' ἄξεσθαι ὀϊόμεθ', οὐδὲ ἔοικεν,
ἀλλ' αἰσχυνόμενοι φάτιν ἀνδρῶν, ἠδὲ γυναικῶν,
μή ποτέ τις εἴπῃσι κακώτερος ἄλλος Ἀχαιῶν·
ἦ πολὺ χείρονες ἄνδρες ἀμύμονος ἀνδρὸς ἄκοιτιν
μνῶνται, οὐδέ τι τόξον ἐΰξοον ἐντανύουσιν,
ἀλλ' ἄλλος τις, πτωχὸς ἀνὴρ ἀλαλήμενος ἐλθὼν,
ῥηϊδίως ἐτάνυσσε βιὸν, διὰ δ' ἧκε σιδήρου.

ἱπποκένταυρος etc. — ἀεσίφρονι θυμῷ, *dementi animo.* v. ο', 469, Il. υ', 183.

303. male cohaeret hic versus, estque procul dubio immittendus post 298., et ἥρωας δὲ intelligendum ἥρ. γὰρ, quemadmodum saepe causam indicat δὲ particula, post θυμῷ autem virgula interpungendum.

305—310. πιφαύσκομαι, *dico, praedico, denuntio.* β', 32, 44 etc. — Sch.: ἐπητύος· μεταιτήσεως. similia habet E, apud quem scribendum est ὡς ἀπὸ τοῦ μεταιτεῖν pro ἐπαιτεῖν, *a mendicando.* ἕτεροι δὲ ἐπητὺν, inquit, τὸν ἐν λόγοις φασὶν ἔπαινον, ὡς ἀπὸ τοῦ ἐπήτης (ν', 332) ἢ ἐπητὴς ὀξυτόνως, ὃ δηλοῖ τὸν φρόνιμον κ. λόγιον. hoc prorsus alienum est; sed ne in altera quidem illa explicatione acquiescas, sed videtur ἐπητὺς intelligenda esse ἐπέλευσις, *aditus*, accessus, a verbo obsoleto ἐπέω, ἔπειμι. — rursum E: ἀντιβολῆσαι δὲ νῦν τὸ ἐπιτυχεῖν· ἐν ἄλλοις δὲ (velut δ', 547) τὸ συναντῆσαι, παρὰ δὲ τοῖς ὕστερον καὶ τὸ ἱκετεῦσαι.— de *Echeto* v. σ', 84. — σαώσεαι. γ', 231 etc. — ἐρίδαινε, *contende.* β', 206 etc. — κουροτέροισι, *junioribus.* Il. δ', 316.

312, 13. υ', 294, 95.

314—334. ἔλπεαι, *putasne.* Il. ο', 110 etc. — πιθήσας, *fretus.* Il. δ', 398 etc. — ἀχεύων. β', 23 etc. — ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικε. v. δ', 805, Il. ζ', 130. — φάτιν. scil. κακήν. ἐσθλὴν dixit ζ', 29. cf. ψ', 362. — κακώτερος, κακὸς, paulo improbior

ὡς ἐρέουσ', ἡμῖν δ' ἂν ἐλέγχεα ταῦτα γένοιτο."

quem irridens regina arcum dari jubet hospiti robusto, nec ignobili de ipsius verbis, praemiaque promittit homini, si res successerit.

Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
„Εὐρύμαχ', οὔπως ἔστιν εὐκλεῖας κατὰ δῆμον
ἔμμεναι, οἳ δὴ οἶκον ἀτιμάζοντες ἔδουσιν
ἀνδρὸς ἀριστῆος· τί δ' ἐλέγχεα ταῦτα τίθεσθε;
οὗτος δὲ ξεῖνος μάλα μὲν μέγας ἠδ' εὐπηγής.
* πατρὸς δ' ἐξ ἀγαθοῦ γένος εὔχεται ἔμμεναι υἱός.
ἀλλ' ἄγε οἱ δότε τόξον ἐΰξοον, ὄφρα ἴδωμεν.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
εἴ κέ μιν ἐντανύσῃ, δώῃ δέ οἱ εὖχος Ἀπόλλων,
* ἕσσω μιν χλαῖνάν τε, χιτῶνά τε, εἵματα καλά,
δώσω δ' ὀξὺν ἄκοντα, κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν,
καὶ ξίφος ἄμφηκες· δώσω δ' ὑπὸ ποσσὶ πέδιλα,
πέμψω δ', ὅππῃ μιν κραδίη θυμός τε κελεύει."

contra Telemachus sibi arcus potestatem esse ait, matremque in gynaeceum se recipere jubet.

Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„μῆτερ ἐμή, τόξον μὲν Ἀχαιῶν οὔτις ἐμεῖο
κρείσσων, ᾧ κ' ἐθέλω, δόμεναί τε, καὶ ἀρνήσασθαι,
οὔθ' ὅσσοι κραναὴν Ἰθάκην κατακοιρανέουσιν,
οὔθ' ὅσσοι νήσοισι πρὸς Ἤλιδος ἱπποβότοιο·
τῶν οὔτις μ' ἀέκοντα βιήσεται, αἴ κ' ἐθέλωμι

— ἐλέγχεα, *probra.* Il. λ', 314.: δὴ γὰρ ἔλεγχος Ἔσσεται, εἴ κεν νῆας ἕλῃ κορυθαίολος Ἕκτωρ. ξ', 40. et saepe alias id dicit ἐλεγχείην, ἐλέγχεα vero homines probrosos, praesertim addito κακά, velut Il. ε', 787. — εὐκλεῖας. Il. κ', 281. — οἶκον ἀτ. ἔδουσιν. β', 237, α', 250 etc. — ἀριστῆος. ζ', 34 etc. — E: τὸ εὐπηγὴς εὐπαγὴς φασιν οἱ μεθ' Ὅμηρον. Sch.: εὐπηγής. εὐπαγής. Am. Q.: εὐτραφής. Ap. emend.: εὐπηγής. εὖ τεθραμμένος. nostrates id dicunt *wohlgebaut*, Francogalli *bienfait.* idem est εὔπηκτος, in rebus illud usurpari solitum.

335. πατρὸς A. 2. et 3., MS. Th. Bentleji, W, B. ceteri: ἀνδρός. E utrumque memorat. nolui auctoritatem defugere virorum doctissimorum; ceterum πατρὸς speciem habet interpretationis, non contra. ἀγαθοῦ γένος, *boni quod attinet ad genus*, h. e. nobilis, non probi, aut strenui. ita haec explices, quae male habuerunt Ernestium et olim Eustathium, cum alterum verborum γένος et υἱὸς sufficere orationi existimarent. nec diffiteor, desiderare me in hisce et facilitatem Homeri, et εὐφωνίαν, suspicorque hoc eum dixisse: ἀνδρὸς δ' ἐξ ἀγαθοῦ γένεος ἔμεν εὔχεται υἱός. forte scripserint γένος, dein metri gratia ἔμμεναι, et vocibus trajectis εὔχεται ἔμμεναι, de duritie sermonis atque homoeoteleuto securi, ut solent hoc in genere librarii.

337. τ', 487 etc. τὸ δέ, τὸ δή.

338. δώῃ — Ἀπόλλων. v. ann. ad 279. et cf. χ', 7.

339—342. π', 79—81. malim hic quoque ἕσσω μέν. — ὀξὺν — ἀνδρῶν. ξ', 533.

345. E: ὅτι κεῖται καὶ ἐνταῦθα τὸ κρείσσων ἐπὶ ἐγκρατοῦς κ. ἐξουσίαν ἔχοντος. — οὐκοῦν καὶ ἐν Ἰλιάδι (α', 80) τὸ κρείσσων γὰρ βασιλεύς, ὅτε χώσεται, καὶ ἑξῆς, τοιαύτην τινὰ σημασίαν ἔχει.

346. v. α', 247.

347. Ἤλιδος ἱπποβότοιο. v. δ', 635.

* καὶ καθάπαξ ξείνῳ δόμεναι τάδε τόξα φέρεσθαι.
ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σ' αὐτῆς ἔργα κόμιζε,
ἱστόν τ', ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ἔργον ἐποίχεσθαι. τόξον δ' ἄνδρεσσι μελήσει
πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ οἴκῳ.“

introït Penelope cum ancillis, tandemque ope Palladis obdormit.

Ἡ μὲν θαμβήσασα πάλιν οἶκόνδε βεβήκει·
παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ.
ἐς δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ
κλαῖεν ἔπειτ' Ὀδυσῆα, φίλον πόσιν, ὄφρα οἱ ὕπνον
ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.

interea subulcus aufert arcum et sagittas, procis indignantibus.

Αὐτὰρ ὁ τόξα λαβὼν φέρε καμπύλα δῖος ὑφορβός·
μνηστῆρες δ' ἄρα πάντες ὁμόκλεον ἐν μεγάροισιν.
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
„Πῇ δὴ καμπύλα τόξα φέρεις, ἀμέγαρτε συβῶτα,
πλαγκτέ; τάχ' ἄν σ' ἐφ' ὕεσσι κύνες ταχέες κατέδονται,

349. E: τὸ καθάπαξ ἀντὶ τοῦ εἰς τὸ παντελὲς ἅπαξ ἐνταῦθα εἰρῆσθαι, σημειοῦνται οἱ παλαιοί, λέγοντες καὶ ὅτι οὐδὲ κατάληξις εἰς ξ καὶ ἀρχὴ αὖθις ἀπὸ τοῦ αὐτοῦ ἑτέρωθί πού ἐστι παρὰ τῷ ποιητῇ, ἀλλ' ἢ μόνον ἐνταῦθα ἐν τῷ καθάπαξ ξείνῳ δόμεναι. at cur, quaeso, tam dure locutus fuerit Homerus, cum posset leniter: καὶ καθάπαξ δόμεναι ξείνῳ, vel καὶ ξείνῳ καθ. δόμ.? sane vel alterutrum horum ponendum arbitror, vel hoc: καὶ καθάπαν ξείνῳ etc. scripserint καθάπᾱξείνῳ, mox, temere geminata littera, ut saepe factum scimus, καθάπαξξείνῳ.

350—358. haec itidem leguntur α', 356—364, nisi quod ibi Telemachus μῦθον dicit pro τόξῳ. praeterea Ald. 3. habet τῷ γὰρ κράτος etc. E: ὅτι προαγαγὼν πάνυ ἀναγκαίως ὁ π. τὴν Πηνελόπην τῆς γυναικωνίτιδος ἐφ' ὅσον ἐχρῆν, καὶ ἀνύσας δι' αὐτῆς τὴν τοῦ τόξου κατάθεσιν εὐμεθόδως, εἶτα διαγνοὺς, ὡς οὐκέτι χρεία ὅλως ταύτης ἐπὶ τοῖς ἑξῆς, συστέλλει (amovet) αὐτὴν τοῦ λοιποῦ δεξιώτατα· οὐ μὴν δὲ, ἀλλὰ καὶ κοιμίζει βαθὺ, ὡς ἂν, μηδενὸς τῶν γενησομένων αἰσθομένη, ὅτε γίνονται, παραδόξως ὕστερον καὶ μετ' ἐκπλήξεως ἀναγνωρίσοι τε ἅμα τὸν ἄνδρα, κ. μάθοι ἐξολωλότας τοὺς κακούς. Buttmannus ad 353.: „Post hunc versum in Vindob. 133. (A. 1.) legitur hic: Ὣς φάτο· ῥίγησεν δὲ περίφρων Πηνελόπεια, quem ante illud ἡ μὲν ex more Homeri tantum non necessarium esse puto.“ mihi non sic videtur, sed brevitatis poëta studiosus, ubi res urget, intelligendum auditoribus reliquit illud ὣς φάτο, ut alias ἔλεξε, λέγων et similia. v. κ', 429, μ', 207, ν', 374, ο', 44, 530, Schn. v. ἔπω. legerat versificator ille, quisquis fuit, ε', 116.: ὣς φάτο· ῥίγησεν δὲ Καλυψὼ, δῖα θεάων, et ibidem 171.: ὣς φάτο· ῥίγησεν δὲ πολύτλας δῖος Ὀδυσσεὺς, fortasse et illud Il. ο', 34. ὣς φάτο· ῥίγησεν δὲ βοῶπις πότνια Ἥρη, cumque meminisset saepe occurrentis περίφρονος Πηνελοπείης, inde novum, si diis placet, versiculum procudit, non minus explodendum quam istum alius cujusdam librarii Vindobonensis, quem post α', 329. inserere non dubitavit, itidem fucum faciens Buttmanno, sed magis nobismet ipsis, qui nugas istas expolire studuerimus. mecum sentit Montbelius.

359, 60. τόξα κάμπυλα. 362, ι', 156 etc. — φέρε, *auferebat*. — ὁμόκλεον. 367, ξ', 35 etc.

361. β', 324 etc.

362—365. ἀμέγαρτε συβ. ρ', 219. — Sth.: πλαγκτέ. (μ', 61, ο', 342.) παραπλὴξ, τὴν διάνοιαν πεπλανημένε. E: τὸ πλαγκτὲ ἀντὶ τοῦ ἔμπληκτε, παραπλὴξ, ἢ πλαζόμενε τὴν διάνοιαν, οὐ μὴν σταθηρέ. — τάχ' ἄν. sic E, nec ferenda est vulgata

οἷον ἀπ' ἀνθρώπων, οὓς ἔτρεφες, εἴ κεν Ἀπόλλων
ἡμῖν ἱλήκῃσι καὶ ἀθάνατοι θεοὶ ἄλλοι."

quem vitae timentem Telemachus confirmat.

Ὣς φάσαν· αὐτὰρ ὁ θῆκε φέρων αὐτῷ ἐνὶ χώρῳ,
δείσας, οὕνεκα πολλοὶ ὁμόκλεον ἐν μεγάροισι.
Τηλέμαχος δ' ἑτέρωθεν ἀπειλήσας ἐγεγώνει·
„Ἄττα, πρόσω φέρε τόξα (τάχ' οὐκ εὖ πᾶσι πιθήσεις),
μή σε, καὶ ὁπλότερός περ ἐών, ἀγρόνδε δίωμαι,
βάλλων χερμαδίοισι· βίηφι δὲ φέρτερός εἰμι.
αἲ γὰρ πάντων τόσσον, ὅσοι κατὰ δώματ' ἔασι,
μνηστήρων χερσίν τε βίηφί τε φέρτερος εἴην,
τῷ κε τάχα στυγερῶς τιν' ἐγὼ πέμψαιμι νέεσθαι
ἡμετέρου ἐξ οἴκου, ἐπεὶ κακὰ μηχανόωνται."

tradit Eumaeus domino arcum et sagittas; tum Eurycleam fores gynaecei claudere et mulieres domi continere jubet, quidquid audierint.

Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν,
μνηστῆρες, καὶ δὴ μεθίεν χαλεποῖο χόλοιο
Τηλεμάχῳ. τὰ δὲ τόξα φέρων ἀνὰ δῶμα συβώτης
ἐν χείρεσσ' Ὀδυσῆϊ δαΐφρονι θῆκε παραστάς,
ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρύκλειαν·
„Τηλέμαχος κέλεταί σε, περίφρων Εὐρύκλεια,

scriptura *τάχ' αὖ*, aptum vero *ἂν*, quas voculas librarii haud raro permiscuerunt. v. Porson. indicibus Orestae et Phoenissarum, nos ann. ad Soph. Philoct. 166., et de usu *ἂν* particulae h. l. *α'*, 316. — *ἐφ' ὕεσσι*, *apud sues*. intell.: *a nobis interfectum*. — *κύνες τ. κατέδονται*. v. Il. *α'*, 4 etc. — *οὓς ἔτρεφες* *σύας*. hyperbaton, irato aptum. — *ἱλήκῃσι*, *propitius sit*. hoc praeteritum videtur Eustathio; sed Schneidero praesens conjunctivi ab *ἱλήκω*, cui assentior.

366—377. *θῆκε*, *κατέθηκε*, *deposuit* ipso in loco illo, quem transiturus erat, ut afferret Ulyssi arcum et sagittas. — *οὐκ εὖ*, *κακῶς*, tuo periculo. E: *τὸ ὁμοκλεῖν δηλῶν Ὅμηρος ταὐτὸν εἶναι τῷ ἀπειλεῖν ἔφη πολλοὶ ὡμόκλεον· εἶτα Τηλεμάχου ἀπειλήσαντος* (pessime liber: *ἀπειλήσας*) *τὸ οὐκ εὖ πᾶσι πιθ. παροιμιῶδες, κ. ἐπὶ ἀρέσκου, κ. πᾶσιν ἐθέλοντος πάντα πείθεσθαι.* — *ὁπλότερος*, *νεώτερος*. Il. *γ'*, 108. — E: *δίωμαι*, *διώξω*. — *τὸ δὲ αἴτιον αὐτοῖς τοῦ γελᾶν, ἐπεὶ οὔτε ὡς δεσπότης ἐπιτάσσειν εἶπε τῷ δούλῳ, ἀλλὰ ὡς βίῃ φέρτερος, καὶ οὐδὲ δοῦλον προσεῖπε· τὸ γὰρ ἄττα* (*π'*, 31 etc.) *δεδήλωται ἀδελφικὸν* (?) *εἶναι πρόσφθεγμα. καὶ ἡ διὰ χερμάδων δὲ βολὴ παιδικώτερον ἠπείληται. ὡμολόγησε δὲ καὶ τὸ ἔλαττον φέρεσθαι τῶν μνηστήρων. ταῦτα δὲ πάντα, ὡς ἀφελῆ, γλυκέως ἐπιτετηδευμένα εἰς γέλωτα τοῖς μνηστῆρσι τὸν χόλον μετέτρεψεν, ὃς δὴ γέλως παρὰ τῷ ποιητῇ λύσις ἐστὶ καὶ αὐτὸς μεγάλων κ. δυσλύτων περιπετειῶν, ὡς καὶ ἡ Ἰλιὰς* (velut *α'*, 599) *ἐδήλωσεν.* — *μεθίεν*, *μεθίεσαν καὶ ἠμέλουν*, ut E explicat, comparans haec et multa similia, *τράφεν*, *κόσμηθεν*. v. *δ'*, 723, Il. *γ'*, 1.

381. abest hic versus ab A. 2., 3., edd. Flor. et Aldinis, neglectus, nisi fallor, propter homoeoteleuton antecedentis. nam simpliciter hoc fieri jubere Eumaeum, nec jussu domini, nec nomine appellata Euryclea, arrogantis est, et a more Homerico abhorret. accipiunt autem, quibus id placet, infinitivum sensu imperativi. qui quod objiciunt, non Telemachum id jussisse 235., sed Ulyssem, non male E: *οὐκ ἀληθεύει μὲν ὁ Εὔμαιος*, inquit, *εἰπών, ὡς ὁ Τηλέμαχος οὕτω κελεύει, πλὴν ὡς πεπνυμένος ψεύδεται καὶ αὐτός* (scil. ut ipse Telemachus, qui ficte loqui videtur Eustathio 369—375). *οὐ γὰρ ἔδει πάντως εἰπεῖν, ὅτι Ὀδ. κέλεταί σε τάδε ποιῆσαι· οὐ γὰρ οἶδε τὸν αὐτῆς*

κληῖσσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας·
ἢν δέ τις ἢ στοναχῆς ἠὲ κτύπου ἔνδον ἀκούσῃ
ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι, μήτι θύραζε
προβλώσκειν, ἀλλ' αὐτοῦ ἀκὴν ἔμεναι παρὰ ἔργῳ."

efficit jussum Euryclea; simulque clam egressus Philoetius aulam obserat, foribus rudente religatis.

῝Ως ἄρ' ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος,
κλήϊσσεν δὲ θύρας μεγάρων εὐναιεταόντων.
Σιγῇ δ' ἐξ οἴκοιο Φιλοίτιος ἆλτο θύραζε,
κλήϊσσεν δ' ἄρ' ἔπειτα θύρας εὐερκέος αὐλῆς.
κεῖτο δ' ὑπ' αἰθούσῃ ὅπλον νεὸς ἀμφιελίσσης
βύβλινον, ᾧ ῥ' ἐπέδησε θύρας, ἐς δ' ἤϊεν αὐτός·
ἕζετ' ἔπειτ' ἐπὶ δίφρον ἰών, ἔνθεν περ ἀνέστη,
εἰσορόων Ὀδυσῆα. ὁ δ' ἤδη τόξον ἐνώμα,
πάντῃ ἀναστρωφῶν, πειρώμενος ἔνθα καὶ ἔνθα,
μὴ κέρα ἶπες ἔδοιεν ἀποιχομένοιο ἄνακτος.

ἐκείνου ἀναγνωρισμόν. συνετὸς δὲ καὶ ἄλλως Εὔμαιος· ἐκεῖνος μὲν γὰρ ἐκέλευσε τῷ Εὐμαίῳ εἰπεῖν γυναιξὶ κληῖσαι μεγάροιο θύρας, ἀορίστως εἰπών· ὁ δὲ διέκρινε δεῖν (h. e. *δέον*) *εἶναι ὡρισμένως τοῦτο περὶ τῆς γυναικωνίτιδος τῇ Εὐρυκλείᾳ εἰπεῖν.* praefecta enim erat illa ceteris mulieribus una cum Eurynome. v. α', 429—433, ϱ', 495 etc.

382—385. 236—39.

386, 87. τ', 29, 30. cf. ϱ', 57, χ', 398.

389—395. *εὐερκέος αὐλῆς.* χ', 449, Il. ι', 472. cf. η', 113 etc. — *αἰθούσῃ.* γ', 399. — Am. Q. et Sch.: *ὅπλον. σχοινίον.* E: — *ὅρα δεσμὸν οὐκέτι δι' ἱμάντων* (46), *οὐ γὰρ ἦν τὰς τηλικάσδε θύρας οὕτω συνδεθῆναι* (propter magnitudinem forium), *ἀλλὰ διὰ σχοινίου ναυτικοῦ.* — *νεὸς ἀμφ.* η', 252. — *βίβλινον δὲ* (sic etiam A. 1, 2, 3, A. Q. et Sch. v. Billerbeck. Flor. class., Schn. v. *βύβλος*.), *οὐ τὸ ἐκ βίβλου, ὅ ἐστι παπύρου Αἰγυπτίας, ἀλλὰ βοτάνης τινὸς ἐμφεροῦς παπύρῳ. οἱ δὲ καννάβινόν φασιν, ἕτεροι δὲ τὸ ἐκ φιλύρας.* (?) *ὅτι δὲ, καθὰ καὶ ὁ μόλυβδος παρὰ τοῖς παλαιοῖς, οὕτω καὶ ἡ ῥηθεῖσα βύβλος διφορεῖται κατὰ τὸ δίχρονον,* (mire *τὸ δίχρονον* dicit primam syllabam vocabuli *βύβλος*, quam et corripere et producere licet.), *ἐῤῥέθη μὲν καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ* (in Dionysii Periegetae carmine chorographico, quod item commentario instruxit E.), *δηλοῖ δὲ αὐτὸ καὶ ὁ γράψας ἐν ῥητορικῷ λεξικῷ, ὅτι βύβλινον καὶ βίβλινον διχῶς. ἐνταῦθα δὲ σημείωσαι, ὅτι τε ἡ Βύβλος ἐπὶ πόλεως μὲν* (in Phoenicia), *τῆς καὶ ἐν τῷ Περιηγητῇ, μόνως διὰ τοῦ υ γράφεται, ἐπὶ δὲ φυτοῦ ὡς ἐπιπολὺ μὲν κ. μάλιστα παρὰ τοῖς ἀρχαίοις ὁμοία ἡ γραφὴ* etc. Montbel.: „Selon Eustathe, par *ὅπλον βύβλινον*, ou *βίβλινον*, il ne faut point entendre le byblos, c'est-à-dire le papyrus d'Egypte, mais une plante qui ressemble au papyrus. Selon d'autres, il n'est ici question que d'une corde de chanvre, ou enfin d'une corde faite avec cette pelure légère qui se trouve en dessous de l'écorce du tilleul. Les relations entre l'Egypte et la Grèce pouvaient être alors assez fréquentes pour qu'on puisse supposer qu'il soit ici question du byblos, qui croissait en Egypte. C'était, selon Strabon (17., p. 799.), une plante d'une tige mince, au sommet de laquelle s'élevait une sorte de chevelure, que l'on employait sans doute à faire des cordages. J'ai déja fait observer que Knight trouvait dans l'usage de ces cordes, qu'il suppose venir d'Egypte, une raison d'admettre que l'Odyssée est moins ancienne que l'Iliade." — *ἐπέδησε, ligavit.* γ', 269 etc. — *ἐνώμα.* 245. — *ἀναστρωφῶν, ἀναστρέφων, versans.* — Ap. emend.: *ἶπες. θηρίον τι λυμαντικὸν τῶν τόξων. τῶν ἅπαξ εἰρημένων.* ibi Villois. notavit, vermes istos etiam *θρῖπας* vocari. Plut. lib. de discrimine adul. et am.: *οἱ θρῖπες ἐμφύονται μάλιστα τοῖς ἁπαλοῖς κ. γλυκέσι ξύλοις.* cf. Ammon. v. *θρῖπες* et ad

ὧδε δέ τις εἴπεσκεν, ἰδὼν ἐς πλησίον ἄλλον·

varii sermones inter se procorum, postquam Ulyssem arcum tractare vident.

„Ἦ τις θηητὴρ καὶ ἐπίκλοπος ἔπλετο τόξων!
„ἤ ῥά νύ που τοιαῦτα καὶ αὐτῷ οἴκοθι κεῖται,
ἢ ὅγ' ἐφορμᾶται ποιησέμεν, ὡς ἐνὶ χερσὶν
νωμᾷ ἔνθα καὶ ἔνθα κακῶν ἔμπαιος ἀλήτης."
Ἄλλος δ' αὖτ' εἴπεσκε νέων ὑπερηνορεόντων·
„αἲ γὰρ δὴ τοσσοῦτον ὀνήσιος ἀντιάσειεν,
ὡς οὗτός ποτε τοῦτο δυνήσεται ἐντανύσασθαι."

facile Ulysses tendit arcum, omnesque secures sagitta trajicit, metu trepidantibus procis, Joveque vehementer tonante.

Ὣς ἄρ' ἔφαν μνηστῆρες· ἀτὰρ πολύμητις Ὀδυσσεὺς,
αὐτίκ' ἐπεὶ μέγα τόξον ἐβάστασε, καὶ ἴδε πάντη,
ὡς ὅτ' ἀνὴρ φόρμιγγος ἐπιστάμενος καὶ ἀοιδῆς
ῥηϊδίως ἐτάνυσσε νέῳ περὶ κόλλοπι χορδὴν,

eum annotata Valkenaerio p. 104. et 5., item B. ad Herodiani Epimerismos p. 58. E: *ἰστέον δὲ, ὅτι θηρίδια οἱ ἶπες κέρασιν ἐμφυόμενα, κ. κατεσθίοντα, παραπλήσια, φασὶ* (Sch.), *κώνωψι. γίνεται δὲ παρὰ τὸ ἴπτειν, ὅ ἐστι φθείρειν.* (sicut *θρὶψ* a *τρίβειν.*) [*τινὲς δὲ ὑφὲν κεραῖπες γράφουσιν ἀντὶ τοῦ ἐν τοῖς κέρασιν ἶπες, πρὸς διαστολὴν τῶν ἐν φυτοῖς. ἄλλοι δὲ κεραΐδες, ὡς ἀπὸ τοῦ κεραΐζειν.*] *ἵνα δηλοῖ τὰς τῶν τόξων φθαρτικάς. κεράτινον δὲ ἦν, φασὶν, ὡς φαίνεται, τὸ τόξον, οὐ μὴν κατὰ τὰ πάλαι Σκυθικὰ ξύλινον.* Plin. H. N. 16, 41. secundum Theophrastum Histor. anim. 5, 5.: *Teredines, capite ad portionem gravissimo, rodunt dentibus.* (Theophr. de *τερηδόνι*: — *τῷ μὲν μεγέθει μικρὸν, κεφαλὴν δ' ἔχει μεγάλην, κ. ὀδόντας.*) *hae tantum in mari sentiuntur*; (haec sane Theophrasti sententia est l. c. Plin. tamen 8. sect. 74. et ad terrestres id vocab. transtulit, cum Servii Tullii praetextas dixit teredinum non sensisse injurias, annis 560. et Apsyrto *τερηδόνες* sunt equorum lumbrici. v. Constant. in lexico. *Harduin.* Isidorus quoque generatim 12, 5.: *teredonas Graeci vocant lignorum vermes, eo quod terendo edant; hos nos tarmites dicimus.* Plautus Most. 3, 2, 140.: *ambo* [postes] *ab infimo tarmes secat.* videtur hic esse *ptinus pertinax* Linn., germ. der *Holzbohrer.*) *nec aliam putant teredinem proprie dici. terrestres tineas vocant; culicibus vero similes thripas* etc.

396. *θ'*, 328, *κ'*, 37 etc.

397—402. Sch.: *θηητήρ. θαυμαστικὸς, ἔμπειρος. ἐπίκλοπος. ἐπιθυμητὴς, ὀρεκτικὸς, κλέπτης. κλέπτειν γὰρ τὸ ἐπιθυμεῖν, κ. κλέπτης ὁ ἐπιθυμητὴς τῶν ἀλλοτρίων.* (E: *ἔστι δὲ, ὡς ἐν ὀλιγίστῳ εἰπεῖν, ὁ νοῦς τοῖς οὕτω εἰποῦσι τοιόσδε, ὡς ἄρα θαυμαστικὸς τῶν τόξων ὁ ξένος, κ. κλέπτων εἰς νοῦν τὴν αὐτῶν ἐμφέρειαν, ἵνα ἢ ἐξεικάσῃ αὐτὰ οἷς ἔχει, ἢ ἵνα ποιήσῃ ὅμοια.*) *ἐφορμᾶται. προτεθύμηται. ἔμπαιος* (*υ'*, 379). *ἔμπειρος.* (*τοσσοῦτον, οὕτως. ἀντιάσειεν*, *occurreret* lucro seu commodo, h. e. particeps ejus fieret. v. Buttmann. *Lex.* 1. p. 10.) *ὀνήσιος. ὠφελείας. ἢ τῆς βρώσεως, ἣν εἰλήφει παρὰ τῶν μνηστήρων.*

405—408. *ἐβάστασε*, *ponderavit.* *λ'*, 593. — *ἐτάνυσσε*, *tendere solet.* — Ap.: *κόλλοπι. τῶν ἅπαξ εἰρημένων· περὶ — ἅψας. λέγει δὲ τῷ κολλάβῳ* (germ. *Wirbel.*), *ἀπὸ τῆς κόλλης.* (a glutine, germ. *Leim.*) *δερματίνοις γὰρ ἐχρῶντο τοῖς κολλάβοις.* Am. Q.: *κόλλ. ἔνθα τείνονται αἱ ἐν τῇ λύρᾳ χορδαί.* E: *κόλλοψ ὁ παρὰ τοῖς ὕστερον κόλλαβος, δι' οὗ τείνονται αἱ τοιαῦται χορδαὶ, καὶ οὕτω, φασὶ, λεγόμενος διότι τὸ παλαιὸν ἐκ δερμάτων σκληρῶν ἦν τῶν πρὸς τῷ τραχήλῳ τῶν βοῶν, ἔστι δ' ὅτε καὶ τῶν οἰῶν, ἃ καὶ αὐτὰ κόλλοπες ἐκαλοῦντο διὰ τὸ ἐξ αὐτῶν ἀναβραττομένων κόλλαν γίνεσθαι, ὡς δηλοῖ καὶ Παυσανίας, γράψας, ὅτι ἐκολλόπωσε τὸ*

ὕψας ἀμφοτέρωθεν ἐΰστρεφὲς ἔντερον οἰός,
ὣς ἄρ' ἄτερ σπουδῆς τάνυσεν μέγα τόξον Ὀδυσσεύς.
δεξιτερῇ δ' ἄρα χειρὶ λαβὼν πειρήσατο νευρῆς·
ἡ δ' ὑπὸ καλὸν ἄεισε, χελιδόνι εἰκέλη αὐδήν.
μνηστῆρσιν δ' ἄρ' ἄχος γένετο μέγα, πᾶσι δ' ἄρα χρὼς
ἐτράπετο. Ζεὺς δὲ μεγάλ' ἔκτυπε, σήματα φαίνων·
γήθησέν τ' ἄρ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεὺς,
ὅττι ῥά οἱ τέρας ἧκε Κρόνου πάϊς ἀγκυλομήτεω.
εἵλετο δ' ὠκὺν ὀϊστὸν, ὅς οἱ παρέκειτο τραπέζῃ
γυμνός· τοὶ δ' ἄλλοι κοίλης ἔντοσθε φαρέτρης
κείατο, τῶν τάχ' ἔμελλον Ἀχαιοὶ πειρήσεσθαι.
τόν ῥ' ἐπὶ πήχει ἑλὼν, ἕλκεν νευρὴν, γλυφίδας τε,
αὐτόθεν ἐκ δίφροιο καθήμενος, ἧκε δ' ὀϊστὸν
ἄντα τιτυσκόμενος· πελέκεων δ' οὐκ ἤμβροτε πάντων

κόλλη συνήρμοσεν. — τὸ δὲ ἅψας χορδὴν ἀντὶ τοῦ ἐκδήσας. — ἐΰστρεφὲς, *bene tortum.* κ', 167, Il. ο', 463 etc. Montbel.: „*en touchant des deux côtés le boyau préparé d'une brebis.*" Knight remarque encore ici avec raison (?) que, dans l'Iliade, les cordes de la lyre sont en lin, comme au chant 18. (σ', 570), où il est dit, en parlant d'un jeune homme qui s'accompagnait avec la lyre: Λίνον δ' ὑπὸ καλὸν ἄειδε λεπταλέῃ φωνῇ. „La corde de lin résonnait en s'unissant à une douce voix;" tandis que, dans l'Odyssée, ce passage prouve que l'usage des cordes à boyau était introduit. Knight en conclut que l'Iliade est plus ancienne que l'Odyssée." haec ratio parum exquisita est. v. ann. ad eum locum Iliadis.

411—423. αὐδήν. male E: χελ. ἰκέλη ἄντην, quod sumserit e χ', 241. idem: χελιδόνι, οὐ μὴν ἀηδόνι, κτυπήσασαν εἴκασε τὴν νευρὰν, ἐπεὶ μὴ πρὸς ἡδύτητα ἡ ὁμοίωσις, ἀλλὰ μόνον πρὸς ποιότητα φωνῆς ἠχούσης ὑπότραχυ, ὁποῖος δή τις καὶ ὁ τῆς χελιδόνος βατταρισμὸς, ὅτε πρὸς μνήμην Τηρέως κατὰ τὸν μῦθον ῥοιζήσει, οὐ γλυκὺ ᾄδουσα, λαλαγοῦσα δὲ ἀκαλλὲς, ὡς οἷα Θρᾷσσα (uxor Terei, Thracum regis, Procne) κατὰ τὸν μῦθον. διὸ καὶ ὁ Κωμικὸς (Ran. 93), οὓς ἐκεῖνος ψέγει ὡς τὰς Μούσας ἀφανίζοντας, χελιδόνων μουσεῖα καλεῖ, ὅ ἐστιν ὑποβαρβάρους χελιδόνων δίκην. — εἰ δὲ καλὸν ἄεισε καθ' Ὅμηρον ἡ ῥηθεῖσα νευρὰ, οὐχ ἁπλῶς ἐῤῥέθη τοῦτο διὰ τὸ ἡδὺ, ἀλλ' ἀνάλογον πρὸς τὸ ἀνῆκον (congruum, conveniens) καλὸν τῇ ἀπαθεῖ νευρᾷ, κ. μὴ κραυρουμένῃ πρὸς τὸ ξηρόφωνον κ. πάντῃ ἀηδές. — πᾶσι — ἐτράπετο. εἰς ὠχρίαν δηλαδή. mutarunt colorem metu. v. Il. ν', 279—284. — ἔκτυπε, *crepabat,* tonabat. — σήματα — ἀγκυλ. E: ἔστι σῆμα μὲν ὡς σημεῖον ἁπλῶς τοῦ μέλλοντος, τέρας δὲ ἡ διὰ τὸ, ὡς εἰκὸς καὶ νῦν, ἀνέφελον τοῦ ἀέρος, ἢ καὶ ὡς ἐκ τῶν ἀνωτάτω τόπων, ἔνθα καὶ τὰ τείρεα (Il. σ', 485), οἷς τὸ τέρας παρωνυμεῖται. — (ἀγκυλ. Il. β', 205 etc.) ὅτι γυμνὸν εἰπὼν ὀϊστὸν ἑρμηνεύει τὴν λέξιν, ἐπαγαγὼν, οἱ δ' ἄλλοι — πειρήσεσθαι, ὡς εἴπερ ἔφη γεύσασθαι (98). καὶ ἔστιν οἷον ἔνδυμα ὀϊστοῦ, τοῦ νῦν γυμνοῦ, ἡ φαρέτρα, καθὰ καὶ τόξον ὁ γωρυτὸς, ὡς δηλοῖ τὸ εἵλετο τόξον αὐτῷ γωρυτῷ, ὅς οἱ περίκειτο (54)· περικεῖσθαι γάρ ποτε καὶ ἐπὶ ἐνδύσεως τίθεται, ὅθεν καὶ χλαῖναν φορῶν μέν τις περίκειται, ἐκδυόμενος δὲ ἀποτίθεται. (sic Hercules habet γυμνὸν τόξον λ', 606. — A. 1. et Ald. 3.: πειρήσασθαι.) ἐπὶ πήχει ἑλὼν, ἀντὶ τοῦ κρατήσας (tenens: v. ann. ad Il. α', 513.) κ. θεὶς τὸν ὀϊστὸν ἐπὶ τῷ πήχει τοῦ τόξου, ἤγουν τῷ κέρατι, ἔνθα ἡ τοῦ τόξου λαβή. κεῖται δὲ ἡ λέξις καὶ ἐν Ἰλιάδι, οἷον, ὁ δὲ τόξου πῆχυν ἀνέλκε (Il. λ', 375, ubi v. ann.). γλυφίδες δὲ αἱ τοῦ ὀϊστοῦ (Il. δ', 122), αἷς ἐνίεται ἡ νευρὰ, οὕτω καλουμένη ἀρχαιολογικῶς· ὕστερον γὰρ ἐκ δερμάτων βοὸς, οὐ μὴν ἐκ νεύρων, αἱ τῶν τόξων νευραί. — τὸ δὲ ἐκ δίφρου καθήμενον τοξεύειν ἤργησεν (obsolevit) ὕστερον· κάμπτοντες γὰρ ἐν τοιούτοις γόνυ οὕτω τοξεύουσι. — ἄντα τιτυσκόμενος, *ex adverso collimans.* v. θ',

πρώτης στειλειῆς, διὰ δ' ἀμπερὲς ἦλθε θύραζε
ἰὸς χαλκοβαρής. ὁ δὲ Τηλέμαχον προσέειπε·

Ulyssis ad filium oratio ambigua.

„Τηλέμαχ', οὔ σ' ὁ ξεῖνος ἐνὶ μεγάροισιν ἐλέγχει
ἥμενος· οὐδέ τι τοῦ σκοποῦ ἤμβροτον, οὐδέ τι τόξον
δὴν ἔκαμον τανύων. ἔτι μοι μένος ἔμπεδόν ἐστιν,
οὐχ ὥς με μνηστῆρες ἀτιμάζοντες ὄνονται.
νῦν δ' ὥρη, καὶ δόρπον Ἀχαιοῖσιν τετυκέσθαι
ἐν φάει, αὐτὰρ ἔπειτα καὶ ἄλλως ἑψιάασθαι
μολπῇ, καὶ φόρμιγγι· τὰ γάρ τ' ἀναθήματα δαιτός.“

qua audita Telemachus, ense cinctus, hastaque arrepta, consistit prope patrem.

Ἦ, καὶ ἐπ' ὀφρύσι νεῦσεν· ὁ δ' ἀμφέθετο ξίφος ὀξὺ
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
ἀμφὶ δὲ χεῖρα φίλην βάλεν ἔγχεϊ, ἄγχι δ' ἄρ' αὐτοῦ
πὰρ θρόνον ἑστήκει, κεκορυθμένος αἴθοπι χαλκῷ.

556 etc. — Sch. emend.: *πρώτης στειλειῆς. ἀπὸ πρώτης γὰρ ὀπῆς τῶν πελέκεων διηνεκῶς ἦλθεν.* E: *στειλειὴ ὀπὴ πελέκεως, εἰς ἣν ἐνείρεται, ἤγουν ἐμβάλλεται, στελεὸς* etc. v. ε', 236. non id foramen nunc dici, sed aliud ipsarum securium *καταχρηστικῶς*, ostendere studuit comes de Caylus, cujus hac de re disputationem v. ann. ad τ', 573. quae ratio non caret quidem difficultate; sed videndum est, ne, Eustathio auscultantes, e Scylla in Charybdin incidamus, quippe tum eo redacti, ut secures intelligendae sint manubria securium 120, τ', 573. et 578, cum *θέμεν σίδηρον* dicat 81, et *διοϊστεύειν σιδήρου* 97. aliisque locis. — *διὰ δ' ἀμπερές.* tmesis pro *διαμπερὲς δέ.* — rursum E: *ὅρα δὲ καὶ νῦν* (ut ε', 410, μ', 254 etc.) *τὸ θύραζε ἀντὶ τοῦ ἁπλῶς ἔξω.* — Sch.: *χαλκοβαρής.* (Il. ο', 465.) *ὁ ἀπὸ σιδήρου ἰσχυρός.* α', 262.: *ἰοὺς χρίεσθαι χαλκήρεας.*

424 — 434. *ἐλέγχει. ἀποδοκιμάζει.* Ap. emend.: *ἐλέγξῃς.* (Il. ι', 518) *ἐλέγχει περιβάλῃς, ὀνείδει περιβάλῃς.* — E: *ὄνονται* (ε', 378), *μέμφονται, ἐκφαυλίζουσι.* v. σ', 361. — Sch.: *νῦν — δόρπον. παρέλκει* (decipit, deludit) *τὴν διάνοιαν αὐτῶν. τὸ μὲν οὖν δεῖπνον ἀντὶ τοῦ θανάτου, τὸ δὲ ἑψιάασθαι ἀντὶ τοῦ οἰμώζειν.* E: — *δοκεῖ μὲν γὰρ εἰπεῖν Ὀδ., ὅτι καιρὸς τοῖς μνηστῆρσι τοῦ δορπῆσαι κ. παῖξαι· λέγει δὲ ἄλλως δι' ἐμφάσεως, ὅτι καιρός ἐστιν ἡμῖν τάχιόν τε δορπῆσαι ἀνελοῦσι τοὺς μνηστῆρας, κ. ἄλλως δὲ τερφθῆναι. ὃ καὶ γίνεται· θανόντων γὰρ τῶν μνηστήρων λαμπρὰ εὐωχία τελεῖται μετά τε ἀοιδῆς κ. φιλοπαίγμονος ὀρχηθμοῖο* (ψ', 134. v. totum illum locum.), *ὡς καὶ δοκεῖν τοῖς ἔκτοσθεν ἀκούουσι γάμον εἶναι ταῦτα τῆς Πηνελόπης.* — *ἐν φάει*, *in luce* (Il. ρ', 647), i. e. manifesto, publice. hoc quoque *εἰρωνικῶς.* — Am. Q.: *ἑψιάασθαι.* (ρ', 530) *παῖξαι.* Sch.: *τέρπεσθαι.* — *μολπῇ* — *δαιτός.* cf. α', 152. — *κεκορ. α. χαλκῷ.* Il. δ', 495, ε', 562 etc.

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΙΔΙΑ Χ.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ Χ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Τὰ περὶ τὴν μνηστηροφονίαν ἐργασάμενος Ὀδυσσεὺς, παρούσης Ἀθηνᾶς, ἐν τοῖς ἑξῆς τὰς θεραπαίνας διὰ Τηλεμάχου καὶ τῶν οἰκείων κολάζει ἅμα Μελανθίῳ.

ΟΔΥΣΣΕΙΑΣ Χ.

ΜΝΗΣΤΗΡΟΦΟΝΙΑ.

Jam, occupato limine cum arcu et sagittis, procos aggreditur Ulysses, primumque Antinoum percutit, ceteris conclamantibus et arma circumspicientibus.

Αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεὺς,
ἆλτο δ' ἐπὶ μέγαν οὐδὸν, ἔχων βιὸν, ἠδὲ φαρέτρην,
ἰῶν ἐμπλείην, ταχέας δ' ἐκχεύατ' ὀϊστοὺς
αὐτοῦ πρόσθε ποδῶν, μετὰ δὲ μνηστῆρσιν ἔειπεν·
„Οὗτος μὲν δὴ ἄεθλος ἀάατος ἐκτετέλεσται·
νῦν αὖτε σκοπὸν ἄλλον, ὃν οὔπω τις βάλεν ἀνὴρ,
εἴσομαι, αἴ κε τύχωμι, πόρῃ δέ μοι εὖχος Ἀπόλλων."
Ἦ, καὶ ἐπ' Ἀντινόῳ ἰθύνετο πικρὸν ὀϊστόν.
ἤτοι ὁ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλε,

Annotationes. Vers. 1—12. **ῥ α κ έ ω ν**, *pannorum*, h. e. ἱματίου ῥακώδους, pallii laceri, ut mendici, quo pallio post caedem procorum rursus eum indutum esse, ex Eurycleae verbis 488. intelligas. οὐ γὰρ δήπου τὸ ὅλον ἐγύμνου σῶμα, inquit E, εἰς πόλεμον παραταττόμενος. idem minus recte: νοητέον δ' ἐνταῦθα, ὅτι ζωσάμενος Ὀδ. ἐγυμνώθη τὰ σκέλη μόνα, ὡς μηδὲ τὴν ῥηθεῖσαν οὐλὴν παραφαίνεσθαι. quasi jam amplius quidquam occultare voluerit Ulysses, qui in eo sit, ut palam se omnibus det agnoscendum. imo tunicatus adstitit. Hesiodus O. et D. 391.: γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν, Γυμνὸν δ' ἀμάειν, et similiter Maro Georg. 1, 299.: *nudus ara, sere nudus.* v. interpp. utroque loco, et, quem laudant, Cuperum Obss. 1, 7. Aristophanes Eccles. 408: παρῆλθε γυμνὸς, ὡς ἐδόκει τοῖς πλείοσιν, Αὐτός γε μέντοι φάσκεν ἱμάτιον ἔχειν. cf. ejusdem Lys. 1101, Nub. 937 etc. — E: **ἆ λ τ ο** (φ', 388, Il. α', 532 etc.) **ἐ π ὶ ο ὐ δ ὸ ν** ἀντὶ τοῦ ἥλατο καιρίως ἔφη, ὡς ὑψηλοτέρου τῆς θύρας ὄντος τοῦ οὐδοῦ. — ἵσταται δὲ περὶ τὸν οὐδὸν Ὀδ., ἵνα μὴ ἔχοιεν οἱ μνηστῆρες ἔξω φυγεῖν. βλαπτει γὰρ [τοῦτο] τὸν Ὀδυσσέα κ. ζημιοῖ τοῦτο μὲν, εἴ τις διαδράσει τὸν φόνον· ἐκεῖνο δὲ, εἰ τοὺς Ἰθακησίους εἰς ἄμυναν προκαλέσονται. — **μ έ γ α ν**, *magnum* limen, h. e. latum, quippe aedium regiarum. — **ἄ ε θ λ ο ς ἀ ά α τ ο ς.** vox Antinoi φ', 91, quam παρῳδεῖ. — **ε ἴ σ ο μ α ι**, *scibo.* E: γνώσομαι (Il. θ', 531, ξ', 8), ἢ πορεύσομαι (Il. φ', 335, ω', 462). — **π ό ρ ῃ — Ἀ π ό λ λ ω ν.** v. φ', 279. — **ἰ θ ύ ν ε τ ο**, *dirigebat.* ε', 240, 270 etc. — **π ι κ ρ ὸ ν ὀ ϊ σ τ ό ν.** Il. δ', 118 etc. — **ἄ λ ε ι σ ο ν**, *poculum.* γ', 50, δ', 591 etc.

χρύσεον, ἄμφωτον, καὶ δὴ μετὰ χερσὶν ἐνώμα,
ὄφρα πίοι οἴνοιο· φόνος δέ οἱ οὐκ ἐνὶ θυμῷ
μέμβλετο. τίς κ' οἴοιτο, μετ' ἀνδράσι δαιτυμόνεσσι
μοῦνον ἐνὶ πλεόνεσσι, καὶ εἰ μάλα καρτερὸς εἴη,
οἱ τεύξειν θάνατόν τε κακὸν, καὶ κῆρα μέλαιναν;
τὸν δ' Ὀδυσεὺς κατὰ λαιμὸν ἐπισχόμενος βάλεν ἰῷ·
ἀντικρὺς δ' ἁπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή.
ἐκλίνθη δ' ἑτέρωσε, δέπας δέ οἱ ἔκπεσε χειρὸς,
βλημένου, αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν
αἵματος ἀνδρομέοιο, θοῶς δ' ἀπὸ εἷο τράπεζαν
ὦσε ποδὶ πλήξας, ἀπὸ δ' εἴδατα χεῦεν ἔραζε.
σῖτός τε, κρέα τ' ὀπτὰ φορύνετο. τοὶ δ' ὁμάδησαν
μνηστῆρες κατὰ δώμαθ', ὅπως ἴδον ἄνδρα πεσόντα,
ἐκ δὲ θρόνων ἀνόρουσαν ὀρινθέντες κατὰ δῶμα,
πάντοσε παπταίνοντες ἐϋδμήτους ποτὶ τοίχους·
οὐδέ πη ἀσπὶς ἔην, οὐδ' ἄλκιμον ἔγχος, ἑλέσθαι.
* νείκειον δ' Ὀδυσῆα χολωτοῖσιν ἐπέεσσι·

mortem illi minitantur Ulyssi; quibus ipse respondens palam facit, quis sit, et vindictam denuntiat.

„Ξεῖνε, κακῶς ἀνδρῶν τοξάζεαι! οὐκέτ' ἀέθλων

— Ap.: *ἄμφωτον.* ἐξ ἀμφοτέρων τῶν μερῶν ὦτα ἔχοντα. *utrinque ansatum*, ut pocula majora. — hinc natum putant proverbium simile isti Latinorum *Inter os et offam*. Sch.: Διονύσιος ὁ Θρᾷξ ἐν ταῖς Μελέταις φησὶ, τὴν παροιμίαν Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου (*Multa cadunt inter calicem supremaque labra*) ἀπὸ τούτου διαδεδόσθαι. προστιθέμενος γὰρ Ἀντίνοος τὸ πῶμα βάλλεται. recte Buttmann.: „Scrib. e Zenobio 5, 71. ἔκπωμα." cf. Tzetz. ad Lycophr. 489. et Gell. 13, 17., qui hanc illius verbi originem narrant, Ancaeum, Lycurgi vel Neptuni filium, Argonautam, dum in poculum exprimit uvam vineae ab se plantatae, bibiturus, ab apro irruente occisum esse. v. Hederich. Mythol. Lex. p. 252. et 53. — *μέμβλετο*, *curae* aut *sollicitudini erat*. Il. φ', 516 etc. — *δαιτυμόνεσσι*. δ', 621 etc.

14—26. *τεύξειν*, *structurum esse*. θ', 276 etc. — *θάνατον — μέλαιναν*. β', 283, Il. φ', 66. φόνον καὶ κ. μ. dixit Il. λ', 443., et saepius per se κῆρα μέλ., velut inferius 330 etc. de κηρὶ v. Il. α', 44. A. 2: *κῆρα φυτεῦσαι*, quae διττογραφία memoratur in A. 3. et 4. — E: *ἐπισχόμενος*. καταστοχασάμενος, — διὰ τὸ ἐπέχειν τὴν χεῖρα κ. ἱστᾷν τὸν κατὰ σκοποῦ βάλλοντα. (v. Schn. v. ἐπέχω.) οἱ δὲ παλαιοὶ (Sch.) καὶ ἀντὶ τοῦ λαβόμενός φασιν etc. idem praeter necessitatem has quoque Ulyssis sagittas venenatas fuisse arbitratur, ut illas, quae α', 262. dicuntur. — *ἀντικρύς*. libri: ἀντικρύ. v. κ', 162, Il. ρ', 49 etc. etiam Il. χ', 327. malim ἀντικρύς. — *ἐκλίνθη δ' ἑτ.* Il. ν', 543. cf. τ', 470. — Sch.: *αὐλὸς αἵματος*. τὸ ἐξακόντισμα, ὁ κρουνὸς τοῦ αἵματος. πᾶν γὰρ τὸ στενὸν αὐλὸν ἔλεγον, ὅθεν καὶ τοὺς στενοὺς ποταμοὺς *ἐναύλους* (Il. π', 71). E: τοιοῦτον δέ τοι (τι) καὶ οἱ αὐλῶνες, ὅθεν τὰ διαυλωνίζοντα πνεύματα, κ. διαυλωνία, τοπικὴ στενότης, καθ' ἣν ὄρτυγες ἢ ἁπλῶς ἄγριοι ὄρνιθες ἀγρεύονται. ἐθνικὴ δὲ λέξις αὕτη γνώριμος τοῖς περὶ Σινώπην ἀνωτέρω οἰκοῦσι πρὸς βοῤῥᾶν etc. — *εἴδατα*. α', 140. — *ἀπὸ — χεῦεν*. per tropum Il. χ', 468. dixit τῆλε δ' ἀπὸ κρατὸς χέε δέσματα. — *εἴδατα*. α', 140. *κρέα τ' ὀπτά*. Il. δ', 345.: ἔνθα φίλ' ὀπταλέα κρέα ἔδμεναι. — *φορύνετο*, *foedabantur*. σ', 335. — *ὁμάδησαν*. α', 365 etc. — *παπταίνοντες*, *circumspectantes*. λ', 607, Il. δ' 200 etc. — *ἐϋδμήτους* κ. τ. 126, υ', 302. — *νείκειον δ' Ὀδ.*, *und sie zankten Odysseus*, ut loquuntur in Germania meridiana. cf. σ', 9 etc. — *χολωτ. ἐπ.* 225, Il. δ', 241 etc.

26—33. damnat haec P. Knightius,

ἄλλων ἀντιάσεις· νῦν τοι σῶς αἰπὺς ὄλεθρος.
καὶ γὰρ δὴ νῦν φῶτα κατέκτανες, ὃς μέγ' ἄριστος
κούρων εἰν Ἰθάκῃ· τῷ σ' ἐνθάδε γῦπες ἔδονται."
Ἴσκεν ἕκαστος ἀνὴρ, ἐπειὴ φάσαν οὐκ ἐθέλοντα
ἄνδρα κατακτεῖναι· τὸ δὲ νήπιοι οὐκ ἐνόησαν,
ὡς δή σφιν καὶ πᾶσιν ὀλέθρου πείρατ' ἐφῆπτο.
τοὺς δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
„Ὦ κύνες, οὔ μ' ἔτ' ἐφάσκεθ' ὑπότροπον οἴκαδ' ἱκέσθαι
δήμου ἄπο Τρώων, ὅτι μοι κατεκείρετε οἶκον,
δμωῇσιν δὲ γυναιξὶ παρευνάζεσθε βιαίως,
αὐτοῦ τε ζώοντος ὑπεμνάασθε γυναῖκα,
οὔτε θεοὺς δείσαντες, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν,
οὔτε τιν' ἀνθρώπων νέμεσιν κατόπισθεν ἔσεσθαι·
νῦν ὑμῖν καὶ πᾶσιν ὀλέθρου πείρατ' ἐφῆπται."
Ὣς φάτο· τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δέος εἷλεν·
[πάπτηνεν δὲ ἕκαστος, ὅπῃ φύγοι αἰπὺν ὄλεθρον·]
Εὐρύμαχος δέ μιν οἶος ἀμειβόμενος προσέειπεν·

ceteris procis metuentibus, Antinoi improbitatem excusat Eurymachus, Ulyssis misericordiam implorat, et damnum se sarturos esse promittit.

„Εἰ μὲν δὴ Ὀδυσεὺς Ἰθακήσιος εἰλήλουθας,

judicium secutus veterum Grammaticorum, de quibus E: *Ἰστέον*, inquit, *ὅτι νοθεύεται ὑπὸ τῶν παλαιῶν τὸ χωρίον τοῦτο. ἄκαιρον γὰρ, φασὶ, καὶ γελοῖον, πάντας ὁμοῦ ταῦτα λέγειν ὡς ἐκ συνθήματος, οἷά τινα τραγικὸν χορόν. ἔθος γὰρ, φασὶν, Ὁμήρῳ ἐν τοῖς τοιούτοις οὐχ οὕτω ποιεῖν, ἀλλὰ λέγειν* (velut φ', 361), *ὧδε δέ τις εἴπεσκεν. ἔστι δ' εἰπεῖν, ὡς ἐσχημάτισεν Ὅμ. νῦν ἄλλως τὸ τοιοῦτον νόημα, ὡς οἷα συγκεχυμένως ὑφ' ἑκάστου τῶν μνηστήρων λεγόμενον· οὐ γὰρ εἶχεν ἐν τοσούτῳ ταράχῳ κοινῷ ἰδίᾳ ἠθοποιεῖν.* non miror, hunc deprecatorem minus acceptum fuisse Knightio quam olim bonae feminae Dacieriae. nec tamen haec confodienda sunt, sed emendanda; idque facillime, scribendo *νείκειεν δ'*, h. e. *νείκειε δέ τις*, ellipsi usitata. v. Il. ν', 287, 357. correctionem imperiti sapit *νείκειον*, vel per oscitationem scriptum est librarii, ε et ο litteras non ita dissimiles confundentis. E: *ὅρα δ' ἐν τῷ ξεῖνε — τοξ. κ. ἑξῆς τὸ τῶν ἐννοιῶν κομματικὸν διὰ θυμόν· τρεῖς γὰρ ἐν δυσὶ στίχοις ἔννοιαι κεῖνται αὐτοτελεῖς.* — *οὐκέτ' — ἀντιάσεις*, *non ad alia deinceps certamina admitteris.* v. φ', 402 etc. — B.: „Vocem *σῶς* in hoc hemistichio, quo et alibi Poëta est usus, egregie illustrat Corayus ad Plut. t. 2., p. 417." v. ε', 305. — *γῦπες*. Il. δ', 237. — *ἴσκεν*, *conjectavit*. v. τ', 203. — *φάσαν*, *putabant*. 35, ι', 495 etc. — *ὀλέθρου πείρατα*, h. e. *ὄλεθρος*. 41, Il. η', 402.

35—42. *ὦ κύνες*. convicium, quod impudentibus facere solebant. v. ann. ad Il. α', 159. — *οἴκαδ' ἱκέσθαι*. A. 1. et Sch.: *οἴκαδε νεῖσθαι*. — Sch. em.: *ὑπεμνάασθε. ὑπεφθείρετε, λεληθότως ἐμνηστεύεσθε.* (E: — *τὴν ὑπὸ ἀνδρὶ λέγει. ἔστι δὲ τὸ ὑπεμν. ἀντὶ τοῦ ὑπούλως, κ. ψευδῶς, κ. οὐ κατὰ νόμον ἐμνηστεύεσθε.*) *περὶ δὲ τῆς ἐπιβουλῆς τοῦ Τηλεμάχου οὐκ ὠνείδιζεν, ἴσως ἐπεὶ προεπιβεβουλευμένοι ἠμύνοντο· ἔφη γὰρ* (β', 316), *πειρήσω, ὥς κ' ὔμμι κακὰς ἐπὶ κῆρας ἰήλω.* — *ἀνθρώπων νέμεσιν*. Helena Il. ζ', 350.: *ἀνδρὸς ἔπειτ' ὤφελλον ἀμείνονος εἶναι ἄκοιτις, Ὃς ᾔδη νέμεσίν τε καὶ αἴσχεα πόλλ' ἀνθρώπων.* — *ἔσεσθαι* A. 2., MS. Th. Bentleji, Ald. 3., W, B. ceteri cum E: *ἔθεσθε*, cui Cl. praetendit illud Il. ν', 121: *ἀλλ' ἐν φρεσὶ θέσθε ἕκαστος Αἰδῶ, κ. νέμεσιν.* sed recte Sch.: *ἔσεσθαι ἀναγνωστέον, ἵν' ᾖ δείσαντες ἔσεσθαι.* — *τοὺς — εἷλεν*. λ', 43.

43. versiculus omissus in A. 1. et 2. et MS. Th. Bentleji, nec ab Eustathio commemoratus, quem delevit Knight., W uncinis inclusit. assentior Knightio, ex Il. ξ', 507. transscriptum esse.

45—59. *Ὀδ. Ἰθακήσιος*, ut β', 246. intell. *ὤν*. rarius quidem heroës at-

ταῦτα μὲν αἴσιμα εἶπες, ὅσα ῥέζεσκον Ἀχαιοί,
πολλὰ μὲν ἐν μεγάροισιν ἀτάσθαλα, πολλὰ δ' ἐπ' ἀγροῦ·
ἀλλ' ὁ μὲν ἤδη κεῖται, ὃς αἴτιος ἔπλετο πάντων,
Ἀντίνοος. οὗτος γὰρ ἐπίηλεν τάδε ἔργα,
οὔτι γάμου τόσσον κεχρημένος, οὔτε χατίζων,
ἀλλ' ἄλλα φρονέων, τά οἱ οὐκ ἐτέλεσσε Κρονίων,
ὄφρ' Ἰθάκης κατὰ δῆμον ἐϋκτιμένης βασιλεύοι
αὐτός, ἀτὰρ σὸν παῖδα κατακτείνειε λοχήσας.
νῦν δ' ὁ μὲν ἐν μοίρῃ πέφαται· σὺ δὲ φείδεο λαῶν
σῶν. ἀτὰρ ἄμμες ὄπισθεν, ἀρεσσάμενοι, κατὰ δῆμον,
ὅσσα τοι ἐκπέποται καὶ ἐδήδοται ἐν μεγάροισι,
τιμὴν ἀμφὶς ἄγοντες ἐεικοσάβοιον ἕκαστος,
χαλκόν τε, χρυσόν τ', ἀποδώσομεν, εἰσόκε σὸν κῆρ
ἰανθῇ· πρὶν δ' οὔτι νεμεσσητὸν κεχολῶσθαι."

Ulyssis implacabilis responsum.

Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·

que heroïnae gentilibus quam patronymicis appellari solent apud Homerum; sic tamen Nestor passim *Γερήνιος*, nec semel Helena audit *Ἀργείη*, ne dicam praeconem *Εὐρυβάτην Ἰθακήσιον* Il. β', 184. inepte igitur E: *περιττὸν τὸ Ἰθακ. κ. εἰς οὐδὲν χρήσιμον εἴρηται, οἷα συγκεχυμένου τοῦ Εὐρυμάχου, κ. μὴ φιλοκρινοῦντος λόγου ἀκρίβειαν.* imo ceteris consternatis ille solus de statu non dejicitur, sed Ulyssi conviciato placabiliter respondet. — *αἴσιμα*, *αἰσίμως*, *juste*, vere. — *ῥέζεσκον*. 209, Il. θ', 249. — *κεῖται*, *jacet*, ut mortuus. cf. β', 102, γ', 109, Eurip. Phoen. 1589 etc. — Ap.: *ἐπίηλεν. αὐτὸς* (sic) *γὰρ ἐπίηλεν. Ἀρίσταρχος, ἐπεισέπεμψε.* malim *εἰσέπεμψε*: neque enim notio *τοῦ ἐπὶ*, *insuper*, inest huic verbo. scripturus, ni fallor, per oscitationem librarius *ἐπέπεμψε*, rursus inspecto autographo, manum repressit et *τῷ ἐπ-* addidit genuinum *εἰσέπεμψε*, non deleta menda, more ejus nationis, quae *cane pejus et angue* vitat lituras. v. de hoc genere mendarum ζ', 60, ξ', 33 etc. — *κεχρημένος, οὔτε χατ.* synonyma copulata *ἐμφατικῶς*, uti et 351. — *ἄλλα*, *alia* pejora. v. ann. ad η', 200. E: *ὅρα δὲ τὸ ἄλλα φρονέων, πολλὴν πάνυ ἔχον διαφορὰν πρὸς τὸ ἀλλοφρονέων, ὃ πρὸ τούτων ἐπὶ τοῦ Ἴρου* (imo de Euryalo victo Il. ψ', 698.) *εἴρηται. τοῦτο δὲ καὶ ἐπ' ἄλλων ἐδείχθη πολλῶν, ἐφ' ὧν διαφορὰ τοῦ συνθέτως ἢ διαλελυμένως λαλεῖν.* dixit tamen *ἀλλοφρονέων* eodem sensu atque hic *ἄλλα φρονέων*, κ', 374, nisi et ibi ponendum sit *ἄλλα φρονέων*, quod habuerunt codd. nonnulli, teste Eustathio. — *ἀτὰρ* — *λοχήσας*. v. δ', 663—672. — *ἐν μοίρῃ*. Il. τ', 186.: *ἐν μοίρῃ γὰρ πάντα διΐεο καὶ κατέλεξας.* ibi Sch.: *κατὰ τὸ προσῆκον, κατὰ τὸ πρέπον.* quod alias hic noster dicit *κατὰ μοῖραν*. — *πέφαται*, *occisus est*. 217, Il. ο', 140 etc. — *ὄπισθεν*, *postea*. — *ἀρεσσάμενοι*, *postquam te placaverimus*. Il. ι', 112. E: *ἀρεσ. δὲ καὶ ἐνταῦθα ἀντὶ τοῦ ἀρέσαντες, φιλιωθέντες, ἄρθμιοι γενόμενοι.* cf. θ', 396 etc. — *κατὰ δῆμον* — *ἰανθῇ*. promittit, se et procos viritim apud populum collecturos esse pretium 20 boum, quo damnum Ulyssis sarciatur, praetereaque aeris et auri pondus daturos tantum, quanto ille contentus fuerit. *κατὰ δῆμον τιμὴν ἀμφὶς ἄγοντες*. similiter Alcinous ν', 14.: *ἡμεῖς δ' αὖτις ἀγειρόμενοι κατὰ δῆμον Τισόμεθ'· ἀργαλέον γὰρ ἕνα προικὸς χαρίσασθαι*, ubi v. ann. — *ἀμφὶς*, *seorsim*, *ἀνδρακὰς*, ut ibidem dixit. — E: *τὸ δὲ ἐδήδοται τὰ παλαιὰ ὑπομνήματα Ἀττικὸν εἶναί φασι παρακείμενον ἐκ τοῦ ἐδῶ ἐδοῖς, ὡς ὁμῶ ὁμοῖς, ἵνα γίνοιτο οὕτως, ἐδῶ ἐδώσω ἤδοκα, κ. Ἀττικῶς ἐδήδοκα, ἐξ οὗ τὸ ἐδήδομαι ἐδήδοται. ἄλλως μέντοι ἔγνωσται εἶναι παρακείμενος τοῦ ἔδω βαρυτόνου ἦκα κ. Ἀττικῶς ἔδηκα, εἶτα πλεονασμῷ τῆς δο συλλαβῆς — ἐδήδοκα* etc. cf. Matth. 183, 3. — *ἰανθῇ*, *expletum sit*. δ', 549 etc. — *πρὶν* — *κεχολ.* Il. ι', 523.

„Εὐρύμαχ', οὐδ' εἴ μοι πατρώϊα πάντ' ἀποδοῖτε,
ὅσσα τε νῦν ὔμμ' ἐστὶ, καὶ εἴ ποθεν ἄλλ' ἐπιθεῖτε,
οὐδέ κεν ὧς ἔτι χεῖρας ἐμὰς λήξαιμι φόνοιο,
πρὶν πᾶσαν μνηστῆρας ὑπερβασίην ἀποτῖσαι.
νῦν ὑμῖν παράκειται, ἐναντίον ἠὲ μάχεσθαι,
ἢ φεύγειν, ὅς κεν θάνατον καὶ κῆρας ἀλύξῃ·
ἀλλά τιν' οὐ φεύξεσθαι ὀΐομαι αἰπὺν ὄλεθρον."

quo audito Eurymachus vim vi propulsari jubet.

Ὣς φάτο· τῶν δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
τοῖσιν δ' Εὐρύμαχος προσεφώνεε δεύτερον αὖτις·
„Ὦ φίλοι, οὐ γὰρ σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους,
ἀλλ' ἐπεὶ ἔλλαβε τόξον ἐΰξοον, ἠδὲ φαρέτρην,
οὐδοῦ ἄπο ξεστοῦ τοξάσσεται, εἰσόκε πάντας
ἄμμε κατακτείνῃ, ἀλλὰ μνησώμεθα χάρμης!
φάσγανά τε σπάσσασθε, καὶ ἀντίσχεσθε τραπέζας
ἰῶν ὠκυμόρων, ἐπὶ δ' αὐτῷ πάντες ἔχωμεν
ἀθρόοι, εἴ κέ μιν οὐδοῦ ἀπώσομεν ἠδὲ θυράων,
ἔλθωμεν δ' ἀνὰ ἄστυ, βοὴ δ' ὤκιστα γένοιτο!
τῷ κε τάχ' οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσσαιτο."

ipse stricto gladio invadit Ulyssem, sed item confoditur.

Ὣς ἄρα φωνήσας εἰρύσσατο φάσγανον ὀξὺ,
χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον, ἆλτο δ' ἐπ' αὐτῷ
σμερδαλέα ἰάχων. ὁ δ' ἁμαρτῇ, δῖος Ὀδυσσεὺς,

61, 62. E: τὸ ἀποδοῖτε κ. τὸ ἐπιθεῖτε συγκοπή ἐστι τοῦ δοίητε κ. θείητε, ὧν τρίτα τὸ ἀποδοῖεν κ. ἐπιθεῖεν.

64. ν', 193.

65—67. Sch.: παράκειται. πρόκειται εἰς αἵρεσιν. similiter nostrates: *nun steht es bei euch.* — ἐναντίον ἠὲ μάχεσθαι. hyperbaton pro ἢ ἐν. μαχ. — θάνατον κ. κῆρας ἀλ. β', 352, Il. φ', 565 etc. — αἰπὺν ὄλεθρον. α', 11 etc.

68. δ', 703, ψ', 205, Il. φ', 114 etc.

70—78. οὐ γὰρ — κατακτείνῃ. v. de hoc genere hyperbati α', 337, κ', 174 etc. — σχήσει. ἐφέξει, κωλύσει. Ex E. cf. 172. — ἀνὴρ ὅδε et οὗτος ἀνὴρ 73. contemtim dicta videantur, ut β', 74 et 393. cf. inferius 169. χεῖρας ἀάπτους. λ', 501, Il. α', 567 etc. — τόξον ἐΰξοον. θ', 215, Il. δ', 105 etc. — οὐδοῦ ἀ. ξεστοῦ. σ', 33. — ἀλλὰ μν. χάρμης. Il. ο', 477 etc. — σπάσσασθε, σπάσασθε, *stringite.* v. β', 321, κ', 439 etc. Sch.: ἐξιφοφόρουν γὰρ οἱ παλαιοί. Ammianus Marcell. 23, 6. de Persis: *omnes promiscue vel inter epulas festosque dies gladiis cincti cernuntur; quem Graecorum veterum morem abjecisse primos Athenienses, Thucydides* (1, 6.) *est auctor amplissimus.* plura de hac re v. apud Feith. 4., 7. et scriptores antiquitatum graecarum. cf. et Il. α', 190 etc. — E: ἀντίσχεσθε τραπέζας ἰῶν, ἀντὶ τοῦ προβάλλεσθε ἄντα ἢ ἄντην, κ. ἐξεναντίας τῶν βελῶν ἔχετε δίκην ἀσπίδων. τὸ δὲ τραπ. πιθανῶς ἔχει διὰ τὸ πολλαχοῦ δεδηλῶσθαι (v. α', 138, ρ', 333 etc.), ἑκάστῳ τῶν μνηστήρων (imo cujusque convivae) παρακεῖσθαι τράπεζαν. — ὠκυμόρων. α', 266, Il. ο', 440, α', 417 etc. — ἐπὶ δ' αὐτῷ π. ἔχωμεν ἀθρόοι, *et illi simul omnes instemus.* E: τὸ ἐπὶ — ἔχ. χρήσιμον εἰς τὸ δαιμονίη, τί μοι ὧδ' ἐπέχεις; (τ', 71.) δῆλον γὰρ, ὅτι καὶ ἐκεῖνο ταυτόν ἐστι τῷ τί δή ποτε κατ' ἐμοῦ ἔχεις; τουτέστιν ὁρμᾷς, ἐλαύνεις. — ἀπώσομεν, ἀπώσωμεν. — βοὴ δ' ὤκ. γένοιτο. 133. cf. Il. β', 408. — τῷ — τοξάσσαιτο. 134. similiter Achilles Il. α', 232.: ἦ γὰρ ἂν, Ἀτρείδη, νῦν ὕστατα λωβήσαιο.

80—85. ἀκαχμένον. ε', 235, Il. κ', 135 etc. — σμερδ. ἰάχων. Il. ε', 302, θ', 320 etc. — ἁμαρτῇ. magna pars

* ἰὸν ἀποπροϊεὶς βάλλε στῆθος παρὰ μαζὸν,
ἐν δέ οἱ ἥπατι πῆξε θοὸν βέλος. ἐκ δ' ἄρα χειρὸς
φάσγανον ἧκε χαμᾶζε, περιῤῥηδὴς δὲ τραπέζῃ
κάππεσεν ἰδνωθεὶς, ἀπὸ δ' εἴδατα χεῦεν ἔραζε,
καὶ δέπας ἀμφικύπελλον· ὁ δὲ χθόνα τύπτε μετώπῳ,
θυμῷ ἀνιάζων, ποσὶ δὲ θρόνον ἀμφοτέροισι
λακτίζων ἐτίναξε, κατ' ὀφθαλμῶν δ' ἔχυτ' ἀχλύς.

Amphinomum irruentem Telemachus hasta trajicit.

Ἀμφίνομος δ' Ὀδυσῆος ἐείσατο κυδαλίμοιο
ἀντίος ἀΐξας· εἴρυτο δὲ φάσγανον ὀξὺ,
εἴ πώς οἱ εἴξειε θυράων. ἀλλ' ἄρα μιν φθῆ

librorum hic quoque: ὁμαρτῇ, ut Il. ε', 656, ubi v. ann. A. 4.: ἁμάρτει, ceteri Vindobb.: ὁμαρτῇ, Ald. 3.: ὁμάρτει, W et B: ἀμ. — *ἰὸν — μαζόν*. minus concinne A. 1: ἰὸν ἀποπροΐει· βάλε δὲ στῆθος. ibidem in margine, manu prima: γρ. ἰὸν ἀποπροϊεὶς βάλε στ. A. 2. et 3.: βάλε δέ. Ald. 3.: — ἀποπροϊείς· βάλε δὲ στ. haud scio an scribendum sit ἰὸν ἀποπροϊεὶς βάλε δὴ στ. π. μ. certe sensum aoristi hic habet imperfectum, qua de re v. δ', 452., saepissimeque, ut par est, usurpatus in hoc genere aoristus invenitur apud Homerum et Epicos, non item imperfectum. v. Seberum p. 100. et 101. — Am. Q. et Harl.: *περιῤῥηδής*. περικλινής. similiter Ap. h. v.: περιῤῥησόμενος, περικεκλασμένος, et Schol. Apollonii Rhodii 1, 431.: *ἤριπε δ' ἀμφοτέροισι περιῤῥηδὴς κεράεσσι*. τουτέστιν ἐπὶ πρόσωπον μεθ' ὁρμῆς κατενεχθεὶς, ἐπιῤῥαγεὶς εἰς τοὔμπροσθεν, ἢ ἐπενεχθεὶς, ὡς καὶ παρὰ τῷ Ποιητῇ *περιῤῥηδὴς δὲ τραπέζῃ κάππεσεν* ὁ Εὐρύμαχος. minus probabiliter Ap. ibidem: βέλτιον δὲ μεταφορικῶς περιῤῥεόμενος· βάλλεται γὰρ [καὶ] τὸ ποτήριον κρατῶν, ὡς ἅμα τῇ πόσει περιῤῥεῖσθαι πεσόντα. nec placet Aristarchi interpretatio apud eundem Grammaticum haec: στροβηθεὶς, περιφερὴς ἔπεσε τῇ τραπέζῃ, ὡς περικλασθῆναι περὶ αὐτήν. quanquam postrema ὡς αὐτὴν ferenda sunt; sed τὸ στροβηθεὶς accommodatum videtur scripturae κάππεσε δινηθεὶς, cui substitui id, quod praebuit codex frugi A. 1. et ceterorum pars librorum, κάππεσεν ἰδνωθεὶς, pro quo corrupte A. 4.: κάππεσε δινωθείς. neque enim aptum est δινηθεὶς Eurymacho, in plano concidenti. apte Euripides de Capaneo, excusso scalis, quibus ascendebat muros Thebarum, Phoen. 1110.: ἤδη δ' ὑπερβαίνοντα γεῖσα τειχέων Βάλλει κεραυνῷ Ζεύς νιν, — ἐκ δὲ κλιμάκων *Ἐσφενδονᾶτο* χωρὶς ἀλλήλων μέλη, — Χεῖρες δὲ καὶ κῶλ' ὡς *κύκλωμ' Ἰξίονος Εἱλίσσετ'*, εἰς γῆν δ' ἔμπυρος πίπτει νεκρός. at Eurymachi corpus non rotatur brevi spatio, sed contorquetur incurvaturque dolore vulneris accepti, ut Thersitae Il. β', 266., ubi Sch.: ὁ δ' *ἰδνώθη*. οὗτος δὲ ἀπὸ τῆς ὀδύνης συνεκάμφθη. huic verbo congruit περιῤῥηδὴς a περιῤῥαίνειν, *circumfluere* sensu metaphorico, ut defluens et inflexus in mensam prae dolore significetur procus. (E: *περιῤῥηδής* ὁ ἐῤῥαντισμένος αἵματι, [?] ὡς ἀπὸ τοῦ ῥάζω, οὗ δεύτερος ἀόριστος ἔῤῥαδον, ὅθεν ὁ περιῤῥηδής. εὕρηται δὲ καὶ ἀμφιῤῥηδὴς ἐν ῥητορικῷ Λεξικῷ, καθ' ὁμοιότητα τούτου λεχθέν.) bene Villoisonus ad Ap. l. c.: „— vulnere accepto letali περιῤῥηδὴς τραπέζῃ κάππεσεν, i. e. *pronus in mensam cecidit*, qua pro clypeo utebatur; unde fieri debebat, ut cibi et poculum effunderentur humi. unice hanc interpretationem commendat imitatio Apollonii Rhodii 1, 431., quam ex L. Bosii Observ. crit. notavit ad Hesychium Cl. Alberti" etc.

86—88. „*ὁ δὲ — μετώπῳ*. Virg. Aen. 10, 348.: *at ille Fronte ferit terram*." Cl. cf. 94, 296. — *ἀνιάζων*, *dolens*. δ', 460, Il. φ', 270 etc. — *λακτίζων*, *calcitrans*. σ', 98. — *ἐτίναξε*, *concussit*, impulit. ζ', 43 etc. — *κατ' — ἀχλύς*. Il. π', 344.: ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ὀφθαλμῶν κέχυτ' ἀχλύς. cf. Il. ε', 696 etc. Virg. 12, 310., notante Cl.: *in aeternam clauduntur lumina noctem.*

89—99. Sch.: *ἐείσατο*. (Il. ο', 415.) ὡς ἐπὶ Ὀδυσσέα ὥρμησεν. — *εἴρυτο*, *strinxit*. τ', 481, Il. α', 190 etc. —

Τηλέμαχος κατόπισθε βαλὼν χαλκήρεϊ δουρὶ
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσε·
δούπησεν δὲ πεσών, χθόνα δ' ἤλασε παντὶ μετώπῳ.
Τηλέμαχος δ' ἀπόρουσε, λιπὼν δολιχόσκιον ἔγχος
αὐτοῦ ἐν Ἀμφινόμῳ· περὶ γὰρ δίε, μήτις Ἀχαιῶν
ἔγχος ἀνελκόμενον δολιχόσκιον ἢ ἐλάσειε
φασγάνῳ ἀΐξας, ἠὲ προπρηνέϊ τύψῃ.
βῆ δὲ θέειν, μάλα δ' ὦκα φίλον πατέρ' εἰσαφίκανεν,
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
„Ὦ πάτερ, ἤδη τοι σάκος οἴσω καὶ δύο δοῦρε,
καὶ κυνέην πάγχαλκον, ἐπὶ κροτάφοις ἀραρυῖαν,
αὐτός τ' ἀμφιβαλεῦμαι ἰών, δώσω δὲ συβώτῃ
καὶ τῷ βουκόλῳ ἄλλα· τετευχῆσθαι γὰρ ἄμεινον.“
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„οἶσε θέων, εἵως μοι ἀμύνεσθαι πάρ' ὀϊστοί,
μή μ' ἀποκινήσωσι θυράων, μοῦνον ἐόντα.“

armis, a Telemacho allatis, induuntur Ulysses et servi duo.

Ὣς φάτο, Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρὶ,
βῆ δ' ἴμεναι θάλαμόνδ', ὅθι οἱ κλυτὰ τεύχεα κεῖτο.
ἔνθεν τέσσαρα μὲν σάκε' ἔξελε, δούρατα δ' ὀκτὼ,

ὤμων — πεσών. Il. ε', 41, λ', 448, seqq., etc. — *δολιχόσκιον.* τ', 438, γ', 346 etc. — *περὶ γὰρ δίε.* tmesis. v. Il. ε', 566, ν', 52 etc. cf. Il. ρ', 242. — *προπρηνέϊ.* h. e. *χειρὶ προπρ.*, ut E interpretatur; ceterum minus bene: *τουτέστιν*, inquit, *καταφερῆ πληγὴν ἐπενεγκών.* imo *προπρηνέϊ*, *prona manu*, h. e., opinor, adversa, non a tergo, quod intelligam in verbis *φασγάνῳ ἀΐξας*, quo opponantur *τῷ προπρηνέϊ.* Il. γ', 218.: *σκῆπτρον δ' οὔτ' ὀπίσω, οὔτε προπρηνὲς ἐνώμα.* ibi Sch.: *προπρηνές. εἰς τοὔμπροσθεν.* ἐπέχω tamen: nam idem h. l.: *προπρ. κατὰ στόμα τῷ ξίφει, ὀρθὸς εἰς τοὔμπροσθεν, μὴ ἀνατείνας, ἀλλὰ νύξας ὑπτίως. οἱ μὲν γὰρ νύττοντες πλατὺ ἔχουσι τὸ ξίφος, οἱ δὲ πλήττοντες πλάγιον.* Montbel.: „Je crois que ces mots *ἐλάσ. φασγάνῳ . . . ἠὲ προπρηνέϊ τύψας* répondent à ceux-ci de notre langue, *qu'il ne frappe d'estoc ou de taille.* Les petites scholies (alio scil. loco) expliquent *ἐλ. φασγ.* par *πλατεῖ τῷ ξίφει πλήξειε*, *qu'il ne frappe par son épée large;* ce qui exprime *le tranchant*, *la taille;* et le mot *προπρηνέϊ*, en sous-entendant *χειρὶ*, *par une main poussée en avant*, s'entend de *la pointe*, de *l'estoc.*“ similiter Voss.: -- *denn er fürchtete, dass ein Achaier, Wenn er die Lanz' auszöge, die ragende, ihn mit dem schwerte Hergestürzt entweder* durchbohrete, *oder* zerhaute. — *τύψῃ* A. 2. et 3., et MS. Th. Bentleji. Harl.: *τύψῃ.* A. 1.: *τύψει*, pro eodem. vel fuerit *τύψειε*, scriptura varians, quam memoravit Schol. Harl.; qua recepta scribendum foret, auctore Buttmanno, *ἢ προπρηνεῖ τύψειε.* sed nihil opus. vulgo: *τύψας*, minus quidem aperte oppositis diversis hisce actionibus, quas dicit, temereque invecto homoeoteleuto. praeterea fuerunt, qui mallent *προπρηνέα*, idque superscriptum legitur in Harl. — *βῆ δὲ θέειν*, ut *βῆ δ' ἴμεν* ε', 475 et alias.

101—115. *δύο δοῦρε.* μ', 228 etc. — *πάγχαλκον* A. 2. et 3., W, B. vulgo: *εὔχαλκον.* — *ἐπὶ κροτ. ἀραρυῖαν.* Il. ν', 188 etc. cf. et similia Il. γ', 333, 338 etc. — *ἀμφιβαλεῦμαι*, *ἀμ—οῦμαι*, *induam.* ξ', 178, Il. β', 45 etc. simile *περιβαλλομένους τεύχεα* 148. Ap.: *τετευχῆσθαι. καθωπλίσθαι.* a *τευχέω.* E: *ἀσύνηθες δὲ ῥῆμα φράσει πεζῇ, ποιητικὸν δὲ ὅμως, τὸ τετευχ.* — *ἄμεινον*, *ἀγαθόν.* v. Matth. §. 457, Il. η', 352, Vechneri Hellenolex. 1, 1, 5, nos ann. ad Plaut. Aul. 288 ed. 1. Plautus Most. 5, 1, 20.: *res palam est. nunc te videre* meliust, *quid agas, Tranio.* — *οἶσε*, *affer.* 481, γ', 429 etc. — *πάρ'*, *πάρα*, *πάρεισι.* — *κλυτὰ τεύχεα*, *arma crepitantia*, ni fallor. v. μ', 228. — *ἔξελε.* 144, Il. ω',

καὶ πίσυρας κυνέας χαλκήρεας ἱπποδασείας·
βῆ δὲ φέρων, μάλα δ' ὦκα φίλον πατέρ' εἰσαφίκανεν.
αὐτὸς δὲ πρώτιστα περὶ χροῒ δύσετο χαλκόν·
ὣς δ' αὔτως τὼ δμῶε δυέσθην τεύχεα καλά,
ἔσταν δ' ἀμφ' Ὀδυσῆα δαΐφρονα, ποικιλομήτην.

pergit Ulysses sagittare, donec pharetra exhausta est; tum hastis rem gerit.

Αὐτὰρ ὅγ', ὄφρα μὲν αὐτῷ ἀμύνεσθαι ἔσαν ἰοὶ,
τόφρα μνηστήρων ἕνα γ' αἰεὶ ᾧ ἐνὶ οἴκῳ
βάλλε τιτυσκόμενος· τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον.
αὐτὰρ ἐπεὶ λίπον ἰοὶ ὀϊστεύοντα ἄνακτα,
τόξον μὲν πρὸς σταθμὸν ἐϋσταθέος μεγάροιο
ἔκλιν' ἑστάμεναι, πρὸς ἐνώπια παμφανόωντα,
αὐτὸς δ' ἀμφ' ὤμοισι σάκος θέτο τετραθέλυμνον,
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν,
ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν,
εἵλετο δ' ἄλκιμα δοῦρε δύω κεκορυθμένα χαλκῷ.

portam quandam scalarum Ulysses Eumaeum custodire jubet.

Ὀρσοθύρη δέ τις ἔσκεν ἐϋδμήτῳ ἐνὶ τοίχῳ·
ἀκρότατον δὲ παρ' οὐδὸν ἐϋσταθέος μεγάροιο
ἦν ὁδὸς ἐς λαύρην, σανίδες δ' ἔχον εὖ ἀραρυῖαι.
τὴν δ' Ὀδυσεὺς φράζεσθαι ἀνώγει δῖον ὑφορβὸν,
ἑσταότ' ἄγχ' αὐτῆς· μία δ' οἴη γίγνετ' ἐφορμή.
τοῖς δ' Ἀγέλεως μετέειπεν, ἔπος πάντεσσι πιφαύσκων·

229, β', 690 etc. A. 2., 3. et alii: *εἵλετο*, ut 125 etc. — *πίσυρας*. ε', 70 etc. — *χαλκήρεας*. α', 262, Il. γ', 316 etc. — *ἱπποδασείας*. Il. γ', 369 etc. notabis homoeoteleuton 4 vocum continuarum, sed diversae quantitatis. — *πρώτιστα*. γ', 57 etc. — *περὶ χ. δύσετο*. mire Il. λ', 100.: *ἐπεὶ περίδυσε χιτῶνας*, pro *ἀφείλετο*, ut ajunt. sed ego incredulus, vixque dubito, quin ponendum sit *περὶ λῦσε*. — *δαΐφρονα, ποικιλομήτην*. γ', 163.

118—122. *τοὶ δ' ἀγχιστῖνοι* (*conferti*) *ἔπιπτον*. ω', 180, 448, Il. ρ', 361. — *λίπον*, *defecerunt*. — *ἐϋσταθέος*, *firmi*, solidi. 127, 257, υ', 258 etc. — *ἐνώπια παμφ*. δ', 42, Il. ϑ', 434. — *σάκος τέτραθ*. Il. ο', 479., ubi Sch.: *τετρ. τετράπτυχον, τέσσαρας θέσεις ἔχον ἐπαλλήλους*. cf. Ap. vv. *τετραθέλυμνον* et *προθελύμνους*.

123, 24. Il. γ', 336, 37, π', 135, 36.

125. Il. λ', 43. cf. Il. π', 139.

126—133. E: *ὅτι ὀρσοθύρη ἐνταῦθα παρὰ τῷ ποιητῇ θύρα τις ἐπίσημος, ὑψηλοτέραν πρόσβασιν ἔχουσα, εἰς ἣν οὐχ οἷόν τε ἦν ἀνελθεῖν τινα εἰ μὴ* (excidit *εἰ* in libris propter *-α* simile, quod antecedit) *διὰ κλίμακος ἴσως, ἢ ἄλλως πως ἀνορούσαντα καὶ ἀναθορόντα εἰς αὐτήν. ὅθεν καὶ ὀρσοθύρη ἐκαλεῖτο, ἤγουν θύρα, εἰς ἣν ὄρνυταί τις θέλων ἰδεῖν ἐκεῖθεν. ἡ δὲ τοιαύτη σύνθεσις καὶ τὴν ὀρσύδραν παρήγαγεν, ὀπὴν ἐκείνην, δι' ἧς ὄρνυται ὕδωρ ὑψοῦ. — ἔφερε δὲ ἡ τοιαύτη ὀρσοθύρη ἀνελθόντα εἰς αὐτὴν ἐπὶ τὰς μετὰ τὸν πρόδρομον θύρας τῆς αὐλῆς, ἧς τὰς πύλας δεσμῷ βιβλίνῳ Φιλοίτιος ἐπέδησε, κ. ἐπὶ λαῦραν, τουτέστι δημοσίαν στενωπόν.* Hesych.: *ὀρσοθύρα, πᾶσα θύρα μὴ ἔχουσα τὸν βαθμὸν* (limen, aditum) *πρὸς τῇ γῇ, ἀλλ' ἀπέχουσα τοῦ ἐδάφους, οἷον θυρὶς, ἢ θύρα εἰς ὑπερῷον ἀνάγουσα.* paulo aliter Apollonius, seu potius apud illum Apion: *ὀρσοθύρη, θύρα ὑψηλὴ, δι' ἧς ἔστι καταβαίνοντα ἢ ἀνιόντα ὀροῦσαι, ὅ ἐστι πηδῆσαι*, (perperam liber: — *καταβαίνοντος ὀρ., ὅ ἐστιν πηδ., ἢ ἀνιόντος πηδ.* scribendum esse *κατ — τα* et *ἀν — τα*, intellexit Villois.) *διὰ τὸ μὴ ἔχειν*

„Ὦ φίλοι, οὐκ ἂν δή τις ἀν' ὀρσοθύρην ἀναβαίη,
καὶ εἴποι λαοῖσι, βοὴ δ' ὤκιστα γένοιτο;
τῷ κε τάχ' οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσσαιτο.
Τὸν δ' αὖτε προσέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
„οὔπως ἔστ', Ἀγέλαε διοτρεφές· ἄγχι γὰρ αἰνῶς
αὐλῆς καλὰ θύρετρα, καὶ ἀργαλέον στόμα λαύρης·
καί χ' εἷς πάντας ἐρύκοι ἀνήρ, ὅστ' ἄλκιμος εἴη.
ἀλλ' ἄγεθ', ὑμῖν τεύχε' ἐνείκω θωρηχθῆναι
ἐκ θαλάμου· ἔνδον γάρ, ὀΐομαι, οὐδέ πη ἄλλη
τεύχεα κατθέσθην Ὀδυσεὺς καὶ φαίδιμος υἱός."

βαθμούς. hujusmodi fere sunt scalae illae, quas Germani vocant *Wendeltreppen.* Montbel.: *Dans l'épaisse (?) muraille était une porte secrète; située près du seuil élevé de la salle superbe, elle donnait une sortie dans la rue, et fut construite de planches solides.* (E: ταύτην δὲ τὴν ὀρσοθύρην, — ὡς θύραν, σανίδες εἶχον εὖ ἀραρυῖαι, ἐπεὶ καὶ πᾶσαι θύραι ὡσεπιπολὺ σανίδες εὖ ἀραρυῖαι λέγονται.) Quoiqu'il soit assez difficile de se faire une idée bien nette de la construction intérieure de ce palais d'Ulysse, cependant, d'après l'ensemble du récit, voici ce qu'il est permis de conjecturer. La bataille se livrait dans la grande salle du festin; Ulysse, Télémaque, et les 2 pasteurs, occupaient le seuil de la porte, qui, par sa position, dominait le reste de la salle. En effet, il est dit, au second vers de ce chant, qu' Ul. *s'élança sur le grand seuil,* ἆλτο δ' ἐπὶ μέγαν οὐδόν. Par μέγας οὐδὸς on doit entendre ici le *seuil élevé.* Près de ce *seuil élevé,* ἀκρότατον δὲ παρ' οὐδὸν (v. 127), était une *porte secrète,* ὀρσοθύρη, pratiquée *dans l'épaisse muraille,* ἐϋδμήτῳ ἐνὶ τοίχῳ (v. 126), qui *donnait une sortie dans la rue,* ἣν ὁδὸς ἐς λαύρην (v. 128.). *Λαύρη* signifie bien ici la rue, ou du moins un couloir qui y conduisait, (Sch.: λαύρην. στενὴν ὁδὸν, δι' ἧς οἱ λαοὶ ῥέουσι κ. φέρονται, οἱονεὶ ἄμφοδον. E: λαῦρα στενὴ ὁδὸς, ἄμφοδος, δι' ἧς λαοὶ ῥέουσιν, ἤτοι φέρονται. ὅθεν, φασὶ, καὶ διάλαυρος ὁ ἐν τῷ πέραν τῆς ἀμφόδου οἰκῶν, κ. οἷον ἀντίθυρος. ἐν δὲ ῥητορικοῖς λεξικοῖς φέρεται καὶ ὅτι λαῦρα ἡ ἀμάρα, κ. [ὅτι] λαῦραι ῥῦμαι, κῶμαι, στενωποὶ ὑπόνομοι [subterranei]. σύνθετον δ' ἐκ τῆς λαύρας καὶ ἡ σποδησιλαῦρα, τουτέστιν ἡ πόρνη, λεγομένη οὕτω παρὰ τὸ διατρίβειν ταπολλὰ ἐν ταῖς ὁδοῖς etc.) puisque Agélaüs demande à ses compagnons, s'il n'est personne qui *franchisse la porte secrète, et avertisse les peuples,* ὀρσοθύρην ἀναβαίη, καὶ εἴποι λαοῖσι (v. 132). Mais, comme Ulysse a commis la garde de cette porte au pasteur Eumée (v. 129—30), Mélanthius observe que cela n'est pas possible, et que *cette étroite issue est trop difficile,* ἀργαλέον στόμα λαύρης (v. 137). Outre cette porte secrète, il devait y en avoir une autre, quoique le poète n'en parle pas, qui, par *l'escalier de la salle,* ἀνὰ ῥῶγας μεγάροιο (v. 143), communiquait à la chambre où se trouvaient les armes, puisque Mélanthius ajoute aussitôt, en s'addressant à Agélaus: „Mais attendez, pour vous protéger, j'apporterai les armes de la chambre," ἀλλ' ἄγεθ', — ἐκ θαλάμου (v. 139—40). C'est aussi ce qu' observe Eustathe avec raison." sed male fingit alteram ὀρσοθύρην, cum Homerus dicat ῥῶγας μεγάροιο, *scalas* ἀνδρῶνος. sic enim ille: ἐν τούτοις δέ φασιν οἱ παλαιοὶ καὶ ἑτέραν ὀρσοθύρην εἶναι, δι' ἧς ἀνελθὼν εἰς τὸ ὑπερῷον Μελάνθιος ἀνείλετο τὰ ὅπλα. — ὁδὸς, *via* illa per ὀρσοθύραν. — φράζεσθαι, *observare,* custodire. — ἐφορμή, *aditus,* si quis opitulari voluisset procis. — Ἀγέλεως, pro Ἀγέλαος, ut Ἀκρόνεως et Ἀναβησίνεως θ', 111. et 13. v. Th. gramm. gr. ed. 2. pag. 246. MS. Th. Bentleji, quem librum novissimi editores secuti sunt: Ἀγέλεως μετέειπεν. A. 2. et 3.: ἀγελάως μετ. Ald. 3. et E: Ἀγέλαος μετ. vulgo, a correctore: Ἀγέλαος ἔειπεν, uti et inferius 247. — βοὴ — τοξάσσαιτο. 77, 78.

136—148. ἄγχι — λαύρης. prope ait esse ὀρσοθύραν aulae portis, quas custodiebat Philoetius, et molestum angiporti os angustum, quod vel unus vir strenuus contra multos ingruentes defendat. E: ἀργ. στόμα λαύρης. ἤγουν ὁ πρὸς τὴν ὀρσοθύρην ἄγων στενωπός. — κατθέσθην, κατεθέσθην. — φαίδιμος υἱός. γ', 189, π', 308,

petit arma Melanthius procis ex horreo Ulyssis, quod claudere oblitus erat Telemachus.

Ὣς εἰπὼν ἀνέβαινε Μελάνθιος, αἰπόλος αἰγῶν,
ἐς θαλάμους Ὀδυσῆος, ἀνὰ ῥῶγας μεγάροιο.
ἔνθεν δώδεκα μὲν σάκε' ἔξελε, τόσσα δὲ δοῦρα,
καὶ τόσσας κυνέας χαλκήρεας ἱπποδασείας·
βῆ δ' ἴμεναι, μάλα δ' ὦκα φέρων μνηστῆρσιν ἔδωκε.

Ulysse trepidante, subulcus iterum illuc ascendere videt Melanthium.

καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
ὡς περιβαλλομένους ἴδε τεύχεα, χερσί τε δοῦρα
μακρὰ τινάσσοντας· μέγα δ' αὐτῷ φαίνετο ἔργον.
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα·
„Τηλέμαχ', ἦ μάλα δή τις ἐνὶ μεγάροισι γυναικῶν
νῶϊν ἐποτρύνει πόλεμον κακὸν, ἠὲ Μελανθεύς."
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„ὦ πάτερ, αὐτὸς ἐγὼ τόδε γ' ἤμβροτον, οὐδέ τις ἄλλος
αἴτιος, ὃς θαλάμοιο θύρην πυκινῶς ἀραρυῖαν
κάλλιπον ἀγκλίνας· τῶν δὲ σκοπὸς ἦεν ἀμείνων.
ἀλλ' ἴθι, δῖ' Εὔμαιε, θύρην ἐπίθες θαλάμοιο,
καὶ φράσαι, εἴ τις ἄρ' ἐστὶ γυναικῶν, ἣ τάδε ῥέζει,
ἢ υἱὸς Δολίοιο, Μελανθεὺς, τόν περ ὀΐω."
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
βῆ δ' αὖτις θάλαμόνδε Μελάνθιος, αἰπόλος αἰγῶν,
οἴσων τεύχεα καλά. νόησε δὲ δῖος ὑφορβὸς,
αἶψα δ' Ὀδυσσῆα προσεφώνεεν, ἐγγὺς ἐόντα·
„Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
κεῖνος δ' αὖτ' ἀΐδηλος ἀνὴρ, ὃν ὀϊόμεθ' αὐτοὶ,
ἔρχεται ἐς θάλαμον· σὺ δέ μοι νημερτὲς ἐνίσπε,
ἤ μιν ἀποκτείνω, αἴ κε κρείσσων γε γένωμαι,
ἦέ σοι ἐνθάδ' ἄγω, ἵν' ὑπερβασίας ἀποτίσῃ
πολλὰς, ὅσσας οὗτος ἐμήσατο σῷ ἐνὶ οἴκῳ."

Il. δ', 505 etc. — Ap., h. l. c.: ῥῶγας. τὰς θυρίδας. Sch.: ῥήγματα, θυρίδας, ἢ τὰς τῆς οἰκίας ὑπερῴας διόδους. E: ῥῶγες μεγάροιο δίοδοι, ῥήγματα, θυρίδες, θηλυκῶς ἀπὸ τοῦ ῥὼξ ῥωγὸς, αὐτὸ δὲ ἀπὸ τοῦ ῥήσσω, ῥήξω. τινὲς δὲ οὐδετέρως τὸ ῥῶγας ἐνόησαν, ὡς τὸ κῶας. — ἔνθεν — δοῦρα. insimulavit haec Aristarchus, tanquam absurda. E: σημείωσαι, ὅτι τὸ περὶ τῶν δώδεκα σακέων κ. τὸ ἐφεξῆς Ἀρίσταρχος ἀθετήσας κεχίακεν (χ apposito damnavit), ἀδύνατον εἶναι εἰπὼν τοσαῦτα βαστάσαι ἄνθρωπον. quasi Hom. caprarium ista simul omnia extulisse dicat. imo saepius ivit rediitque, dum satis armorum esset procis: v. 161, 183, 84. intellexerunt hoc Dacieria et Barn. — Ὀδ. λύτο — ἦτορ. δ', 703 etc. — περιβαλλ. τεύχεα. cf. 103.

151—158. ἦ μάλα — κακόν. ordo: ἦ μ. δή τις γυν. ἐποτρύνει νῶϊν π. κακόν. ἐποτρύνει, concitat. α', 89 etc. — Sch.: ἤμβροτον (η', 292 etc.). ἀντὶ τοῦ ἔπταισα. — E: ἀγκλίνας. (h. e. ἀνακλίνας.) ἀνοίξας. opponitur ἐπίθες 157., ut λ', 524.: ἠμὲν ἀνακλῖναι πυκινὸν λόχον, ἠδ' ἐπιθεῖναι. cf. Il. ε', 751, θ', 394. — σκοπός. δ', 524 etc. — Am. Q.: καὶ φράσαι. τὸ φράσαι οὐ μόνον ἐπὶ ψυχικῆς ἐννοίας, ἀλλὰ καὶ ἐπὶ ὄψεώς φησιν ὁ π.

165 — 173. κεῖνος δὲ, κ. δή. — Am. Q.: ἀΐδηλος. ὀλέθρου ἄξιος. perniciosus. cf. θ', 309. — ὑπερβασίας, *facinora*, injurias. γ', 206. — οὗτος. v. ann. ad 70. — ἐμήσατο. γ', 194

quem vinctum Ulysses ex trabe suspendi jubet in horreo, et ita relinqui; quod fit.

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ἤτοι ἐγὼ καὶ Τηλέμαχος μνηστῆρας ἀγαυοὺς
σχήσομεν ἔντοσθεν μεγάρων, μάλα περ μεμαῶτας.
σφῶϊ δ' ἀποστρέψαντε πόδας καὶ χεῖρας ὕπερθεν,
* [ἐς θάλαμον βαλέειν, σανίδας δ' ἐκδῆσαι ὄπισθε,]
σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντε,
κίον' ἀν' ὑψηλὴν ἐρύσαι, πελάσαι τε δοκοῖσιν,
ὥς κεν δηθὰ ζωὸς ἐὼν χαλέπ' ἄλγεα πάσχῃ."
"Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο·
βὰν δ' ἴμεν ἐς θάλαμον, λαθέτην δέ μιν ἔνδον ἐόντα.
ἤτοι ὁ μὲν θαλάμοιο μυχὸν κάτα τεύχε' ἐρεύνα,
τὼ δ' ἔσταν ἑκάτερθε παρὰ σταθμοῖσι μένοντε.
εὖθ' ὑπὲρ οὐδὸν ἔβαινε Μελάνθιος, αἰπόλος αἰγῶν,

etc. — σχήσομεν, κατασχήσομεν, καθέξομεν. cf. 70 etc. — μάλα περ μεμ., *quamvis incitatos*. Il. ν', 317 etc. — χεῖρας ὕπερθεν. 406, θ', 135, Il. ε', 122 etc. contra Tyrtaeus l. c. ad 184.: κνήμας τε κάτω.

174. versus spurius et corruptus, quem qui fabricatus est, recentioris aevi morem Homero obtrusit. neque enim σανίδας ἐκδῆσαι est *fores occludite*, ut putant, sed dixisset id poëta hoc vel simili modo, ἐπὶ δεσμὸν ἴηλαι, ut φ', 241, θύρην ἐπιθεῖναι, ut 157. et 201. quodsi vel maxime significari verbis illis possent fores occlusae, tamen ferendum non esset πρωθύστερον, quod hic reperire sibi visus est E. οὐ γάρ, inquit, μετὰ τὸ σανίδας ἐκδῆσαι, τουτέστι θύρας, κρεμάννυται ὁ Μελανθεύς, ἀλλὰ στρεφθεὶς χεῖρας κ. πόδας, κ. σειρᾷ ἐκδεθείς, ἀπαιωρεῖται. — διὸ καὶ πρὸς ἑρμήνειαν κ. σαφήνειαν πρόσκειται τὸ ὄπισθε χρονικῶς, — ἤγουν μετὰ τοῦ πάντα, ὅσα χρή, ἐπὶ Μελανθίῳ ποιῆσαι. eandem cantilenam canit Am. Q.: τὸ ὄπισθεν χρονικῶς, ἀντὶ τοῦ μετὰ ταῦτα τὰς σανίδας, ὅ ἐστι θύρας, δήσαντες, ἐξελθόντες κ. ἐάσαντες (scrib. ἐξέλθετε κ. ἐάσατε) αὐτὸν ἐῤῥιμμένον. εἶτα, ὡς μεταγνούς, (!) φησί, μᾶλλον δὲ μὴ ἐῤῥιμένον ἐάσητε, ἀλλὰ κρεμάσατε. λείπει οὖν τὸ μᾶλλον etc. *en cor Zenodoti, en jecur Cratetis!* certe si ita balbutiret hic noster, dudum periisset cum tot ipsius explicatoribus. verum ne versificator quidem, quicunque est, a quo haec profecta sunt, ita scripsisse putandus est, sed dederat ille, nisi fallor, σανίδος δ' ἐκδῆσαι ὄπισθεν, *et tabulae alligate illum tergo*. novimus hoc genus poenae, posteriore aevo usitatum, de quo jam olim nonnullos hic cogitasse, auctor est E: ἰστέον δέ, ὅτι εὑρόντες τινὲς παρὰ Ἡροδότῳ κείμενον τὸ ζῶντα τὸν δεῖνα πρὸς σανίδα διεπαττάλευσαν, ἐβιάσαντο κἀνταῦθα ὅμοιόν τι νοῆσαι etc. recte dixit ἐβιάσαντο: nam hoc est vim inferre poëtae, cui incognitum fuit illud supplicium; quod si hic commemorasset, vestigium rei appareret inferius 187—193. quare uncos impegimus huic versui, quamvis probabiliter (v. φ', 123) emendato. nam quis audiat Clarkeum, cui haec proprio et simplici verborum ordine, ut ait, intelligenda esse videbantur: scilicet Melanthium retractum in θάλαμον, foribus occlusis, ne quis superveniens impediret, ex trabe suspensum esse? quis, quaeso, metuendus erat Telemacho et Eumaeo, procis pro salute pugnantibus, famulis huc illuc trepide dilapsis, mulieribusque dudum conclusis in gynaeceo? ne dicam, non adeo illos ignavos fuisse, ut quenquam extimescerent, et duo, et inter arma. — ceterum A. 1. verbo ὄπισθεν adscriptum habet a manu 1. in margine: ἱμάντι.

175—177. σειρὴν — πειρ. hexameter meris forte spondeis constans, ut φ', 15. repetitur 192. — Sch.: σειρήν (192, Il. θ', 19 etc.). πλέγμα, σχοινίον. πειρ. ἐκδήσαντες. — δοκοῖσιν, *trabibus*. 193, τ', 38. — δηθά, *diu*. α', 49 etc.

178. γ', 477, Il. γ', 379 etc.

180—194. ἐρεύνα, *quaerebat*. τ', 436, Il. σ', 321. — μένοντε, *exspectantes illum*. — εὖθ'. A. 2. et 3.: ἔνθ'. verba etiam alias confusa, velut

τῇ ἑτέρῃ μὲν χειρὶ φέρων καλὴν τρυφάλειαν,
τῇ δ' ἑτέρῃ σάκος εὐρὺ, γέρον, πεπαλαγμένον ἄζῃ,
Λαέρτεω ἥρωος, ὃ κουρίζων φορέεσκε
(δὴ τότε γ' ἤδη κεῖτο, ῥαφαὶ δ' ἐλέλυντο ἱμάντων),
τὼ δ' ἄρ' ἐπαΐξανθ' ἑλέτην, ἔρυσάν τέ μιν εἴσω
κουρὶξ, ἐν δαπέδῳ δὲ χαμαὶ βάλον ἀχνύμενον κῆρ,
ξὺν δὲ πόδας χεῖράς τε δέον θυμαλγέϊ δεσμῷ,
εὖ μάλ' ἀποστρέψαντε διαμπερὲς, ὡς ἐκέλευσεν
υἱὸς Λαέρταο, πολύτλας δῖος Ὀδυσσεὺς,
σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντε,
κίον' ἀν' ὑψηλὴν ἔρυσαν, πέλασάν τε δοκοῖσι.
τὸν δ' ἐπικερτομέων προσέφης, Εὔμαιε συβῶτα·

Eumaei verba, caprarium irridentis.

„Νῦν μὲν δὴ μάλα πάγχυ, Μελάνθιε, νύκτα φυλάξεις,
εὐνῇ ἔνι μαλακῇ καταλέγμενος, ὥς σε ἔοικεν,
οὐδὲ σέγ' ἠριγένεια παρ' ὠκεανοῖο ῥοάων
λήσει ἐπερχομένη χρυσόθρονος, ἡνίκ' ἀγινεῖς
αἶγας μνηστήρεσσι, δόμον κάτα δαῖτα πένεσθαι.“

advenit Minerva specie Mentoris.

Ὣς ὁ μὲν αὖθι λέλειπτο, ταθεὶς ὀλοῷ ἐνὶ δεσμῷ·

γ', 9, ubi itidem Ald. 3., Bergler., Cl. et alii: ἔνθ'. asyndeton ad significandum actionum harum, sibi succedentium, celeritatem. cf. γ', 18, Il. δ', 89 etc. — τρυφάλειαν. Il. γ', 376 etc. — σάκος εὐρὺ, *clipeus latus* more antiquorum, et postea ὁπλιτῶν seu militum gravis armaturae. v. Köpke *Kriegswesen der Gr.* p. 263. Tyrtaeus 3., 23.: μηρούς τε, κνήμας τε κάτω, καὶ στέρνα, καὶ ὤμους, Ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος. — γέρον, *vetus*, ut γέρων πέπλος, λόγος, φόνος, apud Aeschylum, Euripidem, Theocritum. cf. E. — Harl.: πεπαλ. (406, ψ', 43, Il. ζ, 268 etc.) μεμολυσμένον. — Sch.: ἄζῃ. εὐρῶτι, ἢ ξηρασίᾳ. — E: κουρίζων, νέος ὢν κοῦρος. — ῥαφαὶ, *suturae.* E: ἐν δὲ τῷ ῥαφαὶ δ' ἐλ. ἱμ. ἐλπίδας ὁ π. ἀγαθὰς ὑποβάλλει τοῖς περὶ τὸν Ὀδυσσέα, ὡς οὐκέτι λοιπὰ ὅπλα χρηστὰ ἐν τῷ θαλάμῳ, ὡς χρήσασθαι αὐτοῖς τοὺς ἐχθροὺς etc. — Ap. em.: κουρίξ. τῶν ἅπαξ εἰρημένων, ἐν τῇ μνηστηροφονίᾳ. σημαίνει δὲ τὸ τῆς κόῤῥης λαβέσθαι. ἔνιοι δὲ, κουρικῶς, οἷον νεανικῶς. E: τὸ κουρὶξ τῶν ἅπαξ μὲν παρ' Ὁμήρῳ ῥηθέντων ἐστὶ καὶ αὐτὸ (ut κουρίζων), δηλοῖ δὲ κατὰ τοὺς παλαιοὺς τὸ νεανικῶς. καὶ γίνεται ἐκ τοῦ κουρίζειν, οὗ μέλλων Δωρικὸς κουρίξω (κουριξῶ), καὶ ἐξ αὐτοῦ κουρὶξ τὸ ἀνδρείως κ. ὡς πρέπει κούροις. καὶ οὕτω μέν φησιν ὁ Κράτης· Ἀρίσταρχος δὲ ἀντὶ τοῦ ἐπιλαβομένους (ἐπ—βόμενοι) τῆς κόμης (imo κόῤῥης: v. proxime sequentia. saepe μ et ρ confusa.), ἵνα ᾖ κατ' αὐτὸν τὸ κουρὶξ ἀντὶ τοῦ ἐκ τῆς κεφαλῆς, ὡς εἴ τις εἴποι ἐκ τῆς κουρᾶς (malim κόῤῥας Dorice.) ἰδιωτικώτερον. ὁμοιοῦται δὲ τῷ τόνῳ πρὸς τὸ ἁπρὶξ, ἔτι δὲ καὶ πρὸς τὸ ἀμφορὶξ, ὅπερ ἐκ τοῦ ἀμφορίζειν γέγονε, τοῦ παρηγμένου ἐκ τοῦ ἀμφορέως. recte Crates, quemadmodum etiam adverbia ὀδὰξ et ὀκλὰξ ducta sunt a futuris Doricis ὀδαξῶ, ὀκλαξῶ. nec absimile est τὺψ, quod in ordine omisit Schn., habet autem v. ἁπρίξ. — θυμαλγέϊ. θ', 272, σ', 346, Il. θ', 513 etc. — ἐπικερτομέων, *irridens.* Il. π', 744.

195—209. μάλα πάγχυ. ξ', 367, ρ', 217 etc. — φυλάξεις, *transiges.* v. Schn. v. φυλάσσω. similia Chalino servo minatur villicus apud Plautum Casina, 1, 43.: *noctu ut condigne te cubes curabitur.* CH. *Quid facies.* OLYMPIO. *concludére in festram firmiter. — Quasi mus in pariete medio vorsabere.* — ἀγινεῖς, *ducis*, ducere soles. ξ', 105, Il. ω', 784 etc. — δαῖτα πέν. γ', 428 etc. — ἐνὶ δεσμῷ. A. 2. et 3.: ὑπὸ

τὼ δ' ἐς τεύχεα δύντε, θύρην ἐπιθέντε φαεινὴν,
βήτην εἰς 'Οδυσῆα δαΐφρονα, ποικιλομήτην.
ἔνθα μένος πνείοντες ἐφέστασαν, οἱ μὲν ἐπ' οὐδοῦ,
τέσσαρες, οἱ δ' ἔντοσθε δόμων, πολέες τε καὶ ἐσθλοί.
τοῖσι δ' ἐπ' ἀγχίμολον θυγάτηρ Διὸς ἦλθεν 'Αθήνη,
Μέντορι εἰδομένη ἠμὲν δέμας, ἠδὲ καὶ αὐδήν.
τὴν δ' 'Οδυσεὺς γήθησεν ἰδὼν, καὶ μῦθον ἔειπε·
„Μέντορ, ἄμυνον ἀρὴν, μνῆσαι δ' ἑτάροιο φίλοιο,
ὅσσ' ἀγαθὰ ῥέζεσκον· ὁμηλικίη δέ μοί ἐσσι.
"Ως φάτ', ὀϊόμενος λαοσσόον ἔμμεν 'Αθήνην·
μνηστῆρες δ' ἑτέρωθεν ὁμόκλεον ἐν μεγάροισι.
πρῶτος τήνγ' ἐνένιπε Δαμαστορίδης 'Αγέλαος·

cui non agnitae, totique ejus familiae, mortem et ademtionem bonorum minatur Agelaus, si Ulyssi opem tulerit.

„Μέντορ, μή σ' ἐπέεσσι παραιπεπίθησιν 'Οδυσσεὺς,
μνηστήρεσσι μάχεσθαι, ἀμυνέμεναι δέ οἱ αὐτῷ.
ὧδε γὰρ ἡμέτερόν γε νόον τελέεσθαι ὀΐω·
ὁππότε κεν τούτους κτέομεν, πατέρ' ἠδὲ καὶ υἱὸν,
ἐν δὲ σὺ τοῖσιν ἔπειτα πεφήσεαι, οἷα μενοινᾷς
ἔρδειν ἐν μεγάροις, σῷ δ' αὐτοῦ κράατι τίσεις.
αὐτὰρ ἐπὴν ὑμέων γε βίας ἀφελώμεθα χαλκῷ,
κτήμαθ', ὁπόσσα τοί ἐστι, τά τ' ἔνδοθι, καὶ τὰ θύρηφι,
τοῖσιν 'Οδυσσῆος μεταμίξομεν· οὐδέ τοι υἷας
ζώειν ἐν μεγάροισιν ἐάσομεν, οὐδὲ θύγατρας,
οὐδ' ἄλοχον κεδνὴν 'Ιθάκης κατὰ ἄστυ πολεύειν."

irata dea magis etiam incitat Ulyssem ad fortiter pugnandum.

"Ως φάτ'· 'Αθηναίη δὲ χολώσατο κηρόθι μᾶλλον,
νείκεσσεν δ' 'Οδυσῆα χολωτοῖσιν ἐπέεσσιν·
„Οὐκέτι σοίγ', 'Οδυσεῦ, μένος ἔμπεδον, οὐδέ τις ἀλκὴ,
οἵη ὅτ' ἀμφ' 'Ελένῃ λευκωλένῳ, εὐπατερείῃ,

δ. — *οἱ δ' ἔντοσθε δόμων*, *intra aedes* seu coenaculum, *ἀνδρῶνα*: proci. — *ἐσθλοὶ*, *strenui* et ipsi. — *ἀρὴν*, *perniciem*. β', 59 etc. — *ὅσσ' ἀγ.* sic Ald. 3. vulgo: *ὅς σ' ἀγ.* Porsonus Adv. p. 225.: „Hom. Odyss. χ', 209.: *ὅσσ' ἀγαθὰ ῥέζεσκον*, ubi alteram lectionem *ὅς σ' ἀγ.* imperite probat Jos. Barnesius. Aristophanes Acharn. 873. (821.): *ὅσ' ἐστὶν ἀγαθὰ Βοιωτοῖς*" etc. de intelligendo pronomine v. λ', 143, π', 276, σ', 325 etc. — *ὁμηλικίη*, *ὁμῆλιξ*. γ', 49.

212—223. *ἐνένιπε.* sic A. 3. A. 1.: *ἐνένισπε.* v. π', 417. — *παραιπεπ.*, *παραπείθῃ*. Il. ξ', 208. — *κτέομεν.* sic Alteri codd., Ald. 3., Steph., h. e. *κτέωμεν*, quod ipsum recentiores posuerunt praeter necessitatem. — *πεφήσεαι.* 54. — *σῷ — τίσεις.* idem τ', 92. dixit ὃ σῇ κεφαλῇ ἀναμάξεις. — *βίας.* λ', 117 etc. — *ἀφελώμεθα χαλκῷ*, *demserimus*, amoverimus, *ferro* seu morte. id similiter nostrates dicunt *einem etwas benehmen*, h. e. impedire aliquem ab aliqua re. — *τὰ θύρηφι*, *ea*, *quae foris sunt*, agros, praedia. — *πολεύειν*, *versari*, vitam agere. eodem sensu *πωλεύμενοι* dixit ϱ', 534. E: *ἀπειλοῦνται — μηδὲ τὴν γυναῖκα ἐάσαι 'Ιθ. κ. ἄστυ πολ., ἀλλ' ἀφορίσαι που εἰς γῆν ἀλλοτρίαν καὶ αὐτὴν, ἴσως δὲ καὶ τοὺς παῖδας.* occidebant quoque relegatos in exilium, vel Echeto tradebant excruciandos. γ', 270. de Aegistho: *δὴ τότε τὸν μὲν ἀοιδὸν ἄγων ἐς νῆσον ἐρήμην Κάλλιπεν οἰωνοῖσιν ἕλωρ καὶ κύρμα γενέσθαι.* de Echeto rege v. σ', 84 etc.

226—235. *μένος ἔμπεδον*, *robur integrum*. τ', 493 etc. — *λευκωλένῳ*, *εὐπατ.* Il. γ', 121, ζ', 292. „Virg.

εἰνάετες Τρώεσσιν ἐμάρναο νωλεμὲς αἰεὶ,
πολλοὺς δ' ἄνδρας ἔπεφνες ἐν αἰνῇ δηϊοτῆτι,
σῇ δ' ἤλω βουλῇ Πριάμου πόλις εὐρυάγυια.
πῶς δὴ νῦν, ὅτε σόν τε δόμον καὶ κτήμαθ' ἱκάνεις,
ἄντα μνηστήρων, ὀλοφύρεαι, ἄλκιμος εἶναι;
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵστασο, καὶ ἴδε ἔργον,
ὄφρ' εἰδῇς, οἷός τοι ἐν ἀνδράσι δυσμενέεσσι
Μέντωρ Ἀλκιμίδης εὐεργεσίας ἀποτίνειν.
Ἦ ῥα, καὶ οὔπω πάγχυ δίδου ἑτεραλκέα νίκην,
ἀλλ' ἔτ' ἄρα σθένεός τε καὶ ἀλκῆς πειρήτιζεν,
ἠμὲν Ὀδυσσῆος, ἠδ' υἱοῦ κυδαλίμοιο·
αὐτὴ δ' αἰθαλόεντος ἀνὰ μεγάροιο μέλαθρον
ἕζετ' ἀναΐξασα, χελιδόνι εἰκέλη ἄντην.
Μνηστῆρας δ' ὤτρυνε Δαμαστορίδης Ἀγέλαος,
Εὐρύνομός τε, καὶ Ἀμφιμέδων, Δημοπτόλεμός τε,
Πείσανδρός τε Πολυκτορίδης, Πόλυβός τε δαΐφρων·
οἳ γὰρ μνηστήρων ἀρετῇ ἔσαν ἔξοχ' ἄριστοι,
ὅσσοι ἔτ' ἔζωον, περί τε ψυχέων ἐμάχοντο·
τοὺς δ' ἤδη ἐδάμασσε βιὸς καὶ ταρφέες ἰοί.

Aen. 8, 387.: *niveis — diva lacertis.*" Cl. εἰνάετες. γ', 118 etc. — νωλεμές. π', 191 etc. — πολλοὺς — δηϊοτῆτι. λ', 515. — ἤλω. A. 2.: εἴλω pro eodem, ut misceri solent η et ει: nisi fuerit ἑάλω, quo incitarentur numeri paulo tardiores. v. Matth. §. 161., et de α et ι litteris confusis ϑ', 560, τ', 367, Il. ω', 459. solet autem Ulyssis potissimum solertiae tribui expugnatio Trojae. E: φαίνεται δὲ νῦν καὶ πτολίπορθος ὁ Ὀδ., οὗπερ βουλῇ τῇ κατὰ τὸν δούρειον ἵππον ἡ Τροία ἤλω. cf. Sch. ad Il. β', 278. — πόλις εὐρυάγυια. δ', 246, Il. β', 12 etc. — ἄντα — εἶναι; virgulas adscripsi verbis μνηστ. et ὀλοφ., quo appareret, hunc esse ordinem per hyperbaton: πῶς δὴ νῦν ὀλοφύρεαι, ὅτε — ἱκάνεις, (ὥστε) ἄλκ. εἶναι ἄντα μν. Sch.: ὀλοφ. νῦν ἀποδειλιᾷς. — E: τὸ δὲ ὀλοφ. ἄλκιμος ε. δεινῶς κ. δριμέως εἴρηται. ἦν μὲν γὰρ εἰπεῖν, οὐκ ἐθέλεις ἄλκ. ε., ἢ ὀκνεῖς, ἢ τοιόνδε τι· εἴρηται δὲ πρὸς πλείω ἔμφασιν ὀλοφ. ἄ. εἶναι, ὡσεὶ καὶ παῖς ὀνειδισθείη ὀλοφύρεσθαι φοιτᾶν ἐς διδασκάλου. pertinet autem Minervae convicium ad verba illa in superioribus, 147., καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα, — μέγα δ' αὐτῷ φαίνετο ἔργον. comparavit cum hisce Cl. ista Virgilii Aen. 5, 387 — 392.: *hic gravis Entellum dictis castigat Acestes: — Entelle, heroum quondam fortissime frustra, — ubi fama per omnem Trinacriam, et spolia illa tuis pendentia tectis?* — πέπον. ι', 447. — εὐεργεσίας. cf. 374. — ἀποτίνειν, *rependere*. β', 132 etc.

236—246. ἑτεραλκὴς νίκη est in alteram partem inclinata victoria, h. e. certa, manifesta, *ein entschiedener Sieg*. v. Il. η', 26. — E: αὐτὴ — ἄντην. ὅτι κατὰ ποιητικὸν ἔθος καὶ νῦν ἐκ τοῦ φαινομένου Μέντορος ἄλλως μορφωθεῖσα Ἀθηνᾶ αἰθαλ. — χελιδόνι ἰκέλη (sic) ἄντην, ἢ κατὰ τὴν πτῆσιν, ἢ κατὰ τὸ εἶδος· οὐ γὰρ ὀκνεῖ ὁ μῦθος καὶ οὕτω μεταποιεῖν τὰ δαιμόνια. — αἰθ. δὲ μεγάρου μέλαθρον λέγει τὴν ὀροφήν (ut τ', 544). διὸ ἐρεῖ ἐν τοῖς ἑξῆς (297), δὴ τότε ἀνέσχεν Ἀθηνᾶ αἰγίδα ὑψόθεν ἐξ ὀροφῆς, ὡς ταυτὸν εἶναι ὀροφὴν κ. μέλαθρον. καὶ νῦν μὲν ἐντελῶς ἐῤῥέθη μέλ. οἴκου· ὅτε δὲ μέλαθρον ὁ οἶκος ἅπας λέγεται (ut v. c. Il. β', 414, ubi v. ann.), ἀπὸ μέρους λαλεῖται, ὥσπερ καὶ στέγη κ. τέγος ὁ αὐτὸς ἀπὸ τοῦ σκέποντος ὀροφώματος, μέρους καὶ αὐτοῦ ὄντος. αἰθαλόεν δὲ ἢ παρὰ τὸ αἴθω, ἐξ οὗ καὶ τὸ μέλαθρον, διὰ τὸ αἰθόμενον δηλαδὴ πῦρ ἐν ταῖς κατὰ τὴν ἑστίαν θυσίαις, ἢ τὸ καταλαμπόμενον κ. πολύφωτον, παρὰ τὸ αἴθειν, ἤγουν λάμπειν, ἀφ' οὗ καὶ αἰθήρ. Am. Q.: μέλαθρον. τὴν ὀροφήν· πολλὰ δὲ (καὶ) καθύπερθεν (sic) μελαθρόφιν ἐξεκέχυντο (ϑ', 279). — ταρφέες, *crebri*. v. ϑ', 379, Il. ε', 555 etc.

τοῖς δ' Ἀγέλεως μετέειπεν, ἔπος πάντεσσι πιφαύσκων·

Agelai procos exhortantis oratio.

„Ὦ φίλοι, ἤδη σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους!
καὶ δή οἱ Μέντωρ μὲν ἔβη, κενὰ εὔγματα εἰπών·
οἱ δ' οἶοι λείπονται ἐπὶ πρώτῃσι θύρῃσι.
τῷ νῦν μὴ ἅμα πάντες ἀφίετε δούρατα μακρά,
ἀλλ' ἄγεθ', οἱ ἓξ πρῶτον ἀκοντίσατ', αἴ κέ ποθι Ζεὺς
δώῃ Ὀδυσσῆα βλῆσθαι, καὶ κῦδος ἀρέσθαι!
τῶν δ' ἄλλων οὐ κῆδος, ἐπὴν οὗτός γε πέσῃσιν."

sex eorum conjecta in Ulyssem jacula aliud alio detorquet Minerva.

Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκόντισαν, ὡς ἐκέλευεν,
ἱέμενοι. τὰ δὲ πάντα ἐτώσια θῆκεν Ἀθήνη·
τῶν ἄλλος μὲν σταθμὸν ἐϋσταθέος μεγάροιο
βεβλήκει, ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν,
ἄλλου δ' ἐν τοίχῳ μελίη πέσε χαλκοβάρεια.
αὐτὰρ ἐπειδὴ δούρατ' ἀλεύαντο μνηστήρων,
τοῖς δ' ἄρα μύθων ἦρχε πολύτλας δῖος Ὀδυσσεύς·
„Ὦ φίλοι, ἤδη μέν κεν ἐγὼν εἴποιμι καὶ ἄμμιν
μνηστήρων ἐς ὅμιλον ἀκοντίσαι, οἳ μεμάασιν
ἡμέας ἐξεναρίξαι ἐπὶ προτέροισι κακοῖσιν."

contra Ulysses et Telemachus servique suum quisque virum interficiunt.

Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκόντισαν ὀξέα δοῦρα,
ἄντα τιτυσκόμενοι· Δημοπτόλεμον μὲν Ὀδυσσεύς,
Εὐρυάδην δ' ἄρα Τηλέμαχος, Ἔλατον δὲ συβώτης.
Πείσανδρον δ' ἄρ' ἔπεφνε βοῶν ἐπιβουκόλος ἀνήρ.
οἱ μὲν ἔπειθ' ἅμα πάντες ὀδὰξ ἕλον ἄσπετον οὖδας,
μνηστῆρες δ' ἀνεχώρησαν μεγάροιο μυχόνδε·
τοὶ δ' ἄρ' ἐπήϊξαν, νεκύων δ' ἐξ ἔγχε' ἕλοντο.

continuatur pugnae pugna simili successu.

Αὖτις δὲ μνηστῆρες ἀκόντισαν ὀξέα δοῦρα,
ἱέμενοι· τὰ δὲ πολλὰ ἐτώσια θῆκεν Ἀθήνη.
[τῶν ἄλλος μὲν σταθμὸν ἐϋσταθέος μεγάροιο

247. 131.

249—253. εὔγματα, εὖχη, εὐχάς, *gloriationes.* E em.: κενὰ ε. εἰπών. ἤγουν κενεαυχής, κενὰ καυχησάμενος ὡς εἰς βοήθειαν. — βλῆσθαι, βεβλῆσθαι, *feriri.* Il. δ', 115. — κῦδος ἀρέσθαι, *gloriam reportare.* Il. μ', 407, π', 88 etc. simile ἀγλαὸν εὖχος ἀρέσθαι Il. η', 203.

255. 273. cf. Il. γ', 368, ρ', 633 etc.

256—58. „ἐτώσια — θύρην. Virg. Aen. 9, 745.: *Excepere aurae volnus: Saturnia Juno Detorsit veniens, portaeque infigitur hasta.*" Cl. τῶν ἄλλος — βεβλήκει. asyndeton epexegeticum. — μελίη χαλκοβάρεια. λ', 531, ζ', 283 etc.

262—270. εἴποιμι, *dicam*, jusserim. v. 133, Schn. v. ἔπω. — ἐξεναρίξαι. λ', 272 etc. — Am. Q.: ἐπὶ προτ. κακοῖσι. σὺν οἷς ἔπραττον πρώην κακοῖς. — βοῶν ἐπ. ἀνήρ. γ', 422. — ὀδὰξ — οὖδας. Il. τ', 61, ω', 738. — μεγ. μυχόνδε, *in recessum domus sive* ἀνδρῶνος.

274—76. inepte assutus pannus, de quo E: — τινὲς ὠβέλισαν ἐκείνους (τοὺς στίχους), ὡς ταυτολογοῦντας.

βεβλήκει, ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν·
ἄλλου δ' ἐν τοίχῳ μελίη πέσε χαλκοβάρεια.]
Ἀμφιμέδων δ' ἄρα Τηλέμαχον βάλε χεῖρ' ἐπὶ καρπῷ
λίγδην, ἄκρην δὲ ῥινὸν δηλήσατο χαλκός.
Κτήσιππος δ' Εὔμαιον ὑπὲρ σάκος ἔγχεϊ μακρῷ
ὦμον ἐπέγραψεν· τὸ δ' ὑπέρπτατο, πίπτε δ' ἔραζε.
τοὶ δ' αὖτ' ἀμφ' Ὀδυσῆα δαΐφρονα, ποικιλομήτην,
μνηστήρων ἐς ὅμιλον ἀκόντισαν ὀξέα δοῦρα.
ἔνθ' αὖτ' Εὐρυδάμαντα βάλε πτολίπορθος Ὀδυσσεύς,
Ἀμφιμέδοντα δὲ Τηλέμαχος, Πόλυβον δὲ συβώτης.
Κτήσιππον δ' ἄρ' ἔπειτα βοῶν ἐπιβουκόλος ἀνὴρ
βεβλήκει πρὸς στῆθος, ἐπευχόμενος δὲ προσηύδα·

Polythersidi jacenti insultat Philoetius.

„Ὦ Πολυθερσείδη φιλοκέρτομε, μήποτε πάμπαν
εἴκων ἀφραδίῃς μέγα εἰπεῖν, ἀλλὰ θεοῖσι
μῦθον ἐπιτρέψαι, ἐπεὶ πολὺ φέρτεροί εἰσι!
τοῦτό τοι ἀντὶ ποδὸς ξεινήϊον, ὅν ποτ' ἔδωκας
ἀντιθέῳ Ὀδυσῆϊ, δόμον κατ' ἀλητεύοντι."

post varias caedes Minerva sublata aegide procorum animos consternat. itaque passim trucidantur.

Ἦ ῥα βοῶν ἑλίκων ἐπιβουκόλος. αὐτὰρ Ὀδυσσεὺς
οὖτα Δαμαστορίδην αὐτοσχεδὸν ἔγχεϊ μακρῷ·

Montbel.: — „Comme après les vers 255—6 le poète indique les endroits que vont frapper les javelots des prétendants, quelque scholiaste a cru devoir répéter ici la même circonstance; interpolation ridicule, car on conçoit bien que les prétendants puissent lancer deux fois de suite leurs javelots rendus inutiles par la puissance de Minerve, mais on ne peut pas admettre que les javelots frappent deux fois de suite précisément aux mêmes endroits." — Knightius quoque haec transverso calamo notavit, uncinis inclusit W., cui facile obtemperavi.

278—280. Sch.: *λίγδην.* ὥστε ἐπιλίξαι, ὅ ἐστιν ἐπιψαῦσαι ἐπιπολαίως μόνον τὴν ἔξωθεν ἐπιφάνειαν τοῦ σώματος. similiter Ap. em. h. v.: ὅσον ἐπιψαῦσαι ἐκ τῆς ἐπιφανείας, κ. οὐ κατὰ βάθος. Am. Q.: ξεστικῶς. ἅπαξ δὲ ἐνταῦθα, κ. ἅπαξ ἐν Ἰλιάδι (ρ', 599, ubi v. ann.) *ἐπιλίγδην.* E: — *λίγδην,* ὃ ἑρμηνεύων ἐπιφέρει, *ἄκρην — χαλκός.* ἔστι γὰρ λίγδην βαλεῖν τὸ ἄκρον τὸ δέρμα δηλήσασθαι, ἵνα ᾖ λίγδην τὸ ξεστικῶς, ἐπιπολῆς, κατὰ δὲ τοὺς παλαιοὺς καὶ ἐπιψαύδην, Ὁμηρικῶς δὲ εἰπεῖν *ἐπιγράβδην* (Il. φ', 166). καὶ συνίσταται (efficitur, probatur) τοῦτο ἐκ τοῦ *Κτήσιππος — ἐπέγραψεν,* ἐξ οὗ δῆλον, ὡς καὶ ὁ ἐπιλίγδην πληγεὶς (Il. ρ', l. c.) ἐπιγράβδην ἐπλήγη. γίνεται δὲ τὸ λίγδην ὡς ἀπὸ τοῦ λίζειν, λέξεως ὠνοματοπεποιημένης, ὅθεν καὶ *λίστρον* ὁ ξυστὴρ μετ' ὀλίγα ἐν τῷ *λίστροισι δάπεδον δόμου ἔξυον* (455). — δήλη δὲ ἡ τοιαύτη ὀνοματοποιΐα ἐπὶ μαρμάρων λίθων καί τινων τοιούτων, ὅτι ὑέλῳ εἴτε σιδήρῳ ξύονται etc. — *ὑπέρπτατο.* Il. ν', 408, χ', 275.

287—295. *φιλοκέρτομε.* *conviciorum amans*, conviciari solitus. Sch. male: ὁ τὸν φίλον σκώπτων. sed scripsit ille, opinor, ὁ φιλῶν σκώπτειν. — *εἴκων ἀφραδίῃς*, *stultitiae cedens*, seu fretus ea, ut βίῃ κ. κάρτεϊ εἴκων, *viribus et robori obsequens*, ν', 143, πενίῃ εἴκων ξ', 157 etc. — *εἰπεῖν.* Sch.: *μέγ' εἰπέμεν.* ἀντὶ τοῦ καυχήσασθαι. — *μῦθον*, rem, de qua dicas deliberesque, *consilium*. δ', 675.: οὐδ' ἄρα Πηνελόπεια πολὺν χρόνον ἦεν ἄπυστος Μύθων, οὓς μνηστῆρες ἐνὶ φρεσὶ βυσσοδόμευον. — E: *ἐπιτρέψαι.* τουτέστιν ἀνάθες. Eurip. Phoen. 652.: ἀλλ' εἰς θεοὺς χρὴ ταῦτ' ἀναρτήσαντ' ἔχειν. — *ὅν ποτ'* — Ὀδ. υ', 299. E: ἰστέον δὲ, ὅτι τὸ *τοῦτό σοι ἀντὶ ποδὸς ξεινήϊον* εἰς παροιμίαν ὕστερον ἔπεσεν ἐπὶ τῶν ἀντὶ κακοῦ ἀπολαβόντων κακόν. — *ἑλίκων.* λ', 288. — *οὖτᾰ.* v. Il. δ', 525. — *αὐτοσχεδὸν*, *cominus*. Il. η', 273 etc. Ap.: *αὐτοσχεδίῃ* (quod

Τηλέμαχος δ' Εὐηνορίδην Λειώκριτον οὖτα
δουρὶ μέσον κενεῶνα, διαπρὸ δὲ χαλκὸν ἔλασσεν·
ἤριπε δὲ πρηνὴς, χθόνα δ' ἤλασε παντὶ μετώπῳ.
δὴ τότ' Ἀθηναίη φθισίμβροτον αἰγίδ' ἀνέσχεν
ὑψόθεν ἐξ ὀροφῆς· τῶν δὲ φρένες ἐπτοίηθεν.
οἱ δ' ἐφέβοντο κατὰ μέγαρον, βόες ὣς ἀγελαῖαι,
τὰς μέν τ' αἰόλος οἶστρος ἐφορμηθεὶς ἐδόνησεν
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ' ἤματα μακρὰ πέλονται.
οἱ δ', ὥστ' αἰγυπιοὶ γαμψώνυχες, ἀγκυλοχεῖλαι,
ἐξ ὀρέων ἐλθόντες ἐπ' ὀρνίθεσσι θορῶσι
(ταὶ μέν τ' ἐν πεδίῳ νέφεα πτώσσουσαι ἵενται·
οἱ δέ τε τὰς ὀλέκουσιν ἐπάλμενοι, οὐδέ τις ἀλκὴ
* γίγνεται, οὐδὲ φυγὴ, χαίρουσι δέ τ' ἀνέρες ἄγρῃ),

idem significat). ἀπὸ χειρὸς, ἐκ τοῦ σύνεγγυς. v. Il. ο', 510 etc. — *κενεῶνα*, τὸν λαγόνα, germ. *die Weichen.* Il. ε', 234, λ', 381 etc. — *ἤριπε δὲ πρηνής.* Il. ε', 58. cf. Il. δ', 462, Odyss. ε', 374 etc.

297—300. *φθισίμβροτον.* Il. ν', 339. — de *aegide* ad Il. β', 447. — *ἐπτοίηθεν*, ἐπτοήθησαν. Sch.: ἐπτοιήσθην (sic). ἐν εὐλαβείᾳ κ. φόβῳ ἐγένοντο. — *ἐφέβοντο.* Il. ε', 223 etc. — *αἰόλος*, *agilis*, pernix. v. ann. ad Il. β', 816. — *οἶστρος*, *asilus*, e genere dipterorum. Heyn. ad Virg. Georg. 3, 147.: „Est *asilus*, noto inter Romanos nomine, graeco οἶστρος dictus, (*oestrus bovis* Linn., germ. *Ochsenbremse*, Francogallis *taon* seu *ton*, teste Harduino ad Plin. H. N. 11, 16. *Both.*) est insectum e vesparum genere, sine proboscide, at aculeo seu spiculo in cauda acutissimo, quo ova intra cutem armentorum demittit.“ Wilmsen *Handbuch der Naturgesch.* 2. p. 849.: „Die *Ochsenbremse* hat die Grösse der grossen blauen Schmeissfliege, ist haarig, und einer kleinen Hummel ähnlich; vorn sind die Haare grau, hinten braungelb, die Spitze des Hinterleibes ist schwarz, die Flügel sind braunbandirt. Sie legt ihre Eier auf die Haut des Rindviehes. — Dieses merkt es sehr wohl, wenn solche Bremse ihm nahe kommt, um ihre Eier anzubringen; es läuft daher mit aufgehobenem Schwanz aus allen Kräften, welches die Landleute *bissen*, und die Bremse den *Bisseuwurm* nennen“ u. s. w. Virg. de *asilo* l. c.: *asper, acerba sonans, quo tota exterrita silvis Diffugiunt armenta, furit mugitibus aether* etc. mire Schneiderus ann. ad Aristot. H. A. 1, 1, 7.: „οἶστρος videtur esse e genere culicis Linnaeano.“ B.: „de *musca* οἴστρῳ cf. not. ad Herodiani Epimerismos.“ ceterum hoc nomine etiam avis quaedam appellatur apud Philosophum 8, 5, 3., quem *trochilum marem* Linn. esse putant. — *ἐδόνησεν*, *agitare solet.* Il. μ', 157, ρ', 55.

301. σ', 366.

302. Il. π', 428. cf. Odyss. π', 217.

303—5. *ἐπ' ὀ. θορῶσιν*, ἐπιθορῶσιν ὀρν., *insiliunt avibus.* Il. ο', 581. — *ἐν πεδίῳ.* in fruticeto positos casses memorat inferius 469. — Am. Q.: *νέφεα.* τὰ λίνα. Hesych. h. v.: ἤτοι τὰ συνωνύμως λεγόμενα ταῖς νεφέλαις· ἢ λίνα θηρατικά. opinor, a figura simili nubium, germ. *Stellnetze.* — E: — δικτύων εἶδος, ἃ καὶ ὁ Κωμικὸς (Aristoph. Av. 196, ubi v. ann.) νεφέλας φησὶν ἐν τῷ μὰ νεφέλας, μὰ δίκτυα. — ἰστέον δὲ, ὡς ἔγνωσται μέχρι καὶ νῦν ἡ τῶν θηρατικῶν νεφελῶν χρῆσις πολλοῖς, παρ' οἷς καὶ νεφελοστάσια ὁ τόπος τῆς τοιαύτης διὰ δικτύων θήρας λέγεται. — *νέφεα πτώσσουσαι*, *retia fugientes*, ut Il. ν', 426.: οὐδ' ἄρ' ἔτι δὴν Ἀλλήλους πτώσσοιμεν. — *ὀλέκουσιν*, *perdunt*, dilacerant. κ', 125 etc. — *ἐπάλμενοι.* ξ', 222 etc. — *ἀλκή*, *auxilium.*

306. *χαίρουσι δέ τ' ἀνέρες ἄγρῃ.* haud vidi magis. quid? viri, h. e. aucupes, qui retia tetenderunt avibus, ut gaudeant erepta sibi a vulturibus praeda? adeone delirare quenquam, ut tam absurda putet ab Homero profecta esse? at audiamus Eustathium. εἰκάζει, inquit, τοὺς μνηστῆρας ὄρνισιν ἡ παραβολὴ, αἳ, λίνων αὐταῖς ἱσταμένων, ὅ ἐστι δικτύων, εἶτα αἰγυπιῶν ἐπιόντων πτήξασαι ἐπὶ νέφεα ἵενται, ὅ ἐστι δικτύοις ἐμπελάζουσιν, ὅτε καὶ ἀγρευομένων χαίρουσι τῇ ἄγρᾳ οἱ παρατυχόντες. οὕτω γὰρ καὶ οἱ μνηστῆρες τῇ ἄνωθεν ἐξ Ἀθηνᾶς ῥοπῇ

ὣς ἄρα τοὶ μνηστῆρας ἐπεσσύμενοι κατὰ δῶμα
τύπτον ἐπιστροφάδην. τῶν δὲ στόνος ὤρνυτ' ἀεικὴς,
κράτων τυπτομένων· δάπεδον δ' ἅπαν αἵματι θῦε.

Leodes augur Ulyssi supplicat, sed frustra.

Λειώδης δ' Ὀδυσῆος ἐπεσσύμενος λάβε γούνων,
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
„Γουνοῦμαί σ', Ὀδυσεῦ! σὺ δέ μ' αἴδεο, καί μ' ἐλέησον·
οὐ γάρ πώ τινά φημι γυναικῶν ἐν μεγάροισιν
εἰπεῖν, οὐδέ τι ῥέξαι, ἀτάσθαλον; ἀλλὰ καὶ ἄλλους
παύεσκον μνηστῆρας, ὅτις τοιαῦτά γε ῥέξοι.
ἀλλά μοι οὐ πείθοντο κακῶν ἄπο χεῖρας ἔχεσθαι·
τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.
αὐτὰρ ἐγὼ μετὰ τοῖσι θυοσκόος, οὐδὲν ἐοργὼς,
κείσομαι, ὡς οὐκ ἔστι χάρις μετόπισθ' εὐεργέων.“
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
„εἰ μὲν δὴ μετὰ τοῖσι θυοσκόος εὔχεαι εἶναι,
πολλάκι πὸυ μέλλεις ἀρήμεναι ἐν μεγάροισι,
τηλοῦ ἐμοὶ νόστοιο τέλος γλυκεροῖο γενέσθαι,
σοὶ δ' ἄλοχόν τε φίλην σπέσθαι, καὶ τέκνα τεκέσθαι·
τῷ οὐκ ἂν θάνατόν γε δυσηλεγέα προφύγοισθα.“
Ὣς ἄρα φωνήσας ξίφος εἵλετο χειρὶ παχείῃ

ἐντὸς ἀρκύων πεσόντες πάσχουσι τὰ εἰκότα. specta perversitatem hominis, contraria, ac quae dicit, Homero affingentis! nam aves putat, dum vultures conspectos fugiunt, in casses incidere, credo, si diis placet, una cum vulturibus insecutis, itaque sane praeda gaudere aucupes, quos perperam dicit *παρατυχόντας*, quasi eos, qui forte, nec consilio, adsint. at Homerus aves conspectis cassibus, in campo positis, avolantes a vulturibus corripi ac lacerari facit, nemine opem ferente, nec fugae data copia. quid hic est, quo gaudeant aucupes? hanc Scyllam Dacieria vitans in Charybdin incidit, cicures fingens vultures, ab hominibus emissos ad captandas aves minores, incognito quidem veteribus genere venationis (ne vultures cum falconibus permixtos dicam), nec ratione habita verborum *ἐξ ὀρέων ἐλθόντες*, h. e. *feri* vultures; id quod animadvertit Cl. Montbel.: „Mde. Dacier croit qu' Homère a voulu peindre ici la chasse au vol, et s'étonne que personne ne l'ait remarqué. Peut-être s'étonnerait-on à plus juste titre de ce qu'elle a vu si clairement ce qu' Hom. ne dit point.“ mitto alios, nec miror titubasse viros doctos, cum corrupta interpretarentur. ponamus id, quod res latrat, ut ait Lucretius: *χηροῦσι δέ τ' ἀνέρες ἄγρης, et viduantur homines captura.* usurpavit hic noster verba *χηροῦν* et *χηρεύειν*, cum proprie, tum *μεταφορικῶς*: v. Il. ε', 642, ρ', 36. Odyss. ι', 123 de terra Cyclopum: *ἀλλ' ἥγ' ἄσπαρτος — Ἀνδρῶν χηρεύει, viris caret.* *χηροῦσι* dixit pro *χηρόουσι* per contractionem, ut *διδοῦσι*, *γουνοῦμαι* et alia ejusmodi. praeterea *αι*, *ε*, *η* permisceri inter se, non est obscurum. Aeschyli codd. vulgati Ag. 1501.: *μὴ πήσας μογῆς*, trepidante choro interpretum. sed MS. Gotting. Pindari ad Pyth. 2. extrem.: *παίσας*, Porsonus et alii recte: *πταίσας*. *ἄγρης* praebuit A. 3., de quo v., si tanti est, Il. ρ', 368. et φ', 177.

308, 9. *ἐπιστροφάδην. ἄλλοτε εἰς ἄλλον ἐπιστρεφόμενος.* Il. κ', 483. — *στόνος ἀεικὴς, gemitus indecens*, h. e. immodicus, seu foedus. Il. φ', 20. — *δάπεδον — θῦε.* λ', 419.

312. formula supplicantium pro salute. cf. 344, Il. φ', 74.

317—325. *πότμον ἐπέσπον.* γ', 16, 134 etc. — *θυοσκόος.* φ', 145. — *ὡς — εὐεργέων.* cf. δ', 695. — *νόστοιο τέλος, νόστον.* v. υ', 74, Il. γ', 309. — Sch.: *σπέσθαι* (δ', 38). *ἀκολουθῆσαι.* — *ἐπισπέσθαι* legitur Il. ξ', 521. comparavit E *σχέσθαι* δ', 422, *πτέσθαι* apud Soph. Oed. R. 17. et similia. — *θάνατον δυσηλεγέα.* Il. υ', 154.

κείμενον, ὃ ῥ' Ἀγέλαος ἀποπροέηκε χαμᾶζε
κτεινόμενος· τῷ τόνγε κατ' αὐχένα μέσσον ἔλασσε,
φθεγγομένου δ' ἄρα τοῦγε κάρη κονίῃσιν ἐμίχθη.

contra servatur Phemius, orante pro salute ejus Telemacho.

Τερπιάδης δέ τ' ἀοιδὸς ἀλύσκανε κῆρα μέλαιναν,
Φήμιος, ὅς ῥ' ἤειδε μετὰ μνηστῆρσιν ἀνάγκῃ.
ἔστη δ', ἐν χείρεσσιν ἔχων φόρμιγγα λίγειαν,
ἄγχι παρ' ὀρσοθύρην, δίχα δὲ φρεσὶ μερμήριζεν,
ἢ ἐκδὺς μεγάροιο Διὸς μεγάλου ποτὶ βωμὸν
ἑρκείου ἵζοιτο τετυγμένον, ἔνθ' ἄρα πολλὰ
Λαέρτης, Ὀδυσεύς τε, βοῶν ἐπὶ μηρί' ἔκηον,
ἢ γούνων λίσσοιτο προσαΐξας Ὀδυσῆα.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
γούνων ἅψασθαι Λαερτιάδεω Ὀδυσῆος.
ἤτοι ὁ φόρμιγγα γλαφυρὴν κατέθηκε χαμᾶζε,
μεσσηγὺς κρητῆρος ἰδὲ θρόνου ἀργυροήλου,
αὐτὸς δ' αὐτ' Ὀδυσῆα προσαΐξας λάβε γούνων,
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
„Γουνοῦμαί σ', Ὀδυσεῦ· σὺ δέ μ' αἴδεο, καί μ' ἐλέησον!
αὐτῷ τοι μετόπισθ' ἄχος ἔσσεται, εἴ κεν ἀοιδὸν
πέφνῃς, ὅστε θεοῖσι καὶ ἀνθρώποισιν ἀείδω.
αὐτοδίδακτος δ' εἰμί· θεὸς δέ μοι ἐν φρεσὶν οἴμας

329. Il. κ', 457. „Virg. Aen. 10, 554.: *tum caput orantis nequidquam et multa parantis Dicere deturbat terrae.*" Cl.

330—337. *Τερπιάδης*. E: *ὅτι φερωνύμως Τερπιάδης, τουτέστι Τερπίου υἱὸς, ὁ τερψίθυμος ἀοιδὸς Φήμιος, ἐπεὶ, καθὰ καὶ προϊστόρηται* (α', 154), *ἤειδε παρὰ μνηστῆρσιν ἀνάγκῃ, ἐκφεύγει νῦν τὸ συμπεσεῖν τοῖς κακοῖς.* — *ἀλύσκανε* A. 2. et 3., W, B. Barn. et Cl. ex cod. Oxon.: *ἀλύσκασε.* illud etiam in MS. Lips. invenit Ernestius, sed rejecit his verbis: „*ἀλύσκανε.* voluit dare *ἀλύσκασε,*" merito antiquam formam *ἀλυσκαίνω* tuente Tollio ann. ad Ap., qui et ipse habet; *ἀλύσκανε. ἐξέκλινε· Τερπιάδης* — *μέλαιναν.* ceteri libri versu pessumdato: *ἀλύσκαζε*, Ald. 3.: *ἀλήσκαζε.* — *φόρμιγγα λίγειαν.* θ', 67 etc. — *Διὸς ἑρκείου.* E: *βωμὸς δὲ ἑρκείου Διὸς ἔξω που περὶ τὴν αὐλὴν αἴθριος εἶναι δοκεῖ, ὁποῖοι πολλοὶ φαίνονται, ἐν ᾧ ἔθυον Διῒ ἐφόρῳ τοῦ ἕρκους, ὅ ἐστι τοῦ περὶ αὐλὴν τειχίου· ὥσπερ αὖ πάλιν ἐν τῇ κατ' οἶκον ἑστίᾳ Διῒ ἐγίνοντο θυσίαι, ὃν οἱ μὲν ἄλλοι ἐφέστιον, Ἡρόδοτος δὲ* (1, 44.) *Ἰωνικῶς λέγει ἐπίστιον.* Eurip. Troad. 16.: *πρὸς δὲ κρηπίδων βάθροις Πέπτωκε Πρίαμος Ζηνὸς ἑρκείου θανών.* cf. Heynei Excursum 11. ad Aen. 2, 506.. p. 429. et 30. 4. ed. — *ἔκηαν*, pro vulgato *ἔκαιον*, Harl. et alii apud Cl. A. 4.: *ἔκηαν.* A. 1. et 2.: *ἔκηεν.* Sch.: *κῆαν.* (legit igitur *μηρία κῆαν.*) *ἔκαυσαν.* cf. γ', 9, ρ', 241 etc. Buttmann. ann. ad Sch.: „aoristum, quem Harlejanus quoque praebet, unice verum esse, Ernestius demonstravit." — *προσαΐξας, accurrens.* 342, 365.

338. ε', 204, σ', 92. cf. ζ', 145 etc.

340—360. Am. Q.: *ἤτοι ὁ φόρμιγγα. πιθανῶς ἀντὶ τῆς ἱκετηρίας τὴν φόρμιγγα προτείνει, δι' αὐτῆς τὸν Ἀπόλλωνα προϊσχων αὐτὸν, ὥσπερ ὁ Χρύσης* (Il. α', 14) *διὰ τῶν στεμμάτων.* putat Scholiasta, cantorem protendisse citharam, velut ramum, quo supplicabant; at Homerus simpliciter dicit, cum deposuisse citharam inter craterem et thronum, in quo sedebat. — *θρόνου ἀργ.* θ', 65 etc. — *αὐτοδίδακτος δ' εἰμί.* vox magni spiritus, quae omnes commovit, quamque alii aliter imitati sunt. Pindarus Ol. 2, 94. ed. Thiersch.: *σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ· Μαθόντες δὲ λάβροι Παγγλωσσίᾳ, κόρακες ὣς, ἄκραντα γαρύετον Διὸς πρὸς ὄρνιχα θεῖον.* Plato Ione p. 535.: *οὐκ ἀνθρώπινά ἐστι τὰ καλὰ ταῦτα ποιήματα, οὐδὲ ἀνθρώπων, ἀλλὰ θεῖα καὶ θεῶν* etc. naturae omnem poëtarum

παντοίας ἐνέφυσεν. ἔοικα δέ τοι παραείδειν,
ὥστε θεῷ· τῷ μή με λιλαίεο δειροτομῆσαι.
καί κεν Τηλέμαχος τάδε γ' εἴποι, σὸς φίλος υἱὸς,
ὡς ἐγὼ οὔτι ἑκὼν ἐς σὸν δόμον, οὐδὲ χατίζων,
πωλεύμην μνηστῆρσιν ἀεισόμενος μετὰ δαῖτας,
ἀλλὰ πολὺ πλέονες καὶ κρείσσονες ἦγον ἀνάγκῃ."

qui et Medonti praeconi parcere jubet patrem.

Ὣς φάτο· τοῦ δ' ἤκουσ' ἱερὴ ἲς Τηλεμάχοιο,
αἶψα δ' ἑὸν πατέρα προσεφώνεεν, ἐγγὺς ἐόντα·
„Ἴσχεο, μηδέ τι τοῦτον ἀναίτιον οὔταε χαλκῷ!
καὶ κήρυκα Μέδοντα σαώσομεν, ὅστε μευ αἰεὶ
οἴκῳ ἐν ἡμετέρῳ κηδέσκετο, παιδὸς ἐόντος,
εἰ δὴ μή μιν ἔπεφνε Φιλοίτιος, ἠὲ συβώτης,
ἠὲ σοὶ ἀντεβόλησεν, ὀρινομένῳ κατὰ δῶμα."
Ὣς φάτο· τοῦ δ' ἤκουσε Μέδων, πεπνυμένα εἰδώς·
πεπτηὼς γὰρ ἔκειτο ὑπὸ θρόνον, ἀμφὶ δὲ δέρμα
ἕστο βοὸς νεόδαρτον, ἀλύσκων κῆρα μέλαιναν.
αἶψα δ' ἀπὸ θρόνου ὦρτο, βοὸς δ' ἀπέδυνε βοείην,
Τηλέμαχον δ' ἄρ' ἔπειτα προσαΐξας λάβε γούνων,
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
„Ὦ φίλ', ἐγὼ μὲν ὅδ' εἰμί! σὺ δ' ἴσχεο· εἰπὲ δὲ πατρὶ,
μή με περισθενέων δηλήσεται ὀξέϊ χαλκῷ,
ἀνδρῶν μνηστήρων κεχολωμένος, οἵ οἱ ἔκειρον
κτήματ' ἐνὶ μεγάροις, σὲ δὲ νήπιοι οὐδὲν ἔτιον."
Τὸν δ' ἐπιμειδήσας προσέφη πολύμητις Ὀδυσσεύς·
„θάρσει, ἐπειδή σ' οὗτος ἐρύσσατο καὶ ἐσάωσεν,
ὄφρα γνῷς κατὰ θυμὸν, ἀτὰρ εἴπῃσθα καὶ ἄλλῳ,
ὡς κακοεργίης εὐεργεσίη μέγ' ἀμείνων.
ἀλλ' ἐξελθόντες μεγάρων ἕζεσθε θύραζε

sapientiam tribuit Lyricus, Philosophus diis; mire Homerus humanum divino miscuit, ut res est, simul *αὐτοδίδακτον* dicens poëtam, et eum, cui deus inspiret ingenium. — *οἴμας*, quasi vias canendi, *carmina*. θ', 481. — *λιλαίεο*, *stude*. ι', 451, λ', 222 etc. — Am. Q.: *δειροτομῆσαι*. (φ', 89.) *λαιμοτομῆσαι*. — *κεχρ.*, *οὐδὲ χατίζων*. 50. — *πωλεύμην μετὰ δαῖτας*, *sequebar epulas*. β', 55 etc. — *κρείσσονες*, *fortiores*, potentiores. Il. φ', 486 etc. — *ἱερὴ ἲς Τηλ.* β', 409 etc. — *ἴσχεο*, *contine te*. λ', 250. — *κηδέσκετο*, *curam agebat*. — *ὀρινομένῳ*, *concitato*, ruenti. δ', 365 etc.

361 — 377. *πεπνυμένα εἰδώς*. δ', 696 etc. β', 38.: *κῆρυξ Πεισήνωρ, πεπνυμένα μήδεα εἰδώς*. — *πεπτηώς*, *stratus*. ξ', 356, 476. cf. 384. — *ἀμφὶ — ἕστο*. ε', 167. cf. ρ', 203 etc. — *νεόδαρτον*. δ', 437. — *βοός*. sic Harl., cujus libri Schol.: γρ. *θοῶς*, et margo: *περισσὸν τὸ βοός*. sic est; verum haud offendor ego pleonasmo *βοὸς βοείην*, imo praesidium ei paratum esse intelligo in isto *ποδανίπτρα ποδῶν* τ', 343., quod tum, cum tractabam eum locum, hujus immemor, addubitavi. certe correctionem sapit *θοῶς*, quod nunc libros occupat, inutile illud quidem, cum praecesserit *αἶψα*, quod huc pertinet. minus verisimile est, forte permixtas esse β et θ litteras, ut *λαβεῖν* et *λαθεῖν* apud Euripidem Ione. — Am. Q.: *περισθενέων*. *περισσῶς χρώμενος τῷ αὐτοῦ σθένει*. Sch.: *ἤτοι περισσῶς ἰσχύων*. — *δηλήσεται*, *δηλήσηται*. θ', 444 etc. — *ἔκειρον*, *attondebant*. β', 312 etc. — *ἐρύσσατο*. A. 1, 3 et 4., item Ald. 3. et E: *ἐρύσατο*, vereorque ne frustra geminetur sigma, cum ancipites sint bene multis in verbis ι et υ litterae. — „*ὡς* — *ἀμείνων*. Theognis 548.: *τῆς εὐερ-*

ἐκ φόνου εἰς αὐλὴν, σύ τε καὶ πολύφημος ἀοιδὸς,
ὄφρ' ἂν ἐγὼ κατὰ δῶμα πονήσομαι, ὅττεό με χρή."

igitur illi domo profecti considunt ad aram Jovis.

Ὣς φάτο· τὼ δ' ἔξω βήτην μεγάροιο κιόντες,
ἑζέσθην δ' ἄρα τώγε Διὸς μεγάλου ποτὶ βωμὸν,
πάντοσε παπταίνοντε, φόνον ποτιδεγμένω αἰεί.

Ulysses postquam procos omnes occisos videt, Eurycleam advocari jubet.

Πάπτηνεν δ' Ὀδυσεὺς καθ' ἑὸν δόμον, εἴ τις ἔτ' ἀνδρῶν
ζωὸς ὑποκλοπέοιτο, ἀλύσκων κῆρα μέλαιναν.
τοὺς δὲ ἴδεν μάλα πάντας ἐν αἵματι καὶ κονίῃσι
πεπτεῶτας πολλοὺς, ὡς ἰχθύας, οὕσθ' ἁλιῆες
κοῖλον ἐς αἰγιαλὸν πολιῆς ἔκτοσθε θαλάσσης
δικτύῳ ἐξέρυσαν πολυωπῷ (οἱ δέ τε πάντες,
κύμαθ' ἁλὸς ποθέοντες, ἐπὶ ψαμάθοισι κέχυνται,
τῶν μέν τ' ἠέλιος φαέθων ἐξείλετο θυμόν)·
ὣς τότ' ἄρα μνηστῆρες ἐπ' ἀλλήλοισι κέχυντο.
δὴ τότε Τηλέμαχον προσέφη πολύμητις Ὀδυσσεύς·
„Τηλέμαχ', εἰ δ', ἄγε μοι κάλεσον τροφὸν Εὐρύκλειαν,
ὄφρα ἔπος εἴπωμι, τό μοι καταθύμιόν ἐστιν."
Ὣς φάτο· Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρὶ,
κινήσας δὲ θύρην προσέφη τροφὸν Εὐρύκλειαν·
„Δεῦρο δὴ ὄρσο, γρηῦ παλαιγενὲς, ἥτε γυναικῶν
δμωάων σκοπός ἐσσι κατὰ μέγαρ' ἡμετεράων!

γεσίης οὐδὲν ἀρειότερον." E Cl. — *ἐκ φόνου*, *e caede*, h. e. e loco caedis. v. ann. ad Comici Equ. 1275 etc. — E: *πολύφημος ἀοιδὸς ὁ Φήμιος ἢ ὡς σοφὸς κ. πολυΐστωρ, κ. οὕτω πολλὰς φήμας εἰδὼς, ἢ ὡς πολλοὺς φημίζων, ἢ ὡς ὑπὸ πολλῶν τοῦτο πάσχων* etc. — *πονήσομαι, π—ωμαι. ι*', 250.: *αὐτὰρ ἐπειδὴ σπεῦσε πονησάμενος τὰ ἃ ἔργα* etc.

378—388. *κιόντες.* sic A. 4., plurali usurpato pro duali, ut Il. *γ*', 210 etc. vulgo: *κιόντε, Ἑζέσθην* —, in quo displicet hiatus. — *ποτιδεγμένω. β*', 205 etc. — E: *ζωὸς ὑποκλοπέοιτο. ἤγουν ὑποκλέπτοι τὸ ζῆν, ἢ κρύπτοιτο.* — *ὡς ἰχθύας.* sic Alterus ex suis, quorum solus A. 1. habet *ὥστ' ἰχθ., οὕσθ' ἁλ.*, bis illata particula praeter necessitatem. — *κοῖλον ἐς αἰγ.*, *in cavum littus*, sinum maritimum. aliter E: *κοῖλος αἰγιαλὸς ἁπλῶς ὁ βαθύς· οὐ γὰρ ἂν ἦν αἰγιαλοῦ ὀφρὺς, μὴ βάθους ὑποκειμένου τοῦ κατὰ τὸ ὕδωρ.* — idem: *πολυωπὸν δὲ δίκτυον κατὰ τοὺς παλαιοὺς, τὸ πολλὰς ἔχον ὀπὰς, ἐκταθέντος τοῦ ο. βίαιον γὰρ, φασὶ, πολυωπὸν εἰπεῖν τὸ πολυόφθαλμον. καὶ τοῦτο μὲν ὀρθόν· εἰ δέ τις ἐνθυμηθείη, καὶ τεχνητοὺς εἶναι ὀφθαλμοὺς, ὁποῖοι καὶ οἱ κατὰ τὰς τριήρεις (λέγονται γὰρ ὀφθαλμοὶ ῥητορικῶς ἐν ἐκείναις αἱ ὀπαὶ, ὧν αἱ κῶπαι διείρονται), οὐκ ἂν ἀπαγορεύσοι, πολυωπὸν εἰρῆσθαι δίκτυον, οὗ πολλοὶ τεχνικῶς οἱ ὀφθαλμοί.* — Sch.: *πολ. πολλὰς τρύπας ἔχοντι* [*τῷ δικτύῳ*]. similiter *σπόγγους πολυτρήτους* dixit inferius 439. *τὸ δὲ ἥλιος ἐξ θυμὸν δηλοῖ, οὐ τὸν ἀέρα αἴτιον ἁπλῶς οὕτως εἶναι τοῦ θνήσκειν ἰχθύας, ἀλλὰ τὸ θερμόν· οὐ δύνανται γὰρ ἡλίῳ θέρεσθαι, οἷς ὁ βίος αἰεὶ ἐν ὑγρῷ.*

392—396. *καταθύμιον, κατὰ θυμὸν*, *in animo*. Il. *κ*', 383. — E: *ὅτι κινῆσαι θύραν φησὶ τὸ διασαλεῦσαι. ἐπὶ κλήσει τινὸς τῶν ἔνδον, καὶ ἔστιν ἕτερον τοῦτο τοῦ κόψαι κ. κροῦσαι.* desidero aliud exemplum ejus usus *τοῦ κινεῖν θύραν.* — *ὄρσο. η*', 342. — *γρηῦ παλαιγενές.* Il. *γ*', 386. Il. *ρ*', 560.: *Φοῖνιξ, ἄττα, γεραιὲ παλαιγενές.* — *σκοπός.* improprie dixit. E: — *καλεῖ τὴν μαῖαν, ἣν καὶ δμωάων σκοπὸν λέγει, ὅ ἐστιν ἐπιμελήτριαν, ἐπίτροπον. ἡ δὲ τοιαύτη καὶ ἐπίσκοπος λέγοιτ' ἂν κατὰ τὸ (θ*', 163), *ἐπίσκοπος ἦσιν (εἶσιν) ὁδαίων.*

ἔρχεο· κικλήσκει σε πατὴρ ἐμὸς, ὄφρα τι εἴπῃ."

quae conspectis procorum cadaveribus exultat.

Ὣς ἄρ' ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
ὤϊξεν δὲ θύρας μεγάρων εὐναιεταόντων,
βῆ δ' ἴμεν· αὐτὰρ Τηλέμαχος πρόσθ' ἡγεμόνευεν.
εὗρεν ἔπειτ' Ὀδυσῆα μετὰ κταμένοισι νέκυσσιν,
αἵματι καὶ λύθρῳ πεπαλαγμένον, ὥστε λέοντα,
ὅς ῥά τε βεβρωκὼς βοὸς ἔρχεται ἀγραύλοιο
(πᾶν δ' ἄρα οἱ στῆθός τε, παρήϊά τ' ἀμφοτέρωθεν,
αἱματόεντα πέλει, δεινὸς δ' εἰς ὦπα ἰδέσθαι)·
ὣς Ὀδυσεὺς πεπάλακτο πόδας καὶ χεῖρας ὕπερθεν.
ἡ δ' ὡς οὖν νέκυάς τε καὶ ἄσπετον εἴσιδεν αἷμα,
ἴθυσέν ῥ' ὀλολύξαι, ἐπεὶ μέγα εἴσιδεν ἔργον·
ἀλλ' Ὀδυσεὺς κατέρυκε καὶ ἔσχεθεν ἱεμένην περ,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·

compescit ejus gaudium Ulysses; cujus illa jussu ancillas probas improbasque indicat.

„Ἐν θυμῷ, γρηῦ, χαῖρε, καὶ ἴσχεο, μηδ' ὀλόλυζε·
οὐχ ὁσίη, κταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι.
τούσδε δὲ μοῖρ' ἐδάμασσε θεῶν καὶ σχέτλια ἔργα·
οὔτινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων,
οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν, ὅτις σφέας εἰσαφίκοιτο.
[τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.]
ἀλλ' ἄγε μοι σὺ γυναῖκας ἐνὶ μεγάροις κατάλεξον,
αἵ τέ μ' ἀτιμάζουσι, καὶ αἳ νηλιτεῖς εἰσί."
Τὸν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·

398. ϱ', 57 etc.

399—409. *μεγάρων εὐν.* β', 400 etc. — *κταμ. νέκυσσιν.* sic A. 2. alii codd. scripti, E, Ald. 3., Bergler.: *νέκυσιν.* Barn., Cl.: *κταμένοις νεκύεσσιν.* cf. ψ', 45. similia *νέκυς κατατεθνηὼς* Il. π', 526, *νέκυες καταφθίμενοι* λ', 490 etc. — *αἵματι — πεπαλ.* Il. ζ', 268. cf. Il. λ', 169, υ', 503. E: *λύθρον καὶ νῦν ὁ ἐξ αἵματος μολυσμὸς, ὃν χρὴ ἀπολούσασθαι· ἀπὸ τοῦ λούω, (?) ἀφ' οὗ λύω, ἐξ οὗ καὶ λῦμα τὸ κάθαρμα* etc. — E: *ἄγραυλος* (μ', 253) *ὑπόκειται ὁ ῥηθεὶς βοῦς, ἐπεὶ τοιούτοις ὡς τὰ πολλὰ ἐπιτίθενται λέοντες· κατ' ἀνάγκην μέντοι ποτὲ καὶ βουστασίοις* (in quibus boves stabulantes opponuntur agrestibus) *ἐπιβουλεύουσι. παρήϊα δὲ νῦν μὲν αἱ παρειαί* (ut α', 334. et passim.)· *ἐν δὲ Ἰλιάδι κόσμος ἵππων παραγναθίδιος, οἷον* (Il. δ', 142), *παρήϊον ἔμμεναι ἵππων.* „Virg. Aen. 10, 723.: *impastus stabula alta leo ceu saepe peragrans, Suadet enim vesana fames, si forte fugacem Conspexit capream, aut surgentem in cornua cervum, Gaudet hians immane, comasque arrexit, et haeret Visceribus super incumbens; lavit improba teter Ora cruor.*" Eichh., qui conferri jussit Il. γ', 21, μ', 299, ϱ', 542, Milton. Parad. 4, 402. — *εἰς ὦπα ἰδ.* ψ', 107. cf. α', 411 etc. — *ἴθυσεν ὀλολ. impetum cepit ululandi* laetitia, ut Lucanus 6, 261.: *laetis ululare triumphis.* cf. γ', 450. — E: — *τὸ ἐπὶ θρήνου τάττειν τὸ ὀλολύζειν, νεωτέρων ἐστὶν* etc. — *ἀλλ' — ἱεμένην περ.* π', 430.

412, 13. *οὐχ ὁσίη. λείπει τὸ δίκη, ἢ τὸ εὐχὴ* etc. imo per se intelligi potest *ὁσίη, jus fasque*, ut *εὐδία, θέρμη, λεύκη*, aliaque nomina, quae proprie sunt feminina adjectivorum. π', 423.: *οὐδ' ὁσίη κακὰ ῥάπτειν ἀλλήλοισιν.* — *εὐχετάασθαι, gloriari.* „Archilochus ap. Clem. Alex. Strom. 6.: *οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομεῖν ἐπ' ἀνδράσιν.*" *E Cl.* — *τούσδε — ἔργα.* negat gloriandum esse: neque enim se procos ultum esse, sed fatum divinum et ipsorum scelera eos perdidisse.

416. versus haud dubie transscriptus e 317. quare haec separavi a genuinis.

417, 18. cf. τ', 497, 98, π', 316, 17.

„τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω.
πεντήκοντά τοί εἰσιν ἐνὶ μεγάροισι γυναῖκες
δμωαὶ, τὰς μέν τ' ἔργα διδάξαμεν ἐργάζεσθαι,
εἴριά τε ξαίνειν, καὶ δουλοσύνης ἀνέχεσθαι·
τάων δώδεκα πᾶσαι ἀναιδείης ἐπέβησαν,
οὔτ' ἐμὲ τίουσαι, οὔτ' αὐτὴν Πηνελόπειαν.
Τηλέμαχος δὲ νέον μὲν ἀέξετο, οὐ δέ ἑ μήτηρ
* σημαίνειν εἴασκεν ἐπὶ δμωῇσι γυναιξίν.
ἀλλ' ἄγ', ἐγὼν ἀναβᾶσ' ὑπερώϊα σιγαλόεντα
εἴπω σῇ ἀλόχῳ, τῇ τις θεὸς ὕπνον ἐπῶρσε."
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„μήπω τήνδ' ἐπέγειρε· σὺ δ' ἐνθάδε εἰπὲ γυναιξὶν
ἐλθέμεν, αἵπερ πρόσθεν ἀεικέα μηχανόωντο."

arcessuntur impiae ad efferendum cadavera, et purgandum aedes; cujus laboris in parte sunt etiam viri.

Ὣς ἄρ' ἔφη· γρηῦς δὲ διὲκ μεγάροιο βεβήκει,
ἀγγελέουσα γυναιξὶ, καὶ ὀτρυνέουσα νέεσθαι.
αὐτὰρ ὁ, Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην
εἰς ἓ καλεσσάμενος, ἔπεα πτερόεντα προσηύδα·
„Ἄρχετε νῦν νέκυας φορέειν, καὶ ἄνωχθε γυναῖκας·
αὐτὰρ ἔπειτα θρόνους περικαλλέας ἠδὲ τραπέζας
ὕδατι καὶ σπόγγοισι πολυτρήτοισι καθαίρειν.
αὐτὰρ ἐπὴν δὴ πάντα δόμον κατακοσμήσησθε,
δμωὰς ἐξαγαγόντες ἐϋσταθέος μεγάροιο,
μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς,

423—427. *εἴρια ξαίνειν*, *lanam carpere*. a praecipua parte omnia servarum et mulierum opera significat. — *δουλ. ἀνέχεσθαι*, *servitutem tolerare*, servire. — *δώδεκα πᾶσαι*. ε', 244 etc. — Sch.: *ἀναιδείης ἐπ.* ἐπὶ πολὺ τῆς ἀναιδείας ἐπῆλθον. *impudentiam exercuerunt*. sensu activo de diis dixit ψ', 13.: *καί τε χαλιφρονέοντα σαοφροσύνης ἐπέβησαν*. Soph. Oed. Col. 168.: *εὐσεβίας ἐπιβαίνοντες*, h. e. *εὐσεβοῦντες*. v. ibi ann. et cf. Philoct. 1381. — *νέον*, *recens*, nuper. — *ἀέξετο*, *crescebat*, adolescebat.

427. dicunt Graeci *σημαίνειν τινὶ*, non *ἐπί τινι*, nec locum habet *ἐπισημαίνειν*, ne quis scribendum putet *σημαίνειν ε. ἔπι δμ. γυν.* itaque vix dubito, quin ponendum sit *σημ. εἴασκεν ὑποδμωῇσι γ.*, ut *Ποσειδάωνος ὑποδμὼς* δ', 386. permiscentur in libris ε, ι et υ litterae, itemque praepositiones *ἀπὸ*, *ἐπὶ*, *ὑπό*: v. ann. ad Il. δ', 286, Odyss. α', 108, ζ', 185, ι', 292, ξ', 333, Aeschyl. Ag. 1023, Aristoph. Pac. 287, etc. — *σημαίνειν*, *imperare*. 450, Il. α', 289, λ', 789 etc. E: *οὐδὲ — γυναιξίν*. *παιδευτικῶς τοῦτο ποιοῦσα, ὅτι μηδὲ δεῖ τοιαύτην ἡλικίαν ἐφιστᾷν γυναιξίν. ἀπολογία δὲ τοῦτο ὑπὲρ τοῦ παιδὸς, ἵνα μὴ μέμφοιτο αὐτὸν ὁ πατὴρ, ὡς μὴ κωλύοντα τὰς δμωὰς τοιαῦτα ποιεῖν.*

428—436. *ὑπερώϊα σιγ.* π', 449 etc. — *ἐπῶρσε*, *immisit*, seu concitavit. ε', 109, η', 271 etc. A. 2. et 3. aliique apud Cl.: *ἔχευεν*. — *εἰς ἕ*, *εἰς ἑαυτόν*. cf. δ', 527, τ', 390 etc.

439—445. *σπόγγοισι πολ.* 453, α', 111, ubi v. ann. — *κατακοσμήσησθε*, *ordinaveritis*. idem propemodum indicat *διεκοσμήσαντο* 457., nisi quod *διὰ* est *αὐξητικὸν*, quasi dicas *perpurgaverant*. E: *διακοσμηθῆναι δόμον ἔφη Ὀδ. τὸ διόλου πάντα κόσμον γενέσθαι*. — *ἐϋσταθέος*. 120. — Am. Q. et Sch.: *θόλου* (459, 466). *κυκλοτεροῦς οἰκήματος, ἀπὸ τοῦ περιθεῖν*, (?) *εἰς ὃ τὰ καθ' ἑκάστην ἡμέραν εἰς χρῆσιν πίπτοντα ἀπετίθεντο, οἷον κρατῆρας, καὶ ἐκπώματα, καὶ τὰ ὅμοια*. cf. Schn. v. *θόλος* Montbel: „*entre le donjon et la forte enceinte de la cour*. J'ai rendu par notre mot *donjon* cette espèce de bâtiment nommé *tholus* dans le grec. Les petites scholies disent que le *tholus* était un bâtiment construit en rond, où l'on déposait chaque jour les objets d'un usage habituel, comme les cratères, les coupes, etc. Eustathe don-

θεινέμεναι ξίφεσιν τανυήκεσιν, εἰσόκε πασέων
ψυχὰς ἐξαφέλησθε, καὶ ἐκλελάθοιντ' ἀφροδίτης,
τὴν ἄρ' ὑπὸ μνηστῆρσιν ἔχον, μίσγοντό τε λάθρῃ."
Ὣς ἔφαθ'· αἱ δὲ γυναῖκες ἀολλέες ἦλθον ἅπασαι,
αἴν' ὀλοφυρόμεναι, θαλερὸν κατὰ δάκρυ χέουσαι.
πρῶτα μὲν οὖν νέκυας φόρεον κατατεθνηῶτας,
κὰδδ' ἄρ' ὑπ' αἰθούσῃ τίθεσαν εὐερκέος αὐλῆς,
ἀλλήλῃσιν ἐρείδουσαι. σήμαινε δ' Ὀδυσσεὺς,
αὐτὸς ἐπισπέρχων· ταὶ δ' ἐκφόρεον καὶ ἀνάγκῃ.
αὐτὰρ ἔπειτα θρόνους περικαλλέας ἠδὲ τραπέζας
ὕδατι καὶ σπόγγοισι πολυτρήτοισι κάθαιρον.
αὐτὰρ Τηλέμαχος καὶ βουκόλος ἠδὲ συβώτης
λίστροισιν δάπεδον πύκα ποιητοῖο δόμοιο
* ξῦον· ταὶ δ' ἐφόρεον δμωαί, τίθεσαν δὲ θύραζε.

quo facto mulieres correptae 12 suspenduntur.

αὐτὰρ ἐπειδὴ πᾶν μέγαρον διεκοσμήσαντο,
δμωὰς δ' ἐξαγαγόντες ἐϋσταθέος μεγάροιο,
μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς,
εἴλεον ἐν στείνει, ὅθεν οὔπως ἦεν ἀλύξαι.
τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἦρχ' ἀγορεύειν·
„Μὴ μὲν δὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν ἑλοίμην
τάων, αἳ δὴ ἐμῇ κεφαλῇ κατ' ὀνείδεα χεῦαν,

ne la même explication. (Voss.: *zwischen das küchengewölb' und des hofs untadliche mauer.*) Tout ce passage où Ulysse commande à Télémaque d'aller égorger ces misérables femmes, et la suite, où l'on voit Tél. lui-même les pendre inhumainement, ne peut se justifier, si l'on suppose que le poète inventait cela. Il faut donc admettre qu'il ne faisait que raconter une action reconnue pour vraie dans l'esprit de tout le monde; action qui tenait à l'indifférence que l'on avait alors pour la vie des hommes." — *τανυήκεσιν*, *longis.* κ', 439 etc. — *ἐξαφέλησθε*, *ἐκλελάθοιντο.* αὐξητικὴ praepositio in utroque verbo, ut ι', 453. et alias. saepius autem hoc poëta usurpavit, illud semel. — *ἀφροδίτης.* rem dicit, non deam. quare dedi ἀφροδίτης, ut Ald. 3. et libri vett., quos male deseruerunt recentiores. Ap.: ἈΦΡΟΔΙΤΗΣ. ἐπὶ μὲν τῆς θεοῦ, *ἐϋστεφάνου τ' Ἀφροδίτης* (θ', 267)· ἐπὶ δὲ τῆς πρὸς ἄνδρας συνουσίας, *καὶ ἐκλελάθοιντ' ἀφροδίτης.* cf. ann. ad Eurip. Phoen. 971, Aeschyl. Ag. 379, Suppl. 925. — *ὑπὸ μ. ἔχον.* tmesis. ὑπεῖχον μ., *praebebant.*

446—455. *ἀολλέες.* γ', 412 etc. — *αἴν'*, αἰνά. κ', 219 etc. — *θαλερὸν — χέουσαι.* v. δ', 556, κ', 201, Il. β', 266 etc. — Am. Q.: *ἀλλ. ἐρείδουσαι.* ἐπερείδουσαι ἀλλήλαις, ὅ ἐστιν ἐπιτιθεῖσαι τοὺς νεκρούς. Sch. quoque: ἐπιτιθεῖσαι. at hoc dictum oportuit ἐρειδήσασαι. imo ἀλλ. ἐρείδουσαι est ἐρείδ. εἰς ἀλλήλας, *altera alteram urgentes*, quo citius odioso opere defungerentur, ut quae postea se dimissum iri sperarent, nec mori. v. Schn. v. ἐρείδω. — *ἐπισπέρχων.* (Il. ψ', 430.) ἀναγκάζων. — *ταὶ — ἀνάγκῃ.* hyperbaton: ταὶ δὲ καὶ ἐκφ. ἀν. — Sch. em.: *λίστροισι.* τοῖς ξυστῆρσιν, ἀπὸ τοῦ λεαίνειν. v. Schn. v. λεαίνειν. Ap. em. h. v.: ξυστῆρσι. καὶ *λιστρεύοντα* (ω', 226) ἀντὶ τοῦ περιξύοντα. Hesych.: λιστρόν. ξυστήρ, σκάφιον, πτύον σιδηροῦν, ὁμάλιστρον. ἔνιοι, ἐδαφιστήριον.

456—460. *ἐφόρεον.* Cl.: „pronuntiabatur ἐφόρουν, vel ἐφόρευν." imo hoc, opinor, dixit poëta, ut πιέζευν μ', 174. cf. ο', 533 et ibi annotata. — *δμωὰς δὲ*, δμ. δή. — *εἴλεον*, *compellebant*, λ', 572. — *στείνει*, *angusto*, angustiis. v. Il. θ', 475.

462—473. *μὴ — τάων*, *ne ego is sim, qui pura*, h. e. simplici, *morte has occidat*, etc. amolitur hoc ab se, tanquam actionem pravam atque impiam. Am. Q. *καθαρῷ θαν.* τὸν διὰ ξίφους θάνατον τοῦ ἠγχονισμένου [θανάτου] ἐνόμιζον καθαρώτερον. — *κατ'*

μητέρι θ' ἡμετέρῃ, παρά τε μνηστῆρσιν ἴαυον!
"Ὣς ἄρ' ἔφη, καὶ πεῖσμα νεὸς κυανοπρῴροιο
κίονος ἐξάψας μεγάλης περίβαλλε θόλοιο,
ὑψόσ' ἐπενταν ύσας, μήτις ποσὶν οὖδας ἵκοιτο.
ὡς δ' ὅταν ἢ κίχλαι τανυσίπτεροι, ἠὲ πέλειαι,
ἕρκει ἐνιπλήξωσι, τόθ' ἑστήκει ἐνὶ θάμνῳ,
αὖλιν ἐσιέμεναι, στυγερὸς δ' ὑπεδέξατο κοῖτος,
ὣς αἵγ' ἑξείης κεφαλὰς ἔχον, ἀμφὶ δὲ πάσαις
δειρῇσι βρόχοι ἦσαν, ὅπως οἴκτιστα θάνοιεν·
ἤσπαιρον δὲ πόδεσσι μίνυνθά περ, οὔτι μάλα δήν.

Melanthii immane supplicium.

Ἐκ δὲ Μελάνθιον ἦγον ἀνὰ πρόθυρόν τε καὶ αὐλήν.
τοῦ δ' ἀπὸ μὲν ῥῖνάς τε, καὶ οὔατα, νηλέϊ χαλκῷ
τάμνον· μήδεά τ' ἐξέρυσαν, κυσὶν ὠμὰ δάσασθαι·
χεῖράς τ' ἠδὲ πόδας κόπτον, κεκοτηότι θυμῷ.
Οἱ μὲν ἔπειτ' ἀπονιψάμενοι χεῖράς τε, πόδας τε,
εἰς Ὀδυσῆα δόμονδε κίον· τετέλεστο δὲ ἔργον.
αὐτὰρ ὅγε προσέειπε φίλην τροφὸν Εὐρύκλειαν·

sulfur afferri jubet Ulysses ad lustrandas aedes, et Penelopen cum ancillis bonae frugi ad se arcessi.

Οἶσε θέειον, γρηΰ, κακῶν ἄκος, οἶσε δέ μοι πῦρ,

ὀ. χεῦαν. β', 12. — παρὰ δὲ μν. ἴαυον. Il. ι', 336.: — ἔχει δ' ἄλοχον θυμαρέα. τῇ παριαύων Τερπέσθω. cf. ibidem 325, Odyss. ε', 154 etc. — πεῖσμα, *funem.* ζ', 269, ι', 136 etc. cf. φ', 390. circumjacent in aedibus rudentes, utpote apud gentem maritimam. — κίχλαι, hodierna Graecorum lingua *tsicles, turdi.* E: κίχλαις δὲ κ. πελείαις εἰκάζει τὰς ῥηθείσας δμωὰς, τὸ μὲν ἴσως διὰ τὸ κιχλισμὸν τῶν γελώτων, οὓς ἐγέλων, εὐφροσύνην ἀλλήλαις παρέχουσαι (υ', 8), ὅτε καὶ ἡ τοῦ Ὀδυσσέως ὑλάκτει καρδία, τὸ δὲ διὰ τὸ κατωφερές· τοιαῦται γὰρ αἱ περιστεραὶ, ὧν τὸ πάντροφον διὰ τὸ ἀεὶ μίγνυσθαι. (imo serie tantum et numero simili avibus captis comparat mulieres suspensas. cf. 471.) ὅτι δὲ τὰς κίχλας κιχήλας τρισυλλάβως ἔλεγον οἱ Δωριεῖς, κ. ὡς ἐκ τῆς αὐτῶν φωνῆς κιχλίζειν (Aristoph. Nub. 954) καὶ κιχλισμὸς ἐπὶ γυναικείου γέλωτος, οὐκ ἄδηλόν ἐστι. χρῆσις δὲ κιχηλῶν οὐ μόνον παρὰ τῷ Κωμικῷ (Nub. 333., qui tamen et κίχλας dixit Av. 565 et saepe alias.), ἀλλὰ καὶ παρ' Ἐπιχάρμῳ ἐν τῷ τὰς ἐλαιοφιλοφάγους κιχήλας (iambicus tetrameter catal., ni fallor, sed ἀκέφαλος et mancus: ⏑ τὰς ἐλ. ⏑-⏑- κιχήλας.), ὃ κεῖται παρὰ τῷ Δειπνοσοφιστῇ, ὃς καὶ Συρακουσίων λέξιν τὰς κιχήλας λέγει, ὡς δηλαδὴ καὶ αὐτῶν δωριζόντων etc. de tribus generibus turdorum v. Schn. ann. ad Aristot. H. A. 9, 18, 2., p. 120–22.; quos etiam ἴχλας et ἰχάλας vocari, auctor est Hesychius. — τανυσίπτεροι, *alatae.* ε', 65. — πέλειαι. μ', 62. πελειάδας dixit Il. λ', 634. — Sch.: ἕρκει. νῦν τῷ δικτύῳ. E: ἕρκος δικτυῶδές τι κυρίως μηχάνημα· νῦν δὲ φαίνεται σχοῖνος εἶναι μακρὰ τὸ ἕρκος, ἧς βρόχοι ἀπῃώρηνται πρὸς ἰσότητα σύμμετρον. — ἐνιπλήξωσι. (Il. μ', 72.) ἐγκρούσωσι. — (θάμνῳ. ε', 471 etc.) αὖλις (Il. ι', 232.) ἀπὸ τῆς αὐλῆς Αἰολικῶς ἡ κοίτη, κ. ἡ κατασκήνωσις, ὅθεν καὶ ἡ ἔπαυλις. ἐκ δὲ τοῦ στυγερὸς δ' ὑπ. κοῖτος λαβών τις τῶν μεθ' Ὅμηρον ἔφη τὸ ἀτερπέα δ' αὖλιν ἔκυρσαν. — οἴκτιστα, οἰκτίστως. λ', 411 etc. — ἤσπαιρον, *palpitabant.* θ', 526 etc. — μίνυνθα, *paululum.* θ', 315.

475—477. immane supplicium, de quo ad σ,' 84—86. hinc Theccritus 5, 149., annotante Cl.: γενοίμαν — Μελάνθιος, *fiam Melanthius*, h. e. *miserrimus hominum, peream miserrime.* — κεκ. θυμῷ. ι', 500 etc. „Aen. 6, 494.: *laniatum corpore toto Deïphobum vidit, lacerum crudeliter ora, Ora, manusque ambas, populataque tempora raptis Auribus, et truncas inhonesto volnere naves.*" Cl.

481—84. οἶσε — μέγαρον. ὅτι πεφονευμένων ἤδη τῶν ἀξίων θανάτου θεῖον καὶ πῦρ ζητεῖ Ὀδ. ἐπὶ καθάρσει

ὄφρα θεειώσω μέγαρον· σὺ δὲ Πηνελόπειαν
ἐλθεῖν ἐνθάδ' ἄνωχθι σὺν ἀμφιπόλοισι γυναιξί·
πάσας δ' ὄτρυνον δμωὰς κατὰ δῶμα νέεσθαι.
Τὸν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
„ναὶ δὴ ταῦτά γε, τέκνον ἐμὸν, κατὰ μοῖραν ἔειπες·
ἀλλ' ἄγε τοι χλαῖνάν τε, χιτῶνά τε, εἵματ' ἐνείκω,
μηδ' οὕτω ῥάκεσιν πεπυκασμένος εὐρέας ὤμους
ἕσταθ' ἐνὶ μεγάροισι· νεμεσσητὸν δέ κεν εἴη."
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„πῦρ νῦν μοι πρώτιστον ἐνὶ μεγάροισι γενέσθω."
Ὣς ἔφαθ', οὐδ' ἀπίθησε φίλη τροφὸς Εὐρύκλεια,
ἤνεικεν δ' ἄρα πῦρ, καὶ θήϊον· αὐτὰρ Ὀδυσσεὺς
εὖ διεθείωσεν μέγαρον, καὶ δῶμα, καὶ αὐλήν.
Γρηῢς δ' αὖτ' ἀπέβη διὰ δώματα κάλ' Ὀδυσῆος,
ἀγγελέουσα γυναιξὶ, καὶ ὀτρυνέουσα νέεσθαι·
αἱ δ' ἴσαν ἐκ μεγάροιο, δάος μετὰ χερσὶν ἔχουσαι.
αἱ μὲν ἄρ' ἀμφεχέοντο καὶ ἠσπάζοντ' Ὀδυσῆα,
καὶ κύνεον ἀγαπαζόμεναι κεφαλήν τε, καὶ ὤμους,
χεῖράς τ' αἰνύμεναι· τὸν δὲ γλυκὺς ἵμερος ᾕρει
κλαυθμοῦ, καὶ στοναχῆς· γίγνωσκε δ' ἄρα φρεσὶ πάσας.

τοῦ δώματος. ἐδόκουν γὰρ οἱ Ἕλληνες οὕτω τὰ τοιαῦτα μύση καθαίρεσθαι διοπομπούμενα. καὶ ἕτεροι μὲν δηλοῦσι τρόπους καθαρσίων ἑτέρους, ἃ καὶ ἐξάγοντες τῶν οἴκων μετὰ τὰς ἐθίμους ἐπαοιδὰς προσέῤῥιπτον ἀμφόδοις, ἔμπαλιν τὰ πρόσωπα στρέφοντες, κ. ἐπανιόντες ἀμεταστρεπτί· ὁ δέ γε ποιητικὸς Ὀδ. οὐχ οὕτω ποιεῖ, ἀλλ' ἑτέρως ἁπλούστερον. — *θέειον* δὲ (μ', 417, ψ', 50 etc. idem est θήϊον 493. et vulgare θεῖον. v. E.) θυμιάματος εἶδος, καθαίρειν δοκοῦντος τοὺς μιασμούς· διὸ καὶ διαστείλας *κακῶν ἄκος* αὐτό φησιν ὁ π. — ἰστέον δὲ, ὅτι οὐ μόνον διὰ θείου ἐγίνοντο καθαρμοὶ, ἀλλὰ καὶ φυτά τινα εἰς τοῦτο χρήσιμα ἦν, ἀριστερεὼν γοῦν, φυτὸν, κατὰ Πανσανίαν, ἐπιτήδειον εἰς καθαρμόν. καὶ σῦς δὲ εἰς τοιαῦτά ἐστιν, οὐ παρελαμβάνετο, ὡς ἐν Ἰλιάδι φαίνεται. (imo apud Apollon. Rhod. 4, 704., quod miratur Feith. 1, 6, 3.) — *οἶσε δέ μοι πῦρ*, Eurip. Hel. 818.: σὺ δ' αὖ κέλευθον, εἴ τις ἔβλαψεν ποδὶ Στείβων ἀνοσίῳ, δὸς καθαρσίῳ φλογὶ, Κροῦσον δὲ πεύκην, ἵνα διεξέλθω, πυρός. ibi Brodaeus et hunc Homeri locum laudat, et ista Eustathii in ann. ad Il. α', 52.: ὅτι καὶ τὸ πῦρ ἁγνιστικόν· διὸ καὶ οἱ καθαρμοὶ διὰ πυρὸς ἐγίνοντο. cf. Feith. l. c. — *πάσας — κατὰ δῶμα*, *omnes, quotquot sunt in aedibus.*

488—494. *πεπυκασμένος*, *tectus.* λ', 319. Il. ξ', 289 etc. — *νεμεσσ.* — *εἴη.* Il. γ', 410, ω', 463. — Sch.: *θήϊον.* θεῖον ἄπυρον. Plinius H. N. 35, 15.: *vivum sulfur, quod Graeci apyron vocant, nascitur solidum, — translucetque et viret.* Virg. Georg. 3, 449.: *spumas miscent argenti et sulfura viva.* efficaciora haec visa fuerint veteribus ad morbum et aptiora sacris, tanquam intemerata; ceterum haud ignorarunt usum sulfuris πεπυρωμένου. — *μέγαρον.* nunc ἀνδρῶνα sanguine pollutum. cf. 120, 257, α', 365 etc. minus recte E μέγαρον intelligit γυναικωνῖτιν, ut φ', 236. — *δῶμα*, *domum* reliquam. idem est δώματα sequente versu.

497. δ', 300, η', 339. cf. ψ', 289—294. faces ardentes manibus gestare solebant servae, cum prodibant e γυναικωνίτιδι, ad varios usus.

498—501. *ἀμφεχέοντο*, *circumfundebantur.* π', 214. — *ἠσπάζοντο.* γ', 35 etc. — *καὶ κύνεον — αἰνύμεναι.* cf. φ', 223. et ibi notata. Sch.: *αἰνύμεναι* (ι', 225, Il. λ', 580 etc.). λαμβάνουσαι. *τὸν — στοναχῆς.* π', 215.: ἀμφοτέροισι δὲ τοῖσιν ὑφ' ἵμερος ὦρτο γόοιο. — *κλαυθμοῦ.* δ', 212, ρ', 8 etc. — *στοναχῆς.* ξ', 39 etc.

Ο Δ Υ Σ Σ Ε Ι Α Σ

Ρ Α Ψ Ω Ι Δ Ι Α Ψ.

ΥΠΟΘΕΣΙΣ
ΤΗΣ Ψ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ἀναγνωρισμὸς Ὀδυσσέως πρὸς τὴν γυναῖκα, καὶ τῶν τῆς πλάνης διηγημάτων ἀνακεφαλαίωσις, καὶ Ὀδυσσέως καὶ Τηλεμάχου μετὰ τῶν οἰκείων ἔξοδος.

ΟΔΥΣΣΕΙΑΣ Ψ.

ΟΔΥΣΣΕΩΣ ΥΠΟ ΠΗΝΕΛΟΠΗΣ ΑΝΑΓΝΩΡΙΣΜΟΣ.

Penelopen e somno excitat Euryclea, et Ulyssis adventum victoriamque nuntiat.

Γρηῢς δ' εἰς ὑπερῷ' ἀνεβήσατο καγχαλόωσα,
δεσποίνῃ ἐρέουσα φίλον πόσιν ἔνδον ἐόντα·
γούνατα δ' ἐῤῥώσαντο, πόδες δ' ὑπερικταίνοντο·
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·
„Ἔγρεο, Πηνελόπεια, φίλον τέκος, ὄφρα ἴδηαι
ὀφθαλμοῖσι τεοῖσι, τάτ' ἔλδεαι ἤματα πάντα!
ἦλθ' Ὀδυσεὺς, καὶ οἶκον ἱκάνεται, ὀψέ περ ἐλθών·
μνηστῆρας δ' ἔκτεινεν ἀγήνορας, οἵθ' ἑὸν οἶκον
κήδεσκον, καὶ κτήματ' ἔδον, βιόωντό τε παῖδα."

Annotationes. Vers. 1—4. notavit E, dici γρηῢς et γρηΰς per διάλυσιν, non item et νηῦς et νηΰς, sed illud tantummodo. — καγχαλόωσα, *cachinnans.* 59, Il. γ', 43, ζ', 514 etc. — ἐῤῥώσαντο, ἐκινοῦντο. ω', 69, Il. ψ', 367, ω', 616. cf. υ', 107, Il. α', 529. huic loco aptatum est, quod habet Am. Q.: ἐῤῥωμένως ἐβάδιζον. — ὑπερικταίνοντο, quasi ὑπερεταχύνοντο, *nimis accelerabantur*, ab ὑπὲρ et ἴκταρ, quod et *prope* et *cito* significat, ut refert Montbelius, laudatis Schol. Barnes. et Thesauro l. gr. v. ἴκταρ. Am. Q.: ὑπερικνοῦντο (fort. ὑπερεκινοῦντο), καὶ ὑπερεπήδων, ὑπὲρ τὸ δέον ἐβάδιζον. Aristarchus apud Ap. h. v.: ἄγαν ἐπάλλοντο, προθυμουμένης μὲν αὐτῆς βαδίζειν ταχέως, μὴ δυναμένης δὲ, ἀλλὰ κατὰ βραχὺ διὰ τὸ γῆρας. male Ap.: φαίνεται τοίνυν τὸ πλῆρες κατὰ Ἀρίσταρχον ἐρικταίνοντο. imo τὸ ὑπὲρ interpretatus ille est ἄγαν, sumsitque verbum ἰκταίνειν, πάλλειν seu κινεῖν. ceterum Eichh. comparavit illud Maronis de Barce, Didonis nutrice, Aen. 4, 641.: *illa gradum studio celerabat anili*, — στῆ — κεφαλῆς. v. δ', 803.

7—9. „τὸ καὶ οἶκον ἱκάνεται πρὸς σαφήνειαν ἐπῆκται. οὐ γὰρ πᾶς ὁ ἐλθὼν ἐξ ἀλλοδαπῆς εἰς πατρίδα ἤδη καὶ οἴκαδε αὐτίκα ἐστί· καὶ δηλοῖ τοῦτο Ἀγαμέμνων, ἐπιβὰς μὲν τῆς πατρίδος γῆς, τὸν οἶκον δὲ οὐκ ἰδών. — cf. infra 55." *Cl.* — οἵθ' ἑὸν οἶκον. sic plerique omnes libri Homerici. A. 1.: οἳ τεὸν ο., opinor, pro eodem, unde ortum videtur κακόφωνον illud apud E: οἵτε οἱ οἶκον, quod nescio quomodo placuit viris doctissimis. — E: κήδεσκον (Il. ε', 400, ι', 615 etc.), ἔβλαπτον. — βιόωντό τε παῖδα, et vim

quam pro insana habens regina increpat; sed rem pro certo affirmantem illam laeta complectitur, singulaque magni operis exquirit.

Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
„μαῖα φίλη, μάργην σε θεοὶ θέσαν, οἵτε δύνανται
ἄφρονα ποιῆσαι καὶ ἐπίφρονά περ μάλ' ἐόντα,
καί τε χαλιφρονέοντα σαοφροσύνης ἐπέβησαν·
* οἵ σέ περ ἔβλαψαν, πρὶν δὲ φρένας αἰσίμη ἦσθα.
τίπτε με λωβεύεις, πολυπενθέα θυμὸν ἔχουσαν,
ταῦτα παρὲξ ἐρέουσα, καὶ ἐξ ὕπνου μ' ἀνεγείρεις
ἡδέος, ὅς μ' ἐπέδησε, φίλα βλέφαρ' ἀμφικαλύψας;
οὐ γάρ πω τοιόνδε κατέδραθον, ἐξ οὗ Ὀδυσσεὺς
ᾤχετ', ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν.
ἀλλ' ἄγε νῦν κατάβηθι, καὶ ἂψ ἔρχευ μέγαρόνδε.
εἰ γάρ τίς μ' ἄλλη γε γυναικῶν, αἵ μοι ἔασι,
ταῦτ' ἐλθοῦσ' ἤγγειλε, καὶ ἐξ ὕπνου ἀνέγειρε,
τῷ κε τάχα στυγερῶς μιν ἐγὼν ἀπέπεμψα νέεσθαι
αὖτις ἔσω μέγαρον· σὲ δὲ τοῦτό γε γῆρας ὀνήσει."
Τὴν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
„οὔτι σε λωβεύω, τέκνον φίλον, ἀλλ' ἔτυμόν τοι
ἦλθ' Ὀδυσεύς, καὶ οἶκον ἱκάνεται, ὡς ἀγορεύω,
ὁ ξεῖνος, τὸν πάντες ἀτίμων ἐν μεγάροισι.
Τηλέμαχος δ' ἄρα μιν πάλαι ᾔδεεν ἔνδον ἐόντα,
ἀλλὰ σαοφροσύνῃσι νοήματα πατρὸς ἔκευθεν,

afferebant filio. λ', 502. E: τὸ δὲ βιᾶσθαι πρωτότυπόν ἐστι τοῦ βιάζεσθαι. δῆλον δὲ, ὡς οἱ μεθ' Ὅμηρον καὶ ἐπὶ γυναικείας πείρας τὴν λέξιν ἐτίθεντο.

11—18. μάργην, *insanam.* π', 421. — Am. Q.: χαλιφρ. κεχαλασμένας κ. παρειμένας ἔχοντα τὰς φρένας. v. δ', 371. — E: τὸ δὲ σαοφρ. ἐπέβησαν ὅμοιον τῷ ἀναιδείης ἐπέβησαν, ὃ πρὸ ὀλίγου (χ', 424) εἴρηται, καὶ τῷ ὄφρα εὐφροσύνης ἐπιβῆτον, ὃ μετ' ὀλίγα (52) κεῖται. — οἵ σέ περ ἔβλαψαν. E: οἵ σε παρέβλαψεν, h. e. παρέβλαψαν: dixit enim suo more θεὸν pro θεοῖς. hoc non acceperim propterea, quod notio mali, quae subjecta est praepositioni παρὰ, per se intelligitur in verbo βλάπτω: sed videndum est, an ponendum sit οἵ σε περίβλαψαν, *qui te valde laeserunt*, mente captam. saepe confusa παρὰ et περί. A. 4.: οἳ καὶ σ' (h. e. σὲ) ἔβλαψαν, quae est διττογραφία. E: τὸ δὲ παρέβλαψε κατὰ φρένας νοεῖται νῦν, ὅθεν ὁ βλαψίφρων (Aeschyl. Theb. 689.) σύγκειται. διὸ ἐπάγει, πρὶν — ἦσθα etc. Am. Q.: φρένας αἰσίμη ἦσθα. ἀντὶ τοῦ καθήκοντα φρονοῦσα, παρὰ τὸ αἶσα.

— λωβεύεις, *irrides*, ludibrio habes. Sch.: χλευάζεις, εἰς λώβην κ. ὕβριν ἄγεις. E: τοῦ δὲ λωβεύειν πρωτότυπον τὸ λωβῶ, ἐξ οὗ καὶ ὁ λωβητήρ. λαμβάνεται δὲ ἡ λέξις ἐπί τε χλεύης κ. ὕβρεως ὡς τὰ πολλὰ, κ. ἐπὶ τῆς ἁπλῶς δὲ βλάβης, ὡς καὶ ἐν τῷ οἷς (οὓς) ἐλωβᾶθ', οἱ ξένοι. (Aristoph. Equ. extrem.: ἵν' ἴδωσιν αὐτὸν, οὓς ἐλῶβαθ', οἱ ξένοι.) — cf. ann. ad Il. α', 232. — πολυπενθέα, *pertristem.* ξ', 388. — παρὲξ ἐρέουσα, *falso nuntians.* E: ἀγγέλλουσα ἔξω μὲν τοῦ ἀληθοῦς, ἐγγὺς δὲ τοῦ ἐφετοῦ (?) etc. cf. δ', 348. — ἐπέδησε, *devinxit.* v. γ', 269 etc. — φίλα βλ. ἀμφικαλύψας. ε', 493. — τοιόνδε, *tale, sic*, vel τοιόνδε ὕπνον. — κατέδραθον, *dormivi.* ε', 471, Matth. §. 228 etc.

19. τ', 260, 597.

21—33. E: γυν., αἵ μοι ἔασιν, ἀντὶ τοῦ δμωΐδων, αἵ εἰσιν ὑπ' ἐμοὶ, ἢ ὑπὲρ ἐμοῦ (mei gratia, servitii mei causa) etc. — στυγερῶς—νέεσθαι. φ', 374. — τοῦτό γε, *quod ad hoc quidem attinet* peccatum tuum. id nostrates dicere solent *für dies Mal.* — ᾔδεεν, *noverat.* Il. β', 409 etc. — σαοφροσύνῃσι pro σαοφροσύνῃ, ut

ὄφρ' ἀνδρῶν τίσαιτο βίας ὑπερηνορεόντων."
"Ὣς ἔφαθ'· ἡ δ' ἐχάρη, καὶ ἀπὸ λέκτροιο θοροῦσα
γρηῒ περιπλέχθη, βλεφάρων δ' ἀπὸ δάκρυον ἧκε,
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
„Εἰ δ', ἄγε δή μοι, μαῖα φίλη, νημερτὲς ἔνισπε,
εἰ ἐτεὸν δὴ οἶκον ἱκάνεται, ὡς ἀγορεύεις,
ὅππως δὲ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφῆκε
μοῦνος ἐών, οἱ δ' αἰὲν ἀολλέες ἔνδον ἔμιμνον."

Eurycleae responsum.

Τὴν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
„οὐκ ἴδον, οὐ πυθόμην, ἀλλὰ στόνον οἶον ἄκουον
κτεινομένων· ἡμεῖς δὲ μυχῷ θαλάμων εὐπήκτων
ἥμεθ' ἀτυζόμεναι, σανίδες δ' ἔχον εὖ ἀραρυῖαι,
πρίν γ' ὅτε δή με σὸς υἱὸς ἀπὸ μεγάροιο κάλεσσε
Τηλέμαχος· τὸν γάρ ῥα πατὴρ προέηκε καλέσσαι.
εὗρον ἔπειτ' Ὀδυσῆα μετὰ κταμένοισι νέκυσσιν
ἑσταόθ'· οἱ δέ μιν ἀμφὶ, κραταίπεδον οὖδας ἔχοντες,
κείατ' ἐπ' ἀλλήλοισιν. ἰδοῦσά κε θυμὸν ἰάνθης.
[αἵματι καὶ λύθρῳ πεπαλαγμένον, ὥστε λέοντα.]
νῦν δ' οἱ μὲν δὴ πάντες ἐπ' αὐλείῃσι θύρῃσιν
ἀθρόοι· αὐτὰρ ὁ δῶμα θεειοῦται περικαλλὲς,
πῦρ μέγα κειάμενος, σὲ δέ με προέηκε καλέσσαι.
ἀλλ' ἕπευ, ὄφρα σφῶϊν ἐϋφροσύνης ἐπιβῆτον
ἀμφοτέρω φίλον ἦτορ, ἐπεὶ κακὰ πολλὰ πέποσθε.
νῦν δ' ἤδη τόδε μακρὸν ἐέλδωρ ἐκτετέλεσται!
ἦλθε μὲν αὐτὸς ζωὸς ἐφέστιος, εὗρε δὲ καὶ σὲ,

εὐφροσύνῃσι ζ', 156, πολυϊδρίῃσι 77, ἀϊδρίῃσι κ', 231, pro εὐφροσύνῃ, πολυϊδρίῃ, ἀϊδρίῃ etc. — βίας E, ut β', 216, λ', 117 etc. vulgo: βίην. — γρηῒ περιπλέχθη, *anui circumfusa*, anum complexa.

35—47. εἰ δ' ἄγε. formula dicendi, cum urgemus aliquid. v. β', 178. — νημερτὲς ἔν. γ', 101 etc. cf. α', 86. — dedi ὅππως δὲ pro ὅ. δή, quod habent libri, errore haud infrequenti, quoniam haec opponuntur superioribus illis εἰ — ἱκάνεται, in quibus μὲν intelligendum est, εἰ — ἱκάνεται μέν. v. ann. ad ε', 47. ita et carebimus τῷ δὴ tertium illato in eadem sententia. — οὐκ ἴδον, οὐ πυθόμην. asyndeton παθητικὸν anus, narrationem rei, quae maximum momentum habet, accelerantis. — ἀτυζόμεναι, *consternatae*. λ', 605. — σανίδες δ' ἔχον εὖ ἀρ. χ', 401. Sch.: ἔχον. ἀντὶ τοῦ ἠσφαλισμέναι ἦσαν. — Ap.: κραταίπεδον (οὖδας). τὸ στερεὸν ἔδαφος κ. λιθόστρωτον. τῶν ἅπαξ εἰρημένων. pleonasmus, ut οἰκοφύλαξ δόμων et similia, praesertim apud Tragicos: poterat enim dicere eodem sensu κραταιὸν οὖδας. v. Hermann. appendice Vigeri p. 886. — κείατο, ἔκειντο. — λάνθης. δ', 549, ζ', 156 etc.

43. versus merito damnatus a Knightio, W. et B., nec dubie ex χ', 402, transscriptus. carent eo A. 2. et ed. Flor., nec vestigium ejus apparet apud E et Scholiastas.

49—53. E: αὐλείας θύρας (σ', 238) λέγει τὰς περὶ τὴν αἴθουσαν, ἤγουν τὰς ἔξω τοῦ προδόμου, πρὸς αὐτῇ τῇ αὐλῇ, ὅθεν καὶ αὔλειαι πρὸς διαστολὴν τῶν ἐνδοτέρω θυρῶν. — κειάμενος. ν', 26, π', 2 etc. — ἀμφοτέρω. Harl.: γρ. ἀμφοτέρων. id facile tuearis, ut sit σφῶϊν ἀμφοτέρων ἦτορ, quod concinnitate quadam verborum commendatur. nec tamen male habet ἀμφοτέρω, et amoliemur hoc pacto homoeoteleuton ἐπιβῆτον ἀμφοτέρων φίλον. Sch.: ἐϋφρ. ἐπ. θυμηδίας ἐπιβήσετε, εὐφρανθῆναι ποιήσετε.

καὶ παῖδ', ἐν μεγάροισι· κακῶς δ' οἵπερ μιν ἔρεξον
μνηστῆρες, τοὺς πάντας ἐτίσατο ᾧ ἐνὶ οἴκῳ."

diffidit adhuc illius verbis Penelope, caedem procorum a deo aliquo patratam, nec Ulyssem reversum esse, suspicata.

Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
„μαῖα φίλη, μήπω μέγ' ἐπεύχεο καγχαλόωσα.
οἶσθα γὰρ, ὥς κ' ἀσπαστὸς ἐνὶ μεγάροισι φανείη
πᾶσι, μάλιστα δ' ἐμοί τε, καὶ υἱέϊ, τὸν τεκόμεσθα·
ἀλλ' οὐκ ἔσθ' ὅδε μῦθος ἐτήτυμος, ὡς ἀγορεύεις,
ἀλλά τις ἀθανάτων κτεῖνε μνηστῆρας ἀγαυοὺς,
ὕβριν ἀγασσάμενος θυμαλγέα, καὶ κακὰ ἔργα.
οὔτινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων,
οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν, ὅτις σφέας εἰσαφίκοιτο.
τῷ δι' ἀτασθαλίας ἔπαθον κακόν· αὐτὰρ Ὀδυσσεὺς
ὤλεσε τηλοῦ νόστον Ἀχαιΐδος, ὤλετο δ' αὐτός."

factum Euryclea convincens narrat de cicatrice Ulyssis, ab se animadversa, nec mori miserrime recusat, si mentiatur.

Τὴν δ' ἠμείβετ' ἔπειτα φίλη τροφὸς Εὐρύκλεια·
„τέκνον ἐμὸν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων,
ἣ πόσιν ἔνδον ἐόντα παρ' ἐσχάρῃ οὔποτ' ἔφησθα
οἴκαδ' ἐλεύσεσθαι, θυμὸς δέ τοι αἰὲν ἄπιστος!
ἀλλ' ἄγε τοι καὶ σῆμα περιφραδὲς ἄλλο τι εἴπω,
οὐλὴν, τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι.
τὴν ἀπονίζουσα φρασάμην, ἔθελον δέ σοι αὐτῇ
εἰπέμεν· ἀλλά με κεῖνος ἑλὼν ἐπὶ μάστακα χερσὶν
οὐκ ἔα εἰπέμεναι πολυκερδίῃσι νόοιο.
ἀλλ ἕπευ· αὐτὰρ ἐγὼν ἐμέθεν περιδώσομαι αὐτῆς,
αἴ κέν σ' ἐξαπάφω, κτεῖναί μ' οἰκτίστῳ ὀλέθρῳ."

dubitat tamen Penelope, hospitem revera esse Ulyssem; ceterum procos occisos visum descendit e gynaeceo.

Τὴν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·

59—64. *καγχαλόωσα.* 1. — *ἀσπαστὸς*, *exoptatus*, gratus. ε', 398, ν', 35 etc. — *ἀγασσάμενος*, *indignatus.* α', 389, β', 67 etc. — *θυμαλγέα*, *acerbam.* θ', 272 etc. Voss.: *die seelenkränkende bosheit.*

70. τ', 492.

73—83. *περιφραδές.* ita Seberus indice Hom. vulgo: *ἀριφραδὲς*, quae verba etiam apud Sophoclem confusa sunt, Antig. 327. inest autem paulo molestior hiatus in verbis *σῆμα ἀριφραδές.* scriptor hymni in Merc. 464.: *Ἑκάεργε περιφραδές.* ipse Hom. ξ', 431. et alias dixit *περιφραδέως.* — *ἀπονίζουσα*, *ἀπονίπτουσα.* τ', 317, Il. η', 425 etc. — *μάστακα*, os. v. ann. ad Il. ι', 324. ceterum cf. τ', 480. — *πολυκερδίῃσι.* sic A. 2. et 3. aliique apud Cl., ut ω', 167, nisi quod ibi est *πολυκερδείῃσιν*, quam scripturam examinavimus ann. ad κ', 231. ceteri codd.: *πολυϊδρείῃσι* pro *πολυϊδρίῃσι*, quod recte legitur β', 346., hic autem minus acceptum est cum propterea quod interpretationem sapit, tum quia *πολυΐδριν* habetur in proximis. — Am. Q. et Sch.: *ἐμέθεν περιδώσομαι αὐτῆς.* *περὶ ἐμαυτῆς συνθήσομαι.* „Il. ψ', 485.: *δεῦρό νυν ἢ τρίποδος περιδώμεθα, ἠὲ λέβητος.* Aristoph. Equ. 740.: *ἐθέλω περὶ σῆς κεφαλῆς περιδόσθαι.*" Cl. — *ἐξαπάφω*, *decipiam.* Il. ι', 376, ξ', 160. — *οἰκτίστῳ ὀ-*

„μαῖα φίλη, χαλεπόν σε θεῶν αἰειγενετάων
δήνεα εἴρυσθαι, μάλα περ πολυΐδριν ἐοῦσαν·
ἀλλ' ἔμπης ἴομεν μετὰ παῖδ' ἐμὸν, ὄφρα ἴδωμαι
ἄνδρας μνηστῆρας τεθνηότας, ἠδ' ὃς ἔπεφνεν."

convenit Ulyssem Penelope, sed absistit, incerta, sitne mendicus ille conjux suus, an non.

Ὣς φαμένη κατέβαιν' ὑπερώϊα· πολλὰ δέ οἱ κῆρ
ὥρμαιν', ἢ ἀπάνευθε φίλον πόσιν ἐξερεείνοι,
ἦ παρστᾶσα κύσειε κάρη καὶ χεῖρε λαβοῦσα.
ἡ δ' ἐπεὶ εἰσῆλθεν, καὶ ὑπέρβη λάϊνον οὐδὸν,
ἕζετ' ἔπειτ' Ὀδυσῆος ἐναντίον ἐν πυρὸς αὐγῇ,
τοίχου τοῦ ἑτέρου· ὁ δ' ἄρα πρὸς κίονα μακρὴν
ἧστο κάτω ὁρόων, ποτιδέγμενος, εἴ τί μιν εἴποι
ἰφθίμη παράκοιτις, ἐπεὶ ἴδεν ὀφθαλμοῖσιν.
ἡ δ' ἄνεω δὴν ἧστο, τάφος δέ οἱ ἦτορ ἵκανεν·
ὄψει δ' ἄλλοτε μέν μιν ἐνωπαδίως ἐσίδεσκεν,
ἄλλοτε δ' ἀγνώσασκε, κακὰ χροῒ εἵματ' ἔχοντα.

λέθρῳ, ut οἰκτίστῳ θανάτῳ λ', 411. et ω', 34. cf. μ', 258 etc. — δήνεα, *consilia*. κ', 289, Il. δ', 361. — εἴρυσθαι, φυλάξασθαι, *cavere*, vel impedire. infra 151. est *servare*, et similem sensum habet γ', 268.; sed nusquam γνῶναι sive εἰδέναι significat, ut persuadere volunt E, Ap., Hesych. v. Schn. v. εἰρύομαι, et inprimis Buttmann. *Lexil.* 18. — mendose Sch.: πολυΐδριν. πολυπαθῆ, πολλὰ εἰδυῖαν. scribamus πολυπευθῆ, cui opponitur ὁ ἀπευθής. v. γ', 184. — ἴομεν, ἴωμεν. — μετὰ παῖδ', εἰς sive πρὸς παῖδα. β', 206 etc.

85—96. πολλὰ — ὥρμαινε. cf. δ', 120 etc. — ἐξερεείνοι, *interrogaret*. κ', 14 etc. — κύσειε — λαβοῦσα. v. χ', 499, 500. — Sch.: ἐν πυρὸς αὐγῇ. ἐν τῷ πεφωτισμένῳ τόπῳ κ. πεφλογισμένῳ ἀπὸ τοῦ πυρός. ζ', 305.: ἡ δ' ἧσται ἐπ' ἐσχάρῃ, ἐν πυρὸς αὐγῇ. — τοίχου τοῦ ἑτέρου, *ad alterum* sive adversum *parietem*. v. Il. ι', 219. cum ann., et ibidem ω', 598. — κίονα μακρήν. v. α', 127, θ', 66 etc. — ἄνεω, *tacite*. v. ann. ad Il. β', 323. — τάφος — ἵκανεν, ut β', 41.: μάλιστα δ' ἔμ' ἄλγος ἱκάνει etc. idem a consequente significat τὸ τάφος αἱρεῖν τινα, velut φ', 122.: τάφος δ' ἕλε πάντας ἰδόντας. — ἐνωπαδίως A. 3. et MS. Thom. Bentleji. vulgo: ἐ—πιδίως. E: τὸ δὲ ἐνωπιδίως ἀντὶ τοῦ κατ' ὄψιν, ἵνα λέγῃ, ὅτι ἄλλοτε μὲν περιεργότερον ἐντρανίζουσα κ. κατασκοποῦσα ἐπεγίνωσκεν, ἄλλοτε δ' ἠγνόει. τὸ δὲ ἐνωπιδίως γράφεται μάλιστα ἐνωπαδίως. — Sch.: ἀγνώσασκε. ἠγνόει. ibi Buttmannus: „Sic ed. ant., cujus quamvis in talibus nulla sit auctoritas, utar tamen hac occasione, ut hanc formam aliquanto magis commendem quam feci in Gramm. ampl., nota ult. ad §. 94. Quippe e codd. Homeri hae potissimum scripturae enotatae sunt, quarum utraque esset ab ἀγνώσσω, quae verbi forma neque analogia caret, neque auctoritate: vide Hesych. in v., Etym. M. v. ἀγρώσσω, et Simmiam ap. Tzetz. Chil. 7, 144. Hujus autem verbi forma in εσκε est Imperfectum iterativum, altera in ασκε, ut ex analogia verborum ῥίπτασκε, κρύπτασκε demonstravi, aoristus iterativus. Jam ἀγνώσσεσκε esset repetita actio durans, ut θαυμάζεσκον ἅπαντες τ', 229. (*quoties viderent, admirabantur*), ἔνθα Ζηνὶ ῥέζεσκον Ἀχαιοὶ Il. θ', 249., et similia: hic autem intra breve spatium Penelope saepius intuetur Ulyssem, saepius esse illum negat. Quare sicut ἐσίδεσκε, ita alterum quoque verbum ab aoristo formasse putandus est poëta. Recte igitur adhaeremus illi ex antiquitate transmissae formae in ασκε. Sed si aoristum praetulit, non apparet, cur formam verbi alias semper sibi usitatam ἀγνοεῖν, unde recte fiebat ἠγνόησα, ἠγνοήσασκον, ἀγνώσασκον, hoc uno loco deseruerit.

Τηλέμαχος δ' ἐνένιπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·

pertinaciam matris reprehendit Telemachus.

„*Μῆτερ ἐμὴ δύσμητερ, ἀπηνέα θυμὸν ἔχουσα,*
τίφθ' οὕτω πατρὸς νοσφίζεαι, οὐδὲ παρ' αὐτὸν
ἑζομένη μύθοισιν ἀνείρεαι, οὐδὲ μεταλλᾷς,
[οὐ μέν κ' ἄλλη γ' ὧδε γυνὴ τετληότι θυμῷ
* *ἀνδρὸς ἀφεσταίη, ὅς οἱ κακὰ πολλὰ μογήσας*
ἔλθοι ἐεικοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν·]
σοὶ δ' αἰεὶ κραδίη στερεωτέρη ἐστὶ λίθοιο;

respondet Penelope, esse quaedam signa, sibi et Ulyssi solis cognita, quibus hunc agnoscat.

Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·

Itaque hodie etiam nos, quorum judicio relicta semper est in talibus optio inter σ et σσ, non est cur formam legitimam *ἀγνώσασκε*, vel si nullis libris nitatur, repudiemus, aliam insolentissimam praeferamus.“ Ita vir sagax, cujus sententiae non dubitavi subscribere. ceterum vulgo in libris Hom. et ap. E legitur *ἀγνώσσασκε*, in A. 2. autem et 3. *ἀγνώσσεσκε*. — *ἐνένιπεν* A. 3. ceteri menda inveterata: *ἐνένιπτεν*. v. π', 417.

97—99. „*μῆτερ ἐ. δύσμητερ*. Porphyr. Quaest. Hom. 16. sub finem: — *ἄλλα δὲ εἴωθε συντιθέναι εἰς διαβολήν τινων, ὡς δυσωνύμων, ὡς τὸ Δύσπαρι* (Il. γ', 39., ubi v. ann., et ν', 769) *καὶ τὸ μῆτερ δύσμητερ*. v. Conr. Rittershus. ann. ad Oppian. Cyneg. 1, 260.“ Cl. — *ἀπηνέα*, *immitem*, durum. 230, Il. ο', 94 etc. — *νοσφίζεαι*, *sejungeris*, absistis. λ', 73 etc. — *ἀνείρεαι ο. μετ.* α', 231, η', 243 etc.

100—102. iterum hi versus leguntur inferius post 167., quos neutro loco exhibent scholia brevia et Mediolanensia, E, quo est judicio, utroque. nam id facile quisque paulo humanior persentiscat, congruere haec Ulyssis personae, abhorrere autem a Telemachi adolescentis, qui neque tam cognitos habet mores mulierum, et modestior cautiorque est quam qui rem sibi non exploratam affirmet. ejusmodi autem res est patris vigesimo anno reditus, de quo inaudiverat quidem puer ex matre et familiaribus, certiorque etiam factus erat per ipsum Ulyssem π', 206; sed narraverat quoque illi Penelope, patrem ejus esse heroëm istum celeberimum; tamen se id certo scire negat α', 215; multo minus in tali causa matrem tam duris verbis temere objurgaverit. neque usquam alias, saepe oblata occasione, serum patris reditum commemorat, sed faciunt id semper seniores, inprimis ipse, ut par est, Ulysses π', 206, τ', 222, 484, φ', 208, ω', 321, tum Alitherses senex β', 175, deinde ipse poëta ρ', 327. quid dubitemus, hic quoque, ut tot aliis in locis, similia similibus adscripsisse librarios imprudentes? quod ut magis credamus ita esse, facit optime cohaerens, abjecto isto panno, oratio. quare haec uncinis inclusi, nec iis immorarer amplius, nisi emendandus esset versus medius hians tertio pede: *ἀνδρὸς ἀφ | εσταί | η, ὅς* | etc. A. 1. et 4. aliique ap. Cl.: *ἀποσταίη*, idque 169. praeter A. 4. etiam A. 2. habet. ponamus *ἀπὸ* sive *ἄπο ἱσταίη*, h. e. *ἄποθεν*, ut Il. λ', 242., ubi v. ann., σ', 64, τ', 329: ipsum illud *ἀφεσταίη* pro *ἀφισταίη* scriptum videtur per soloecismum, nisi quis audiat Eustathium ita garrientem suo more, cum tuetur vulgata quamvis pessima: *τὸ ἀφεσταίη καινότερον* (!) *ἐσχημάτισται. καὶ ἔστι μὲν κοινὸν κ. σύνηθες ἀντ' αὐτοῦ τὸ ἀποσταίη· τὸ μέντοι ἀφεσταίη φίλτερον* (!) *Ὁμήρῳ, οἷα ποιητικώτερον* (!!) etc. quod ad metrum attinet, similiter titubatum est φ', 54.

